eul_wid: tco-aa

*Ἡφαιστίων ὁ Θηβαῖος* · Hephaestion of Thebes

# Effects, Four Epitomes

*Ἐπιπτώσεις*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

1 (t) EPITOMA I λʹ. Ὅπως χρὴ εἰδέναι ἀλόγων γενέσεις καὶ καταρχάς Ἐπὶ μὲν οὖν τῆς τῶν ἀλόγων γενέσεως τὸ αὐτὸ νοείσθω ὅπερ ἤδη εἰρήκαμεν ἐν τῷ βʹ βιβλίῳ περὶ ἀλόγων καὶ τεράτων, ἁπλούστερον δὲ καὶ ἐνταῦθα εἰρήσθω. ἐπὰν γὰρ ὁ τοῦ κλήρου τῆς τύχης κύριος ἀσύνδετος τῷ ὡροσκόπῳ ἢ καὶ τῷ τοῦ ὡροσκόπου δεσπότῃ καὶ τοῖς παισὶν εὑρεθῇ, καὶ μάλιστα τῇ Σελήνῃ, ἀλόγου καταρχὴν νομιστέον. ἐπὰν δὲ καὶ τὰ φῶτα ἀλλήλων καὶ τοῦ ὡροσκόπου ἀλλοτριωθῇ τῷ σχήματι τῶν συναφῶν πρὸς κακοποιοὺς γινομένων καὶ τῶν κέντρων ἢ τῶν ἐπαναφορῶν ὑπὸ τῶν κακοποιῶν κατεχομένων ἄνευ τῆς τῶν ἀγαθοποιῶν θεωρίας ἀνάγκη γένεσιν ἀλόγου εἶναι ἢ τέρατος ἢ ἀγρίου ἀλόγου πρὸς τὴν τῶν ζῳδίων φύσιν τῶν ποιούντων τὸ σύμπτωμα ἢ καὶ καταρχὴν περὶ ἀλόγων ζῴων, συσχηματιζομένων δὲ τῶν ἀγαθοποιῶν τὰ γινόμενα χειροήθη καὶ μετὰ ἀνθρώπων διαιτώμενα. λαʹ. Περὶ προγνώσεως τοῦ ἐρωτῶντος οἷον περὶ τίνος ἐρωτᾷ Ἐπετήρησαν δὲ ἀκριβῶς εἰς πρόγνωσιν οἱ παλαιοὶ καὶ ἐκ τῆς ποσότητος τῶν μορίων τοῦ ὡροσκόπου οὗ ἔσται αὐτὸ τὸ δωδεκατημόριον. εἰς ὃ γὰρ ἂν ἐμπέσῃ ζῴδιον ἐν τοῖς ἑξῆς ἀνὰ δύο ἥμισυ μοίρας ἐκβαλλομένη ἡ ποσότης τῶν μοιρῶν τοῦ ὡροσκόπου ὃ ἔσται αὐτοῦ τὸ δωδεκατημόριον, καὶ κατ' αὐτό τε περὶ παντὸς πράγματος καὶ πρὸ τῆς πεύσεως συνιδεῖν ἔστι τὸ εἶδος.

2 οὐ γὰρ μόνον ὁρᾶν χρὴ αὐτὰ καθ' αὑτὰ εἰ ἔστι τροπικὰ ἢ στερεὰ ἢ δίσωμα ἃ μάλιστα ἁρμόζει εἰς τὴν τῶν καταρχῶν λύσιν τῷ συμβαίνειν ἐν στερεῷ τροπικὸν δωδεκατημόριον ἢ δίσωμον κεντροῦσθαι, ἀλλοιοῦσθαί τε τὴν φύσιν τοῦ ζῳδίου τῇ τῆς τοπικῆς δυνάμεως μοιρικῇ διακρίσει. τὴν οὖν ποιότητα τοῦ πράγματος προειπεῖν δυνησόμεθα ἐπὰν ἀκριβῶς λαμβάνωμεν τὴν ὡροσκοποῦσαν μοῖραν ἐξ ὑδροσκόπου ἢ ἀστρολάβου ἢ ἄλλου τινὸς ὡροσκοπίου καὶ γνῶμεν τὸ δωδεκατημόριον· πρὸς αὐτὸ ἐφαρμοσόμεθα οὕτως. Ἐὰν οὖν εὑρεθῇ τὸ πρῶτον δωδεκατημόριον Κριοῦ, τουτέστι δύο ἥμισυ μοῖραι, ὡροσκοποῦσαι ἐπὶ τῆς ὥρας τοὺς προσιόντας σημαίνει περὶ ἐλευθερίας ἢ ἀρχῆς, τὸ δὲ δεύτερον περὶ βίου ἢ οἴκου ἢ ζῴων ἢ ἀγροῦ ἢ γυναικὸς ἢ ἀστείων προσώπων ἢ ὁμοίων, τὸ δὲ γʹ ἐνέδρας ἢ κλέμματος ἢ δραπέτου, τὸ δὲ δʹ περὶ κλοπῆς ἀργυρίου ἢ ἁρπαγῆς, τὸ εʹ περὶ οὐσίας ἢ ἀρχῆς καὶ τῶν ὁμοίων, τὸ ϛʹ περὶ κοινωνίας καὶ γυναικείου κόσμου, τὸ ζʹ περὶ ἐχθρῶν καὶ μάχης ἢ ἀπαιτήσεως ἢ κριτηρίου, τὸ ηʹ περὶ λαθραίου πράγματος καὶ ἀποκρύφου, τὸ θʹ περὶ ὁδοιπορίας ἢ μεταβάσεως ἢ πλοῦ, τὸ ιʹ περὶ ἐλπίδων ἢ συζυγίας ἢ ἁρμονίας, τὸ ιαʹ περὶ κλοπῆς ἢ ἀποβολῆς ἢ ζημίας, τὸ ιβʹ περὶ γυναικὸς ἢ γυναικὶ διαφερόντων πραγμάτων ἢ τεθηλυμένων. Περὶ τῶν δωδεκατημορίων τοῦ

Ταύρου· τὸ μὲν α′ περὶ πραγματείας καὶ ὅσα περὶ ζωὴν καὶ βρῶσιν, τὸ δὲ β′ περὶ πραγμάτων αἰσχρῶν ἢ ἀφροδισίων ἢ τῶν ὁμοίων, τὸ γ′ περὶ κλοπῆς ἢ ἔργου τινὸς ἢ οἰκονομίας, τὸ δ′ περὶ ἔχθρας καὶ ἁρπαγῆς, τὸ ε′ περὶ συμφωνίας καὶ φιλίας καὶ καλοκαγαθίας, τὸ ϛ′ περὶ τοῦ ἀμφιβολίᾳ καὶ δισταγμῷ περιπεπτωκέναι τὸν σκεπτόμενον, τὸ ζ′ περὶ καμάτου καὶ μερίμνης καὶ στρατείας, τὸ η′ περὶ ὁδοιπορίας καὶ πλοῦ καὶ τῶν ὁμοίων, τὸ θ′ περὶ συναλλαγῆς τῆς πρὸς γυναῖκας καὶ τῶν ὁμοίων τούτοις, τὸ ι′ περὶ διαπράσεως καὶ ἀποβολῆς καὶ κόπου, τὸ ια′ περὶ ἀφροδισίων, τὸ τελευταῖον, Κριοῦ τυγχάνον, περὶ ξένων ἢ ξενιτείας ἢ γεωργίας.

3 Τῶν Διδύμων δὲ τὸ μὲν α′ περὶ κοινωνίας καὶ πολιτικῶν πραγμάτων καὶ ὁμονοίας, τὸ β′ περὶ χρυσίου καὶ ἀργυρίου καὶ τῶν ὁμοίων κινητῶν, τὸ γ′ περὶ ἀποβολῆς καὶ ἀτυχίας, τὸ δ′ περὶ δανείου καὶ ἀποβολῆς καὶ ζημίας, τὸ ε′ περὶ πράξεως καὶ πράγματος, τὸ ϛ′ περὶ κλοπῆς τῶν ἀπὸ πυρὸς γεγονότων, τὸ ζ′ περὶ δραπετῶν καὶ διωγμοῦ καὶ ὁδοιπορίας καὶ τῶν ὁμοίων, τὸ η′ περὶ ἐπωφελοῦς τέχνης καὶ ἱλαροῦ τινος πράγματος, 〈τὸ θ′ ...,〉 τὸ ι′ περὶ μάχης καὶ ἔχθρας καὶ τῶν ὁμοίων, τὸ ια′ περὶ ἀποβολῆς ἢ φόβου ἢ μετανοίας ἢ ἀναλύσεως, τὸ δὲ τελευταῖον, Ταύρου τυγχάνον, περὶ γεωργίας ἢ ξενιτείας καὶ τῶν ὁμοίων. Τῶν δὲ τοῦ Καρκίνου τὸ μὲν πρῶτον περὶ ἀρχῆς καὶ ἀρχιερωσύνης ἢ ἱερουργίας, τὸ β′ περὶ μεγάλου πράγματος καὶ ἀξίας καὶ ἱερωσύνης, τὸ γ′ περὶ φόβου διὰ πρᾶγμά τι γυναικεῖον, τὸ δ′ περὶ πίστεως ἢ ἀποβολῆς, ἀπαιτήσεως, τὸ ε′ περὶ λαθραίας ἀποθέσεως ἢ θησαυροῦ ἢ παρακαταθήκης, τὸ ϛ′ περὶ ὁδοιπορίας ἢ πλοῦ ἢ ξένων προσώπων, τὸ ζ′ περὶ μάχης διὰ θηλυκὸν πρόσωπον καὶ ζηλοτυπίαν, τὸ η′ περὶ ἀποβολῆς ἢ κλέμματος ἢ ζημίας ἢ ἀρνήσεως, τὸ θ′ περὶ κοινωνίας γάμου καὶ πραγμάτων ἀγαθῶν, τὸ ι′ περὶ ἀρχῆς καὶ ἀξίας καὶ ἱερωσύνης καὶ τῶν ὁμοίων, τὸ ια′ περὶ κλέμματος ἢ ἀποδράντος τινὸς ἢ ἀρνήσεως περὶ παρακαταθήκης, τὸ ιβ′ περὶ κοινωνίας καὶ συμφώνων πραγμάτων καὶ ἐζευγμένων. Τῶν δὲ τοῦ Λέοντος τὸ μὲν α′ περὶ ἀξίας καὶ ἐπιθυμίας ἀλλοτρίων ἢ πλεονεξίας, τὸ β′ περὶ μεγάλου πράγματος καὶ ζημίας καὶ ἀδικίας, τὸ γ′ περὶ μάχης καὶ πλεονεξίας, τὸ δ′ περὶ μεγάλου πράγματος τελεσιουργίας, τὸ ε′ περὶ πράγματος οὐ μικροῦ ἀλλὰ βασιλικοῦ ἢ 〈.

4 .., τὸ ϛ′ περὶ ...〉 ἐργασιῶν τῶν ξένων καὶ προσόδων, τὸ ζ′ περὶ ἐχθρῶν, τὸ η′ περὶ ἀλλοτρίου πράγματος ἢ ἀλλοτρίας μερίμνης, τὸ θ′ περὶ φόβου καὶ δισταγμοῦ, τὸ ι′ περὶ λέσχης ἢ ἀγροικίας ἢ ξενιτείας, τὸ ια′ περὶ μάχης καὶ ἀπροσδοκήτων τινῶν, τὸ ιβ′ περὶ πραγμάτων ἱερῶν καὶ τῶν ὁμοίων. Τῶν δὲ τῆς Παρθένου τὸ πρῶτον περὶ κόσμου γυναικείου καὶ καρπῶν χάριν, τὸ β′ προσόδου ἢ κοσμίων βαρυτίμων ἢ ἐσθῆτος, τὸ τρίτον περὶ πράγματος λάθρᾳ βεβουλευμένου καὶ τῶν ὁμοίων, τὸ δ′ περὶ ἀφορμῶν ἀλλαγῆς ἢ κοινοῦ τινος, τὸ ε′ περὶ γεωργίας ἢ οἰκονομίας ἢ τῶν τοιούτων, τὸ ϛ′ περὶ προσώπου ἢ ἐλπίδος καὶ πράξεως ἢ κόπου, τὸ ζ′ περὶ ἔχθρας γυναικείας καὶ ἀψιμαχίας φίλων, τὸ η′ περὶ τέχνης ἢ ἱερῶν ἐνεργείας ἢ χρηματισμῶν, τὸ θ′ περὶ φορτίου πράσεως ἢ καματηρᾶς ξενιτείας, τὸ ι′ περὶ ἐπηρείας τινὸς ἢ ξένης ἢ ἀγροικικῆς αἰτίας, τὸ ια′ περὶ κλοπῆς ἢ πράγματος λαθραίου ἢ θησαυροῦ, τὸ δὲ τελευταῖον, Λέοντος, περὶ τραυμάτων ἢ ἀσθενείας ἢ τῶν ὁμοίων. Τῶν δὲ τοῦ Ζυγοῦ τὸ μὲν α′ περὶ προσόδου ἢ κριτηρίου ἢ δόσεως ἢ λήψεως, τὸ β′ περὶ κλέμματος ἢ νοσφισμοῦ, τὸ γ′, Τοξότου ὄν, περὶ ἐμπορίας ἢ ἔργων τῶν ἐπὶ ξένης, τὸ δ′ περὶ πραγμάτων λαθραίων ἢ σκολιῶν, τὸ ε′ περὶ πραγματείας ἢ κακοπραγίας ἢ προσδοκίας, τὸ ϛ′ περὶ ἀλλοτρίου πράγματος ἢ ἐντολῆς γυναικός, τὸ ζ′ περὶ ἀηδίας ἀκαίρου καὶ ὀργῆς καὶ μάχης καὶ ἡσυχίας τινός, τὸ η′, Ταύρου ὄν, περὶ ἀσθενείας ἢ τραυμάτων ἢ μερίμνης βασιλικῆς, τὸ θ′ περὶ κοινωνίας λόγων ἢ συνθηκῶν, τὸ ι′ περὶ προσόδου ἢ ἀξίας ἢ τιμῆς ἢ εὐημερίας, τὸ ια′ περὶ ἀγνοίας τινὸς ἢ ὕβρεως αἰφνιδίου, τὸ ιβ′ περὶ σωμάτων ἢ φορτίου πολιτικοῦ.

5 Τῶν δὲ τοῦ Σκορπίου τὸ μὲν α′ περὶ στρατείας ἢ ἐπιξένου πράγματος ἢ μίξεως αἰφνιδίου γεγονυίας, τὸ β′ περὶ πλοῦ ἢ μεταβάσεως καὶ τῶν ὁμοίων, τὸ γ′ περὶ ὄχλου ἢ μάχης καὶ ἀηδίας ἐπικινδύνου, τὸ δ′ περὶ κακοπραξίας ἀπολύσεως, τὸ ε′ περὶ ὁμονοίας ἢ πλοῦ ἢ κοινῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πραγμάτων, τὸ ς′ περὶ ἐπιταγῆς καὶ κρατήσεως καὶ ἀδοκήτου βίας, τὸ ζ′ περί τινος ἐπὶ ξένης γεγονότος ἢ διὰ ξένα πρόσωπα, τὸ η′ περὶ ὁδοιπορίας, τὸ θ′ περὶ κλεμμάτων ἢ τῶν πρὸς ἰσχυρότερα πρόσωπα διαφερόντων, τὸ ι′ περὶ ξενιτείας ἢ τέχνης τινὸς ἢ ἀξίας, τὸ ια′ περὶ κλέμματος γυναικείου, τὸ ιβ′ περὶ προσόδου ἢ κινδύνου ἢ κέρδους ἀπλήστου. Τῶν δὲ τοῦ Τοξότου τὸ μὲν α′ περὶ φορτίου ἐπὶ ξένης, τὸ β′ περὶ στρατείας ἢ ξενιτείας ἢ στρατοπέδου, τὸ γ′ περὶ πραγμάτων καὶ πράξεων καθύγρων, τὸ δ′ περὶ πλοῦ καὶ τῶν ὁμοίων, τὸ ε′ περὶ φορτίου, τὸ ς′ περὶ τετραπόδων, τὸ ζ′ περὶ ἀηδίας ἢ δραπέτου, τὸ η′ περὶ κλέμματος ἢ ἀποβολῆς, τὸ θ′ περὶ ὁδοῦ ἢ ἐνέδρας, τὸ ι′ περὶ ἔρωτος ἢ τῶν ὁμοίων, τὸ ια′ περὶ προσόδου ἐπὶ ξένης ἢ διὰ ξένους, τὸ ιβ′ περὶ κλέμματος. Τῶν δὲ τοῦ Αἰγοκέρωτος τὸ μὲν α′ περὶ πραγμάτων οὐ καθαρῶν ἢ ἐφυβρίστων, τὸ β′ περὶ δραπέτου ἢ ἀποβολῆς, τὸ γ′ περὶ ἔρωτος ἢ πλοῦ, τὸ δ′ περὶ προβάτων ἢ ἱματίων, τὸ ε′ περὶ γεωργίας ἢ οἰκοδομίας, τὸ ς′ περὶ πραγμάτων ἄλλοις διαφερόντων, τὸ ζ′ περὶ κλέμματος ἢ ἀηδίας, τὸ η′ περὶ φόβου ἢ στρατείας, τὸ θ′ περὶ τέχνης ἢ κόσμου γυναικείου, τὸ ι′ περὶ προσόδου ἢ ἀηδίας, τὸ ια′ περὶ πράγματος λάθρᾳ γεγονότος, τὸ ιβ′ περὶ πράγματος γεγονότος ἢ πλοῦ.

6 Τῶν τοῦ Ὑδροχόου τὸ μὲν α′ περὶ σωμάτων χάριν, τὸ β′ περὶ καθύγρων πραγμάτων καὶ φορτίου, τὸ γ′ περὶ λέσχης τινός, τὸ δ′ περὶ κόπων ἰδίων, τὸ ε′ περὶ κοινωνίας ἢ καθύγρων πραγμάτων, τὸ ς′, Καρκίνου ὄν, περὶ κλέμματος ἢ ἀηδίας αἰφνιδίου, τὸ ζ′ περὶ τέχνης ἢ κοινωνίας, τὸ η′ περὶ ἀγοραίου ἢ πανηγύρεώς τινος, τὸ θ′ περὶ προσόδων ἢ κόσμου καὶ δικαίου τινὸς πράγματος ἢ ἐπὶ ξένης ὄντος, τὸ ι′ περὶ κλοπῆς ἢ θησαυροῦ, τὸ ια′ περὶ πλοῦ ἢ καθύγρων πραγμάτων, τὸ δὲ τελευταῖον ἐπιτυγχάνον περὶ ἀλλοτρίων πραγμάτων ἢ πίστεως γυναικῶν. Τῶν δὲ Ἰχθύων τὸ μὲν α′ περὶ βεβλαμμένων πραγμάτων καθύγρων, τὸ β′ περὶ κόσμου ἢ συζεύξεως, τὸ γ′ περὶ τῶν λάθρᾳ τι πράσσειν ἐπιχειρούντων ἢ γυναικείου πράγματος, τὸ δ′ περὶ κόπου ἢ κοινωνίας ἢ ξένου πράγματος, τὸ ε′ περὶ φορτίου ἢ γάμου, τὸ ς′ περὶ φορτίου ἀλλοτρίου, τὸ ζ′ περὶ γυναικείου τέχνης ἢ τῶν ὁμοίων τῶν εἰς γυναῖκα φερόντων, τὸ η′ περὶ ἀλλοτρίων πραγμάτων, τὸ θ′ περὶ προσόδων καὶ καλοῦ πράγματος, τὸ ι′ περὶ πλοῦ ἢ ξενιτείας τινὸς ἀγαθῆς, τὸ ια′ περὶ γυναικείου πράγματος ἢ γυναικὶ διαφέροντος, τὸ ιβ′ περὶ ἀποβολῆς ἢ δραπέτου καὶ τῶν ὁμοίων. Ex archetypo perierunt folia nonnulla. Παράμονα γάρ εἰσιν, αὐθάδη δέ· ἐν τοῖς ἀνθρωποειδέσιν ἐπιεικῆ καὶ ὑποτακτικά, ἐν τοῖς τροπικοῖς εἰς μετάπρασιν. Ἐν Παρθένῳ δέ, Ζυγῷ, Τοξότῃ 〈ὠνεῖσθαι〉 σύγκοιτον ἤτοι παλλακήν. τὰς δὲ τῶν γάμων συναφὰς ποιεῖσθαι λῷον Παρθένῳ, Ζυγῷ, Ὑδροχόῳ, Ταύρῳ· παράμονοι γὰρ οὕτως ἔσονται αἱ συμβιώσεις, τοὐναντίον δὲ Τοξότῃ, Ἰχθύσιν, Κριῷ.

7 θανάτῳ δὲ χωρισμὸς γίνεται ἐν Σκορπίῳ, καὶ μάλιστα ὅταν ἡ Σελήνη τὸ κέντρον αὐτοῦ διαπορεύηται, ἐὰν δὲ καὶ τῶν κακοποιῶν τις ἐπίδῃ ἀδηρίτως τὸ τοιοῦτον συμβήσεται. Ἀμπελῶνας δὲ καὶ κήπους ἐν Ἰχθύσιν, Καρκίνῳ, Ὑδροχόῳ καὶ ἐν ταῖς ἐσχάταις μοίραις τοῦ Αἰγοκέρωτος, σπείρειν δὲ Ταύρῳ καὶ Παρθένῳ, τρυγᾶν ἐν τοῖς καθύγροις Ἀφροδίτης καὶ Ἄρεως ὁρώντων. Παρατηρεῖν δὲ ἐν ταῖς κτίσεσι κενοδρομοῦσαν τὴν Σελήνην, καὶ ἐν ταῖς ἄλλαις καταρχαῖς καὶ λειψιφωτοῦσαν. Ἐν ταῖς μασθοδοσίαις τῶν βρεφῶν τὸν Κριὸν φυλάττεσθαι χρή· νόσων γὰρ καὶ λειπογαλαξίας αἴτιός ἐστιν. ἐὰν ἀπὸ τῆς ἀποκυήσεως εὑρεθῇ ἡ Σελήνη φερομένη πρὸς τοὺς κακοποιοὺς χωρὶς τῶν ἀγαθοποιῶν κακῶς τὸ τικτόμενον ἀπόλλυται εἴσω ἡμερῶν ζ . Ἐν δὲ ταῖς κρισίμοις τῶν νόσων ἐὰν εὑρεθῇ συνοῦσα τῷ Κρόνῳ λειψίφωτος θάνατον ὑπονοητέον, ἡ δὲ τοῦ θανάτου ποιότης προεγνωσμένη κατὰ τὴν γένεσιν. καὶ εἰ ἐπιταθῇ αὐτὴ τοῖς νοσοῦσι καταστοχαστέον τούτου. ὅταν δέ τις δοκῶν εὐημερεῖν καὶ ἐν ἀγαθῇ ἡμέρᾳ ἄρξηται νοσεῖν, ἐν δὲ τῇ κρισίμῳ ἡμέρᾳ μὴ ἀπαλλαγῇ ἀλλὰ παρολκὴν ἔχῃ, κινδυνῶδες καὶ τέλους ἐπακτικὸν τὸ τοιοῦτον νοείσθω, καὶ μάλιστα ὅταν ἀστέρος οἰκοδεσπότου ἢ τοῦ ζῳδίου ἀναφορὰ συμπληρῶται, ὁμοίως δὲ ἐπὰν ἡ Σελήνη καὶ πρὸς τοὺς ἀγαθοποιοὺς ἢ μοίρας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτῶν ἐν τῷ η′ ἢ ἐν τῷ ϛ′ (ἅπερ ἐστὶ τὸ μὲν θανατικόν, τὸ δὲ τοῦ σίνους) οὐ καλή. ὅταν δὲ ὁ τὸ σίνος σημαίνων ἀστὴρ εὑρεθῇ ἐν τῷ δυτικῷ κέντρῳ ἢ ἐν τῷ η′ (τουτέστι τῷ θανατικῷ τόπῳ) ἐξ ἐκείνου τοῦ πάθους τὴν τελευτὴν ἔσεσθαι οριστέον, ἐπὰν δὲ καὶ ὑπὸ ἀγαθοποιοῦ μὴ θεωρῆται ὁ τοῦ σίνους καὶ πάθους σημαντικὸς ἀστὴρ ἐξ ἐκείνου τοῦ πάθους ἡ τελευτὴ ἔσται.

8 Λεπτομερέστερον δὲ οἱ ἀρχαῖοι ἀνέγραψαν περὶ τῶν τῆς Σελήνης μόνης ἐπεμβάσεων ἃ καὶ αὐτὰ παρατιθέμεθα. Κριῷ γὰρ αὐτῆς οὔσης ὑπὲρ γῆν μετὰ μοίρας θ ἐπιτήδειον εἰς ἀποδημίαν καὶ ἀγορασίας εὐσχήμονας, ἀγροὺς γεωργεῖν, κουρεύειν τετράποδα, θεμελιοῦν, δανείζειν, συνθήκας ποιεῖν, ἱστουργεῖν, ἁρμόζει δὲ καὶ ταῖς φθείρειν προαιρουμέναις, ἐν δὲ τῇ β′ πεντεκαιδεκαμοιρίᾳ τοῖς κατὰ τὴν ἕω ἀρχὴν καὶ ἐξουσίαν παραλαμβάνουσιν αἴσιον, ἀνάρμοστον δὲ γάμον ποιεῖν καὶ πατρῴων κτημάτων παραλήψεις ποιεῖσθαι ἐπιζήμιον. ἐν Ταύρῳ οὔσης περὶ α′ πεντεκαιδεκαμοιρίαν ὁδοιπορεῖν, γεωργεῖν, σπείρειν, φυτεύειν, ὠνεῖσθαι δούλους, τετράποδα, οἰκοδομεῖν, φρέατα ἐργάζεσθαι, ἱδρύειν ἱερά, ἀρχὰς καὶ ἐξουσίας λαμβάνειν περὶ τὰ νότια κλίματα, ἐν δὲ τῇ β′ πεντεκαιδεκαμοιρίᾳ ταῖς ἐκτιτρωσκούσαις συμφέρον, ἀβέβαιον δὲ γαμεῖν, τέκνα τρέφειν (τὰ γὰρ τέκνα ἐν πλάνῃ ἔσται), καὶ τὸ μισθοῦσθαι ζημιῶδες. τῶν δὲ Διδύμων ἕως τοῦ ἡμίσεως ἀποστρεπτέον πράγματος κατάρχεσθαι, κατὰ δὲ τὸ ἄλλο ἥμισυ δεῖ πράσσειν, γαμεῖν, τεκνοτροφεῖν, ὠνεῖσθαι οἰκίας, ἀγρούς, ὅρκους καὶ πίστεις ποιεῖν, οἰκοδομεῖν, γεωργεῖν, φυτεύειν, τεχνῶν ἄρχεσθαι, παρακαταθήκας τιθέναι, ἀρχὴν ὑποδέχεσθαι, ἐπικίνδυνον δὲ ἐκτιτρώσκειν, ἔχθρας ποιεῖν, πλεῖν ἢ τόπων ἀναχωρεῖν ἢ προσώπων. Καρκίνου δὲ κατὰ τὸ α′ ἥμισυ γαμεῖν, τεκνοτροφεῖν, ὠνεῖσθαι, πλεῖν βραδυτῆτα ἔχον, κατὰ δὲ τὸ ἄλλο ἥμισυ ἐχθροῖς ἐπιτίθεσθαι, ἁλιεύειν, φυτεύειν, σπείρειν, κηπουρεύειν, μέταλλα ὀρύσσειν, ποταμοὺς καὶ φρέατα καὶ κολυμβήθρας διορύσσειν, παρακαταθήκας γῇ διδόναι, χρέα λαμβάνειν ἢ διδόναι, παραφυλάσσεσθαι δὲ τὰς ἀπὸ ξηρῶν ἐργασίας, ἄρρενας δὲ δούλους πρίασθαι, ἔχθρας δὲ ἀποφυγεῖν (ἀδιάλυτοι γὰρ ἔσονται καὶ ἀδιάλλακτοι).

9 Λέοντος ἀπὸ μοίρας ι′ τετράποδα ὠνεῖσθαι καὶ ἐπιβάλλεσθαι ἀρχαῖς καὶ ἐξουσίαις, δανείζεσθαι, μὴ ὁδοιπορεῖν (βλαβερὸν γάρ) ἢ πλεῖν, δεῖ δὲ οἰκέτας παραφυλάττεσθαι καὶ ἐχθρῶν ἐπιθέσεις (τὰ ἀπολλύμενα δυσανακόμιστα ἔσται), γαμεῖν οὐκ αἴσιον οὐδὲ γυναικὶ ἐκτιτρώσκειν. Παρθένου κάλλιστον σῖτον, χρυσόν, ἄργυρον, ἱμάτια, σώματα καὶ ὅσα πρὸς κόσμον χρήσιμα ἀγοράζειν, οἰκοδομεῖν, καινοῖς χρῆσθαι σκεύεσι καὶ ἱματίοις, μετάλλων ἐνάρχεσθαι, φυτεύειν, σπείρειν, γεωργεῖν πλὴν ἀμπέλου, γαμεῖν χήραν (αἱ γὰρ παρθένοι ἀσύμφωνοι), μετοικίζεσθαι, μισθοῦσθαι, δανείζεσθαι, ἐκτιτρώσκειν, πατρῷα λαμβάνειν, πλοῦ ἄρχεσθαι, οὐ συμφέρον δὲ οἶνον καὶ ἔλαιον διοικεῖν, ἱστουργεῖν δὲ καὶ τίκτειν καλόν. Ζυγῷ συμφέρει πάντα ἐκ δικαίου καὶ ἀγοράζειν καὶ πωλεῖν καὶ ὅσα διὰ μέτρων καὶ σταθμῶν, χρέος λαμβάνειν καὶ ἀρχὴν καὶ ἐξουσίαν, ὁδεύειν, θεμελίους τιθέναι, οἰκοδομεῖν ἄνευ τοῦ στεγάζειν, ποταμοὺς αἱρεῖν, φρέατα ὀρύσσειν, ἱστουργεῖν, γαμεῖν, φιλίας ποιεῖν, ἐναντίον δὲ ἀγοράζειν, οἰκίας ἢ χώρας μισθοῦσθαι ἢ μετοικίζεσθαι (ὅσα τε ἀπὸ ξηρῶν συνέστηκεν ἀνάρμοστον), ἐκτιτρώσκειν ἐπικίνδυνον καὶ ταῖς αὐτομάτως τοῦτο παθούσαις. Σκορπίῳ χρήσιμον ὁδοιπορεῖν, πλεῖν, ἐν δὲ ἀγορασίαις καὶ πράσεσιν ἐπιβουλεύειν, ἐχθροῖς ἐπιτίθεσθαι, πύλας καθιστᾶν, ἱερὰ ἱδρύειν, βωμοὺς οἰκοδομεῖν, ἀγεώργητον χώραν γεωργεῖν, φρέατα ὀρύσσειν, μεταλλεύειν, παρακατατίθεσθαι, τόπους διαιρεῖν, σκευῶν καινῶν χρῆσιν ποιεῖσθαι, ὕδωρ ἄγειν καὶ ποταμούς.

10 ἅπαντα δὲ ταῦτα περὶ τὴν πρώτην πεντεκαιδεκαμοιρίαν συνοίσει, τὰ δὲ περὶ τὴν δευτέραν ἄχρηστα· ἡ νυμφευθεῖσα δούλοις μιγήσεται, κοινωνεῖν πονηρὸν καὶ ἰατρὸν κάμνοντι ἐπεισάγειν, καὶ ἐκτιτρώσκειν ἐπισφαλές. Τοξότῃ καλὸν πλεῖν ἐπὶ τὰ οἰκεῖα, ἵππους τρέφειν καὶ βοῦς καὶ κτήνη ἕτερα, κιχρᾶν τε ἀλλότρια, δανείζεσθαι καὶ τὰ ἐκτὸς ὄντα εἰς τὴν οἰκίαν ἀπολαβεῖν, ἐχθροῖς ἐπιτίθεσθαι, τὰ πατρῷα ἀπολαμβάνειν, ἀλλότρια οἰκοδομεῖν, θεμελίους τιθέναι, κύνας ἀγοράζειν, ἁλιεύειν, κυνηγεῖν, ἱστουργεῖν, ἐπιβλαβὲς δὲ πιστεύεσθαι, δανείζειν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποδημεῖν (χρονία γὰρ ἔσται ἡ ὁδός), οὐ συμφέρει δὲ οὔτε ἰατρὸν εἰσάγειν οὔτε φάρμακον πίνειν οὔτε καθαίρεσθαι οὔτ' ἐκτιτρώσκειν. Αἰγοκέρωτι καλὸν θρέμματα ὠνεῖσθαι, πιπράσκειν, ἐμπορεύεσθαι, πλεῖν, ὄρνεα ὠνεῖσθαι, θηρᾶν, φρέατα ὀρύσσειν, τοίχους ἐγείρειν, τῶν κατὰ τὴν οἰκίαν ἐνάρχεσθαι, κοινωνεῖν, φιλίας ποιεῖν, ἐξ ἀποδημίας εἰς τὰ οἰκεῖα ἐπανέρχεσθαι κατὰ γῆν καὶ κατὰ θάλατταν, τέχνας τε διδάσκειν καὶ μουσικήν, ἀφροδισίοις χρῆσθαι, ἱστουργεῖν, ἐπικίνδυνον δὲ ταῖς ἐκτιτρωσκούσαις, καὶ ὁδοῦ ἐνάρχεσθαι ἐπισφαλές. Ὑδροχόῳ καλὸν πλοῦ καὶ ὁδοιπορίας ἀπάρχεσθαι καὶ ὅσα δι' ὑγρῶν καὶ σταθμῶν ὠνεῖσθαι, οἰκοδομεῖν καὶ κοσμεῖν οἴκους, φρέατα ὀρύσσειν καὶ τὰ πεφραγμένα, γεωργεῖν, φυτεύειν, σπείρειν, ποταμούς, κολυμβήθρας ὀρύσσειν καὶ ὅσα ἐν γῇ κατετέθη, ἱστουργεῖν, ἀκίνδυνον δὲ καὶ ταῖς ἐκτιτρωσκούσαις, οὐκ ἐπιτήδειον δὲ ὀμνύναι ἢ πράσσειν τι ἄδικον, ὁρκίζειν δὲ καὶ πᾶν ὅπερ τοῦ δικαίου ἔχεται ποιεῖν ἀκώλυτόν ἐστιν. Ἰχθύσι καλὸν πλεῖν, ὁδεύειν, ὠνεῖσθαι, ἐμπορεύεσθαι κατά τε γῆν καὶ κατὰ θάλατταν καὶ ὅσα ἐξ ὑγρῶν καὶ ὅσα πρὸς ἁλείαν καὶ θήραν καὶ στρατείαν, ἐπιτίθεσθαί τε καὶ μάχεσθαι, ἰξεύειν, κοινωνίας κατάρχεσθαι καὶ φιλίας, γαμεῖν καὶ ὅσα πρὸς ἰσότητα συμφέρει εἰ καὶ ἡ γαμηθεῖσα λοίδορός τις καὶ λάλος καὶ μοιχαλίς, φυλάσσεσθαι δὲ δεῖ οἰκοδομεῖν.

11 οὐ μόνον δὲ χρὴ ἐπὶ πᾶσι τούτοις τὴν τοπικὴν στάσιν τῆς Σελήνης διακρίνειν, ἀλλὰ καὶ τὰς μαρτυρίας Ἡλίου τε καὶ τῶν λοιπῶν ἀστέρων. Ἔμπρακτοι δὲ ἡμέραι νοοῦνται ὅταν γένηται ἡ Σελήνη ἐν τῷ κατὰ γέννησιν ζῳδίῳ ἢ κατὰ τρίγωνον αὐτοῦ σὺν ἀγαθοποιοῖς ἢ καὶ ἐν παντὶ ζῳδίῳ μετὰ τῶν ἀγαθοποιῶν ἀπόντων τῶν φθοροποιῶν πλὴν πανσελήνου καὶ συνόδου, καὶ αἱ ὧραι δὲ ἔμπρακτοι γίνονται ὁπόταν ὡροσκοπῇ τὸ τῆς γενέσεως ζῴδιον ἢ κατὰ τρίγωνον σχηματίζηται ἢ καὶ συναναφέρηται τῷ ὡροσκόπῳ τῆς Σελήνης μηδενὶ τῶν κακοποιῶν συσχηματιζομένης. ἄπρακτοι δὲ ἡμέραι καὶ κακαὶ ὅταν ἡ Σελήνη ἐν τετραγώνῳ ζῳδίῳ τῆς γενέσεως γένηται ἢ ἐν τῷ ἀντικειμένῳ σὺν τοῖς φθοροποιοῖς ἢ κατὰ τὴν πανσέληνον ἢ σύνοδον ἢ καί τις τῶν κακοποιῶν ὡροσκοπῇ ἢ ἐπίδῃ τὴν πανσέληνον ἢ τὴν σύνοδον ἀπόντων τῶν ἀγαθοποιῶν· Ἑρμῆς γὰρ κοινωνὸς ὢν συνανακίρναται οἷς ἂν συγγένηται. Προσεκτέον τοίνυν ἐπιμελῶς τῇ τε Σελήνῃ καὶ τῷ ὡροσκόπῳ καὶ τῷ κλήρῳ τῆς τύχης καὶ τοῖς λοιποῖς κέντροις ἅτε τὴν ἡγεμονίαν καὶ ἀκρίβειαν τοῦ πράγματος κεκληρωμένοις, παραφυλάσσοντας τὴν Σελήνην ἀπὸ συνόδου ἕως πανσελήνου εἰ ἐν χρηματιστικοῖς τόποις εὑρίσκεται ἢ δεσπόζει τοῦ κλήρου ἢ ἐπ' αὐτοῦ τύχῃ καὶ ὁ τὴν οἰκοδεσποτείαν αὐτῆς κεκληρωμένος συνῇ τῷ τὴν κυρίαν ἔχοντι τοῦ κλήρου ἢ ἀνταμείψονται τὰ ζῴδια. τούτων γὰρ οὕτως ἐχόντων ἀπρόθετοι καὶ ἄσκεπτοι γίνονται αἱ ἀγορασίαι καὶ οἱ γάμοι, αἰφνίδιοί τε αἱ κινήσεις καὶ αἱ δίκαι καὶ αἱ περιστάσεις ἀνέλπιστοι.

12 ἀπὸ πανσελήνου τρεχούσης (τουτέστιν ἀφαιρούσης) παρολκὴν τοῖς φαινομένοις ἀποδείκνυσι καὶ μῆκος χρόνου. προσεκτέον δὲ καὶ ταῖς ἄλλαις φάσεσιν αὐτῆς καὶ τοῖς ἄλλοις ἀστράσι σκοποῦντας μὴ πάντοτε τοὺς ἀγαθοποιοὺς ἀγαθῶν εἶναι ποιητικοὺς μήτ' αὖ τοὺς κακοποιοὺς ἐν τοῖς ἰδίοις οἴκοις καθεστῶτας ἢ ὁρίοις ἢ τριγώνοις ἢ ὑψώμασι καὶ ἐπὶ δορυφορίας φανέντας κατὰ τὴν ἑαυτῶν αἵρεσιν (τουτέστιν ἐπὶ τῆς ἑῴας ἀνατολῆς πρὸς Ἥλιον, ἐπὶ δὲ ἑσπερίας ἀνατολῆς τῆς νυκτὸς πρὸς Σελήνην)· ἀνοικείως γὰρ φανέντες καὶ τῆς αἱρέσεως ἀπηλλοτριωμένοι ἢ ἐπαναφερόμενοι ἀπροκοπίας καὶ κακῶν αἴτιοι. λβ'. Περὶ κτίσεως καὶ οἰκοδομιῶν Ἐὰν βουληθῇ τις εὐδαίμονα πόλιν κτίσαι καὶ παράμονον, ὁμοίως τε ναῶν καὶ οἴκων καὶ τειχῶν οἰκοδομίας καταβαλέσθαι, ἐπιτηρείτω τὴν Σελήνην ἐν τῷ βασιλικῷ τριγώνῳ παροδεύουσαν κατὰ τὸν καιρὸν καὶ τὴν καταρχὴν τῆς ἐπιγραφῆς ἤτοι θεμελιώσεως καὶ ὑπὸ πάντων τῶν ἀστέρων καλῶς μαρτυρουμένην· οὕτω γὰρ τυχοῦσα ὑπὸ μεγίστων βασιλέων ἤτοι ἀρχόντων τὸ κτίσμα καὶ τὴν τούτου ἐπιμέλειαν καὶ φροντίδα ἔσεσθαι μηνύει καὶ ἐνδιαίτημα βασιλέων καὶ θεοῖς προσφιλές, ἐπίσημόν τε καὶ ἔνδοξον καὶ πολυχρόνιον. εἰ τύχῃ δὲ

ἀπολειπόμενός τις τῶν ἀστέρων τῆς προσφόρου μαρτυρίας τὸ ἐνδεὲς περὶ τὴν πόλιν ἐσόμενον ἐντεῦθεν συνοραθήσεται· τοῦ μὲν γὰρ Ἄρεως ἀποκεκλικότος καὶ ἀποστρόφου τυγχάνοντος τῇ καταρχῇ ἐνδεὴς ἔσται ὅπλων καὶ ἀσθενήσει περὶ τὰ πολεμικά, τῆς δὲ Ἀφροδίτης ὁμοίως ἀσυνδέτου τυγχανούσης χαρίτων καὶ τρυφῆς καὶ ἀστειότητος ἐκτὸς ἔσται καὶ τοῦ φιλεῖσθαι, ἢν δὲ ἀπὸ Διὸς ἀθεώρητος ἡ καταρχὴ γένηται εὐεπηρέαστος ἔσται, οὐδεμιᾶς φροντίδος ἢ κηδεμονίας μετέχουσα, τοῦ δὲ Ἑρμοῦ ἀσυσχηματίστου ὄντος οὐ φρόνησις, οὐ λόγων ἄσκησις ἐν αὐτῇ ἔσται.

13 Εἰ δὲ συμβαίη ἐναντιοῦσθαι τὸν Ἄρεα ἢ τὸν Δία τοῖς φωσίν (τουτέστιν Ἡλίῳ καὶ Σελήνῃ) καὶ πολέμων πειραθήσεται ἡ πόλις, καὶ μάλιστα ὅταν κατὰ τῶν τετραγώνων παραγένηται ἡ Σελήνη κατὰ τὴν τοῦ διαστήματος πρὸς ἀναφορὰν ὥραν (τουτέστι τοῦ ζῳδιακοῦ μοίρας ϙ ), συμβαίνει δὲ μὴ πάντας τοὺς ἐνοικοῦντας θανάτῳ ἢ λαφυραγωγίᾳ καὶ δουλείᾳ ὑποπίπτειν τῷ μὴ πάντα τὰ κατασκευάσματα αὐτῆς καὶ τὴν κτίσιν ὑπὸ μίαν καιροῦ ῥοπὴν τὴν καταρχὴν λαμβάνειν. ὥσπερ δὲ ἐπὶ τῶν γενέσεων ἡ τετράγωνος πλευρὰ τὸ τέλος τῆς ζωῆς ἐπιτίθησιν, τότε περ εἴωθε συμπληροῦσθαι τὰ χρονικὰ καὶ ἀπόλλυσθαι παντελῶς ἡ κατασκευασθεῖσα πόλις ὁπηνίκα σύμπαντες οἱ κακοποιοὶ κατὰ τὸ τετράγωνον τῆς Σελήνης βιαιότερον τὰς ἀκτῖνας ἐπιφέρουσιν· συμβαίνει γὰρ οὕτως ἐπαύξεσθαι τὰ τῆς συμφορᾶς κατὰ β τρόπους συμπίπτοντα, ἔκ τε τῆς κακώσεως τοῦ τετραγώνου καὶ τῆς κατὰ πῆξιν τῆς Σελήνης στάσεως. τὰ δὲ αὐτὰ ἀποτελεσθείη καὶ τῶν ρπ μοιρῶν τῆς ἀναφορᾶς συμπληρουμένης ἢ καὶ ἕως ἑτέρας τετραγώνου ἢ συμπληρουμένου παντὸς τοῦ κύκλου, ἢν δὲ καὶ ἀκάκωτος τύχῃ τετράγωνος ὑπὸ τῆς τῶν κακοποιῶν παρόδου καὶ δευτέρου κύκλου καὶ τρίτου ἐφάψηται μερικῶς τὰ συμπτώματα τῶν κακώσεων ὑπομένουσα. Ἔστι δὲ καὶ ἑτέρα κάκωσις ὁπόταν ἔκλειψιν ὑπόγειον ἡ Σελήνη ποιῇ τῆς καταρχῆς καὶ τῆς κατασκευῆς ἐν τῷ μεταξὺ τῆς ἐπιούσης συνόδου γεγενημένης καὶ τῆς Σελήνης κατὰ τοῦτον τὸν χρόνον πρὸς τοὺς κακοποιοὺς σχηματιζομένης ἢ κατὰ τὸν χρόνον τῆς πανσελήνου.

14 συμβαίνει γὰρ κατὰ τὴν τοιαύτην καταρχὴν σεισμῷ ἀπόλλυσθαι, συνεχέστερον δὲ τὰς οὕτω γιγνομένας πόλεις βλάπτεσθαι· ἐπὶ μὲν τοῦ τοῦ Κριοῦ τριγώνου πυρώδους ὄντος ἀπὸ πυρός, ἐπὶ δὲ 〈τοῦ〉 τοῦ Ταύρου γεώδους ὄντος ὑπονοητέον τὰς ἀπὸ γῆς καὶ γεωργίας βλάβας ἢ ὠφελείας κατὰ τοὺς τῶν σχημάτων ὅρους, ἐπὶ τοῦ τῶν Διδύμων τριγώνου ἀερώδους ὄντος τὰς ἐξ ἀέρων ὠφελείας ἢ βλάβας, ἐπὶ δὲ τοῦ τοῦ Καρκίνου ὑδατώδους ὄντος τὰς ἐξ ὑγρῶν ὠφελείας ἢ βλάβας. καὶ οἱ κτίζοντες δὲ καὶ τὴν φροντίδα τῆς κατασκευῆς ἀνειληφότες κατὰ τὴν τῶν οἰκοδεσποτῶν φύσιν τῆς ἀξίας καὶ τῶν ἠθῶν μεθέξουσιν. Σελήνη γὰρ αὐξιφωτοῦσα καὶ τὰ βόρεια ἀνιοῦσα καὶ τοῖς ἀριθμοῖς προστιθεῖσα ἀγαθὴ τοῖς κτίζουσιν. δεῖ δὲ καὶ τοὺς ἀγαθοποιοὺς ἢ συνεῖναι αὐτῇ ἢ μαρτυρεῖν· ἐὰν γὰρ Κρόνος ἢ συνῇ ἢ μαρτυρῇ βραδυτῆτα καὶ συμπτώσεις ποιεῖ, ἐὰν δὲ Ἄρης διὰ πυρὸς φθείρει. Σελήνης νότον ἀνερχομένης δεῖ θεμελίους πήσσειν, βορρᾶν δὲ τοίχους ἐποικοδομεῖν, βορρᾶν δὲ κατερχομένης τοίχους καθαιρεῖν, νότον δὲ θεμελίους ἀνορύττειν. ἐν πᾶσι δὲ τούτοις οἱ μὲν κακοποιοὶ ἀπέστωσαν, οἱ δὲ ἀγαθοποιοὶ μαρτυρείτωσαν. λγʹ.

15 (1t) Περὶ γάμου Ἐν συνελεύσει καὶ ἁρμογῇ γάμου προσέχειν χρὴ τῷ τε κυρίῳ τοῦ κλήρου καὶ τῆς ὥρας, ἔτι δὲ καὶ τῷ τῆς προγενομένης συνόδου κυρίῳ καὶ τῇ πρὸς ἀλλήλους τε καὶ τὰ φῶτα καὶ τῇ τοῦ θανατικοῦ ἀστέρος σχηματοθεσίᾳ. τυχὼν γὰρ ὁ κλῆρος τῆς τύχης εἰς τὸ δυτικὸν ἢ ὁ τούτου κύριος ἢ ὁ τοῦ δυτικοῦ κέντρου κύριος ἐπ’ αὐτοῦ σὺν τῷ κληρικῷ ἀστέρι ἢ ἐπὶ τοῦ κληρικοῦ ἀστέρος ἢ ἐπὶ τοῦ κληρικοῦ ζῳδίου (δηλονότι σὺν τῷ τοῦ κλήρου ἀστέρι) τῆς Σελήνης ἐπιμαρτυρούσης γάμον καὶ συνέλευσιν σημαίνει. Ἐπιφυλακτέον οὖν τὴν Ἀφροδίτην ἑῴαν ἀναποδίζουσαν καὶ ἐπὶ τὸν Δία ἐρχομένην· οὕτω γὰρ ἀνάρμοστοι καὶ ἀβέβαιοι οἱ γάμοι γίνονται τῶν συνερχομένων τυγχανόντων κούφων τὰ ἤθη. καὶ εἰ μὲν ἐν θηλυκῷ ζῳδίῳ τύχῃ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοιούτους τοὺς ἄνδρας, εἰ δὲ ἐν ἀρσενικῷ τὰς γυναῖκας τοιαύτας νομιστέον. εἰ δὲ οὕτως ἐχούσης τῆς Ἀφροδίτης ἀπόζευξις γένοιτο ἐπανήξει αὖθις ἡ γυνὴ προστιθείσης τῆς Ἀφροδίτης τοῖς ἀριθμοῖς, εἰ δὲ Ἄρης ἀναποδίζει ἐν τῇ καταρχῇ τοῦ χωρισμοῦ ἐπιστρέψαντος αὐτοῦ καὶ προστιθέντος ὁ ἀνὴρ διαλλαγήσεται καὶ μετελεύσεται τὴν γυναῖκα. Εἰ δ' ὁ κύριος τοῦ γάμου ἐν τῇ καταρχῇ μεσουρανῶν τύχῃ ἐν θηλυκῷ ζῳδίῳ πολύκοινον δείξει τὴ γυναῖκα, εἰ δ' ἐν ἀρσενικῷ τὸν ἄνδρα. τετράγωνος δὲ ὁ Ζεὺς τῷ γαμικῷ ἀστέρι τυχὼν στάσεως τῆς ἐν γάμῳ δηλωτικός ἐστιν, κἀκεῖ καὶ ἡ Σελήνη ἐν ἀρσενικῷ ζῳδίῳ τυχοῦσα. ὡροσκοπῶν δὲ ὁ τοῦ γάμου κύριος ἐπίμεμπτον τὸν γάμον δηλοῖ, καὶ μάλιστα ὁ Ζεὺς ἐν θηλυκῷ ζῳδίῳ ἄπροικον ἢ ψευδοπλουσίαν ἢ ὑπόδικον, εἰ δὲ ἐν ἀρσενικῷ τὸν ἄνδρα τοιοῦτον. Ἐπειδὴ προείρηται ὅτι ὁ μὲν ὡροσκόπος ἐστὶν ὁ γαμῶν, τὸ δὲ δῦνον ἡ γαμουμένη, τὸ δὲ μεσουράνημα ἡ ἀμφοτέρων ὁμόνοια καὶ παραμονή, τὸ δ' ὑπόγειον ἡ προὶξ καὶ τὸ τοῦ γάμου ἀποτέλεσμα, δῆλον μὲν οὖν ὅτι τοῦ Κρόνου ὡροσκοποῦντος ὁ γαμῶν ἔσται πρεσβύτης καὶ ῥυπαρός, Ἄρεως δὲ νεώτερος καὶ ὀργίλος, τοῦ δὲ Διὸς πλούσιος καὶ ἀγαθός, μέσης ἡλικίας, Ἀφροδίτης δὲ ἱλαρός, καθάριος, ἡδύβιος, κατωφερὴς εἰς γυναῖκα, Ἑρμοῦ δ' εὐπαίδευτος, συνετὸς καὶ ἐρωτικὸς εἰς παῖδας, Ἡλίου δὲ καὶ Σελήνης εὐγενὴς καὶ ἐπίσημος.

16 Κρόνου δὲ μεσουρανοῦντος διάλυσις ἔσται τοῦ γάμου διὰ ῥυπαρίαν καὶ σμικρολογίαν, Ἄρεως δὲ δι' ἀκαταστασίαν καὶ ζηλοτυπίαν (ἐπὰν δὲ καὶ ὁ τῆς Ἀφροδίτης συνῇ αὐτῷ ἢ μαρτυρῇ διὰ μοιχείαν, εἰ δὲ Ἑρμῆς διὰ παιδὸς ἔρωτα), Διὸς δὲ καὶ Ἀφροδίτης ὁμόνοια αὐτοῖς ἔσται καὶ τεκνοποιία, Σελήνης δὲ καὶ Ἡλίου ἐπισήμους αὐτοὺς ἔσεσθαι. ἐπὶ δὲ τοῦ δύνοντος τυχόντες ὅμοια ἀποδεικνύουσι περὶ τὴν γυναῖκα οἷα καὶ ἐπὶ τοῦ ἀνδρὸς ἐν τῷ ὡροσκόπῳ. ἢν δὲ Ἄρης καὶ Κρόνος ἢ ἀμφότεροι ὑπὸ γῆν εὑρεθεῖεν ἰδίων ἀποβολὴν ἢ τέκνων καὶ τῆς προικὸς καὶ προτελευτὴν τοῦ ἀνδρὸς σημαίνει, ἢν δὲ Ζεὺς καὶ Ἀφροδίτη ὑπόγειοι ὦσι πολὺν χρόνον σὺν ἀλλήλοις καὶ τέκνα ἔσεσθαι, καὶ ἐὰν μὲν ἐν ἀρσενικῷ ζῳδίῳ ὁ ἀνὴρ ἐπιζήσεται, εἰ δὲ ἐν θηλυκῷ ἡ γυνή, ὁ δὲ Ἑρμῆς καθὼς ἂν τὴν τῶν ἄλλων μαρτυρίαν δέξηται ἑκάστῳ ἐμφαίνει. Τοῦ δὲ Ἡλίου μὲν κεκακωμένου, τῆς δὲ Ἀφροδίτης ὑπὸ ἀγαθοποιῶν μαρτυρουμένης ἐν τῇ καταρχῇ, ἄρχειν τὴν γυναῖκα τοῦ ἀνδρὸς δηλωτέον, ἔμπαλιν δὲ τυχόντων ἔμπαλιν ἔσται. τῆς δὲ Σελήνης κεκακωμένης ἀμφοτέροις ἀσύμφορον καὶ τῇ προικί. ὁ ὡροσκόπος καὶ τὸ μεσουράνημα ἔχοντες ἀγαθοποιοὺς σημαίνουσι τεκνοποιίαν ἐπὶ συμφέροντι, κακοποιοὺς δὲ ἀποβολήν. φυλάσσεσθαι δὲ καὶ τοῦ κυρίου τῆς τύχης κακωθέντος ἀγαγέσθαι γυναῖκα.

17 χαλεπὸς δὲ καὶ ὁ κατὰ γένεσιν οὕτως ἔχων γαμικὸς ἀστήρ. κενοδρομοῦσα δὲ ἡ Σελήνη πολυκοίνους μηνύει, ἀγαθὴ δὲ ὑπόγειος ἐν θηλυκῷ ζῳδίῳ τοῦ Ἡλίου ὄντος ἐν ἀρσενικῷ· ὑποτεταγμένην γὰρ αὐτὴν ποιεῖ. λδʹ. Περὶ συνελεύσεως Μέλλων δὲ συγγενέσθαι ὁ γαμῶν ἔσται ἱλαρὸς καὶ ἀπὸ ἱλαρῶν καὶ ἄλυπος μήτε ἄγαν βεβαρημένος τροφῇ καὶ μέθῃ. φυλασσέσθω δὲ τὸν Ἥλιον καὶ τὴν Σελήνην καὶ τὸν κλῆρον ἐν τῷ ηʹ ἢ ἐν τῷ βʹ τῷ τούτου διαμέτρῳ· ἐπιτηρείτω οὖν καὶ τὸν τῆς ὥρας κύριον ἀκάκωτον εἶναι. ὁ δὲ κλῆρος ἔστω ἐν τῷ περὶ φιλίας ἢ ἐν τῷ περὶ τέκνων ἢ ἐν τῷ μεσουρανήματι ἢ ἐν τῷ θεῷ, ἔστω δὲ καὶ ἡ Σελήνη ἀκάκωτος καὶ σύμφωνος τῷ ὡροσκόπῳ. ὁ δὲ Ἑρμῆς ἐπὶ ἀνατολῆς τυγχάνων ὑπὸ Διὸς καὶ Ἀφροδίτης μαρτυρούμενος ἐν τῇ ὥρᾳ τῆς καταβολῆς ποιήσει τὰ τικτόμενα εὐτυχῆ καὶ εὐπαίδευτα καὶ εὐδαίμονα. λέγουσι δὲ οἱ περὶ Πετόσιριν ὅτι ἐν ᾧ ζῳδίῳ εὑρίσκεται ἡ Σελήνη ἐν τῇ σπορᾷ τοῦτο ὡροσκοπήσει ἐν τῇ ἐκτέξει, ὅπου δὲ ἐν τῇ ἐκτέξει παροδεύει τοῦτο ὡροσκόπησεν ἐν τῇ σπορᾷ. λεʹ. Περὶ χωρισμοῦ Τοὺς δὲ χωρισμοὺς αὐτῶν καὶ ἐπανελεύσεις ἐπιβλέπειν δεῖ οὕτως. τὴν καταρχὴν ἐν ᾗ γεγένηται ὁ χωρισμὸς ἢ καὶ ἐν ᾗ ὥρᾳ πύθηταί σου ὅρα τὴν Ἀφροδίτην καὶ τὸν Ἥλιον· ἐὰν τοίνυν εὕρῃς τὸν μὲν Ἥλιον ἐν τῷ μεσουρανήματι ἢ ἐν τῷ ιαʹ, τὴν δὲ Ἀφροδίτην ἑσπερίαν ἀναποδίζουσαν, λέγε αὖθις τὴν γυναῖκα ἐπανελεύσεσθαι θυμήρως.

18

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐὰν δὲ ἡ γυνὴ ἐκβληθῇ ὑπὸ τοῦ ἰδίου ἀνδρός, εἰ μὲν αὐξιφωτεῖ ἡ Σελήνη δυσκόλως εἰς τὸν ἑαυτῆς ἄνδρα ἐπανήξει, ἐὰν δὲ ἀποκρούῃ ἡ Σελήνη εὐκόλως ἐπάνεισιν, ἐπ’ αὐτῆς δὲ 〈τῆσ〉 συνόδου δυσχερῶς ἐπανήξει. ἐὰν δὲ ἐν ὅσῳ ἡ Σελήνη τὸν ἴδιον κύκλον ἀπαρτίζῃ ὁ Ἥλιος μεταβῇ εἰς ἕτερον ζῴδιον θηλυκὸν Ἀφροδίτης σὺν αὐτῷ οὔσης, διαλυθέντος τοῦ γάμου ὁ ἀνὴρ ἑτέραν γαμήσει. ἐπιτηρητέον δὲ καὶ τὸν ὡροσκόπον καὶ τὴν Σελήνην ἐπειδὴ τυχόντες οὗτοι ἐπὶ στερεῶν ζῳδίων ἐν τῇ καταρχῇ βέβαια ποιοῦσιν, ἐπὶ δὲ τροπικῶν τρεπτὰ καὶ ἀβέβαια, ἐπὶ δὲ δισώμων ἀμφισβητήσιμα. λϛʹ. Περὶ διαφορᾶς κυουμένων Ἐπὰν δὲ κατὰ γαστρὸς αἱ γυναῖκες ἔχουσαι βούλοιντο ἐκτιτρώσκειν μὴ δυνάμεναι τελεσφορεῖν ἁρμόζει τῆς Σελήνης οὔσης ἐν θηλυκοῖς ζῳδίοις ἀποκρουούσης καὶ νότον κατιούσης, μαρτυρουμένης τετραγωνικῶς ἢ τριγωνικῶς ὑπὸ Ἀφροδίτης καὶ Ἄρεως ἢ συνόντων αὐτῇ καὶ ἐν θηλυκῷ ζῳδίῳ ὄντων. ὅσα δὲ δεῖ ἐν τούτοις παρατηρεῖν τὴν Σελήνην τοσαῦτα καὶ τὸν ὡροσκόπον δεῖ ἔχειν κατά τε τὰ ὀρθὰ ζῴδια καὶ κατὰ τὰς μαρτυρίας Ἄρεως καὶ Ἀφροδίτης. λζʹ.

19 (1t) Περὶ γεωργίας Συνούσης τῆς Σελήνης τοῖς ἀγαθοποιοῖς ἢ μαρτυρουμένης καὶ ἐν τοῖς ἁρμόζουσι ζῳδίοις κάλλιστον γεωργεῖν, καὶ μάλιστα αὐτῆς τυγχανούσης ἐν τῷ ὑπογείῳ. ληʹ. Περὶ φρεάτων ὀρυγῆς καὶ λάκκων Ὀρύττων δὲ λάκκους καὶ εἰσαγωγὰς ὑδάτων ποιούμενος ἐπιτήρει τὸν κλῆρον τῆς τύχης καὶ τὸν κύριον αὐτοῦ ὥστε εἰς ζῴδιον ὑδατῶδες ἐμπίπτειν καὶ ἐπικέντρους ποίει τοῦ τε δευτέρου τόπου καὶ τοῦ ηʹ τοὺς οἰκοδεσπότας. ἀγαθὸν γὰρ τούτους ἐπαναφέρεσθαι τῷ τε ὑπὲρ γῆν κέντρῳ καὶ τῷ ὑπὸ γῆν· ἀποκλίναντες γὰρ φαῦλοι, καὶ μάλιστα ὅταν πόρρωθεν τὰ ὕδατα ᾖ μεταγόμενα ἢ ἀποστρεφόμενα. καὶ τὸν τοῦ κλήρου δὲ κύριον δεῖ παραφυλάσσειν, καὶ μάλιστα κατὰ τὸ ὑπόγειον, ἐξαιρέτως δὲ μήτε τὸν κύριον μήτε αὐτὸν τὸν κλῆρον εἶναι ἐν τῇ ἐπιδύσει μήτε ἐν τῷ ταύτης διαμέτρῳ, τουτέστι τῇ ἐπαναφορᾷ τοῦ ὡροσκόπου· οὕτω γὰρ ἂν ἀσφαλῶς καὶ ἀβλαβῶς πραχθείη τὸ ἔργον. Ἄλλως· ἐὰν λάχῃ ὡροσκόπον Καρκίνος καὶ ἡ Σελήνη εἰς ζῴδιον ὑγρὸν καὶ βλέπῃ τοὺς ἀγαθοποιοὺς ἀπὸ σχήματος ἀγαθοῦ δηλοῖ ὅτι ἐστὶν ὕδωρ καλόν. λθʹ.

20 Περὶ ἀγορασίας Ἔστω ὁ μὲν πιπράσκων ὁ ὡροσκόπος, τὸ δὲ δῦνον ὁ ἀγοράζων, τὸ μεσουράνημα τὸ τίμημα, ὁ ὑπόγειος τὸ πρᾶγμα τὸ ἀγοραζόμενον, ἐκ δὲ τῶν ἐπιμαρτυρούντων τοῖς τόποις σκοπητέον περὶ τοῦ ἀποτελέσματος. καὶ ἐκ τῆς Σελήνης δὲ εἰ σεσίνωται τὸ πιπρασκόμενον ἢ οὔ. ὁπόταν δὲ ὁ κλῆρος τῆς τύχης ἐμπέσῃ εἰς τὸν περὶ φιλίας τόπον, ὁ δὲ τούτου κύριος ἐν τῶν περὶ οἰκετῶν εὑρεθῇ σὺν τῷ δεσπόζοντι τοῦ ὡροσκόπου, περὶ 〈συνωνῆς οἰκέτου σημαίνουσιν.〉 Ex archetypo perierunt folia nonnulla. μʹ. Περὶ ἀποδήμων Ταῦτα ἔσται καὶ ἀξιόλογα. Ἄρεως δὲ καὶ Κρόνου ἐπὶ τοῦ δύνοντος ὄντων ἢ μαρτυρούντων αὐτῶν τῷ ζʹ τόπῳ ἀσθένειαι σωματικαί, ἐποχαὶ καὶ ζημίαι γενήσονται. ἐκ δὲ τῶν θεωρούντων ἀστέρων τὸ μεσουράνημα ἢ καὶ ἐπόντων τὸ πρᾶγμα οὗ χάριν ἡ ἐκδημία γίνεται γνωσθήσεται, τὸ δὲ τέλος ἐκ τοῦ ὑπογείου, τὸ κῦρος δὲ πάντων ἐκ τῶν σχηματισμῶν, μάλιστα τῆς Σελήνης, τελειοῦται, ἣν ἀπαγορευτέον πρὸς τὰς ἐξόδους κακοδαιμονοῦσαν ἢ κακοτυχοῦσαν· οὐ μόνον γὰρ δυσπραξίας αἰτία, ἀλλὰ καὶ πημάτων ὑπουργός. Οἱ οὖν ἀγαθοποιοὶ ὡροσκοποῦντες ἐν πᾶσι τὴν καταρχὴν καλὴν ποιοῦσιν· οἱ ἀγαθοποιοὶ ἐν τῷ ζʹ ὄντες ἐν ταῖς ἀποδημίαις ἐπικερδῆ καὶ ἐπίδοξον τὴν ἀποδημίαν μαντεύονται εἶναι. σκοπεῖν δὲ δεῖ καὶ τὸν κύριον τῆς Σελήνης καὶ τὸν κύριον τοῦ ὡροσκόπου ἵνα μὴ κακὰς φάσεις ἔχωσιν οἷον στηριγμούς, ἀναποδισμούς, δύσεις· οἱ γὰρ στηρίζοντες χρόνου πολλοῦ καὶ βραδυτῆτος αἴτιοι γίνονται, οἱ δὲ ὕπαυγοι ἀμαυρὰς τὰς πράξεις ποιοῦσιν.

21 καθολικῶς δ’ ἐκ παρατηρήσεως ἐν τῷ δυτικῷ κέντρῳ τυχοῦσα ἡ Σελήνη 〈ἢ〉 ἐν τῷ ἀποκλίματι μακρὰς τὰς ἀποδημίας παρέχει, τοῖς δ’ ἀπὸ ξένης εἰς τὰ οἰκεῖα ἐρχομένοις τὸ αὐτὸ τοῦτο σχῆμα τῆς Σελήνης ταχείας τὰς ἀναστροφὰς δηλοῖ. παραφυλάσσεσθαι δὲ καὶ τετραγωνίζοντας ἢ διαμετροῦντας τοὺς κακοποιοὺς δεῖ, τῶν δὲ ἀγαθοποιῶν ἀνακραθέντων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτοῖς ἀνώμαλον καὶ ἀμφήριστον τὴν ἀποδημίαν δηλοῖ. Ἐπισκοπήσαντα δὲ τὰ κέντρα ἐφορᾶν δεῖ τοὺς μέλλοντας τῶν ἀστέρων ἐκβαίνειν ἐν οἷς εἰσι ζῳδίοις· οὕτω γὰρ αἵ τε ἔξοδοι καὶ αἱ ἀποδημίαι μηνυθήσονται, καὶ αἱ ἐπανελεύσεις ἐκ τοῦ ἐπισκοπεῖν πότερον ἐξ ἀλλοτρίου εἰς ἴδιον οἶκον ἢ ὕψωμα μεταβαίνουσιν ἢ ἔμπαλιν· ἐκ τούτου γὰρ καταφανὲς ἔσται τὸ τῆς ἐπιδημίας καὶ τῆς ἐπανελεύσεως. καὶ οἱ μὲν στηριγμοὶ τὰς ἐπιμονὰς δηλοῦσι καὶ ὑποστροφὰς ὥσπερ ἡ δύσις θανάτους ἢ ἀπραγίας, αἱ δ’ ἀνατολαὶ ταχίστας τὰς ἀποδημίας ποιοῦσιν, δηλαδὴ τῶν τῆς Σελήνης σχηματισμῶν καὶ τῶν κέντρων τῆς καταρχῆς ἐχόντων μαρτυρίαν καὶ λόγον πρὸς τοὺς προειρημένους. Ἐπιτηρητέον δὲ μάλιστα τὴν Σελήνην διαμετροῦσαν τὰ κάθυγρα τῶν ζῳδίων ἢ καὶ ἐποῦσαν καὶ ὑπὸ κακοποιῶν θεωρουμένην κατὰ τὰ κραταιὰ σχήματα, τουτέστι τετράγωνα, διάμετρα· χαλεπώταται γὰρ αἱ τοιαῦται καταρχαὶ τοῖς πλέουσιν. ἐπὰν ἡ Σελήνη μὲν κακοποιηθῇ, τὰ δὲ κάθυγρα τῶν ζῳδίων ὑπὸ τῶν ἀγαθοποιῶν μαρτυρῶνται, αὔτανδρον μὲν τὸ σκάφος οὐ φθαρήσεται, οἱ πολλοὶ δὲ τῶν ναυτῶν σωθήσονται διαλυθέντος τοῦ σκάφους, καὶ τακτοῖς ἕκαστος ἐπανελεύσεται χρόνοις εἰς τὰ οἰκεῖα κατὰ τὴν τῆς ἐπιβάσεως εἰς τὴν ναῦν σύγκρισιν.

22 ἡ μὲν γὰρ ἀναγωγὴ τὰ κατὰ τὴν θάλασσαν καὶ τὸν πλοῦν σημαίνει, ἡ δὲ ἐπίβασις ἡ εἰς τὴν ναῦν τὰ κατὰ ἕνα ἕκαστον τῷ τάχει τῆς μεταπτώσεως τῶν κέντρων ἀλλοιοῦσα τὰ πράγματα· ἐπὶ δὲ τῶν ὁδευόντων ὁμοίως τὰ χερσαῖα καὶ τὰ τετράποδα τῶν ζῳδίων ἐπισκοπεῖν χρή. ἐπίμονα δ’ ἔσται πολλῷ μᾶλλον τὰ κακὰ ὁπόταν οἱ κακοποιοὶ ἐν αὐτοῖς στηρίζωσι μετὰ καὶ τοῦ παλινδρομιῶν τινων ἢ νόσων ποιῆσαι πειρασθῆναι. Κυρίως δὲ τοῖς πλέουσι κοινῶς ὅ τε ὡροσκόπος καὶ ἡ Σελήνη χωρὶς τῶν ε πλανητῶν· οὕτω τυχοῦσα σύμφορος ἐν Διδύμοις συνοίσει (εἰ καὶ βράδια τὰ κατὰ τὸν πλοῦν) καὶ Καρκίνῳ καὶ Αἰγοκέρωτι καὶ Ὑδροχόῳ καὶ Ἰχθύσιν. ἀσύμφορον δὲ ἐν Κριῷ· οὐ μόνον πλοῦ, ἀλλὰ καὶ ἐμπορίας κατάρχεσθαι ἀηδές (ὁ δὲ Δωρόθεος οὐ δέχεται τοῦτο), παρατηρητέον δὲ καὶ ἐν Ταύρῳ καὶ ἐν Λέοντι τοῖς μὴ ἐκ τῆς ἰδίας ἐκδημοῦσι. μὴ ἔστω δὲ ἡ Σελήνη λειψίφωτος μηδ’ ἐν συνόδῳ μετὰ Κρόνου ἢ ἐν πανσελήνῳ μετὰ Ἄρεως. Χρὴ δὲ ἐπιλεξάμενον τὸ ἁρμόζον ζῴδιον τῇ ἀποδημίᾳ ἐφαρμόζειν αὐτὸ τῇ τῶν ἀγαθοποιῶν μαρτυρίᾳ πρὸς αὐτό τε καὶ τὰ κέντρα καὶ οὕτω κατάρχεσθαι. Ἐπετήρησαν δὲ μερικῶς τὰ κατὰ τὸν πλοῦν ἢ τὴν ὁδὸν καὶ ἐπέγνωσαν οὕτως· συναγαγόντες γὰρ τὰ σημεῖα τῆς πορείας ἢ τοῦ πλοῦ τὰ στάδια καὶ μερίσαντες εἰς ἓξ μερίδας, ὡς ἑκάστῳ τῶν ζῳδίων ἀπὸ τοῦ ἀνατέλλοντος μέχρι τοῦ δύνοντος ἐπιβάλλει μερίδα μίαν, ἀπονέμουσι τῷ ὡροσκόπῳ τὴν πρώτην ἵνα σημαίνῃ τὸ α′ ἑκτημόριον τοῦ διαστήματος τῆς ὁδοῦ, τὴν δὲ δευτέραν μερίδα τῷ κακοδαιμονήματι, καὶ ἑξῆς ἐπὶ τὰ προηγούμενα ἕκαστον ἑκτημόριον διδόασιν, τὴν δὲ τελευταίαν ὁμοίως τῷ δύνοντι δηλοῦντι τὸ κατάλυμα καὶ τὰ τελευταῖα τῆς ὁδοῦ.

23 ἔπειτα τὴν τῶν ἀστέρων κοινωνίαν πρὸς ἕκαστον τόπον ἐπιτηροῦσιν· τῶν μὲν γὰρ ἀγαθοποιῶν μαρτυρούντων ἀγαθὰ καὶ εὐοδίαν μηνυτέον, τῶν δὲ κακοποιῶν τὸ ἐναντίον, τῷ στηριγμῷ δηλούντων κατοχὴν καὶ ἀναποδισμοὺς καὶ δυσχερείας ἐν τοῖς τόποις ἐν οἷς ἀναλόγως πρὸς τὰ ἑκτημόρια συμβαίνει τοῦ πλοῦ ἢ τῆς ὁδοιπορίας ἀπὸ τῆς τῶν ζῳδίων διαστάσεως, τοῦ τοῦ Ἄρεως ναυαγίου αἰτίου τυγχάνοντος, καὶ μάλιστα τοῦ κατὰ κορυφὴν ἤγουν μεσουρανοῦντος τόπου βλαπτομένου παρ’ αὐτοῦ. Καὶ ταῦτα μὲν ὁ Νικαεὺς Πρωταγόρας, ὁ δὲ Δωρόθεος οὕτω φησίν. Σελήνη ὑπὸ γῆν οὖσα ἀμαρτύρητος ὑπό τινος τῶν ε πλανωμένων καθ’ αὑτὴν ὁρωμένη, ἐν μὲν Κριῷ οὖσα ἀπὸ μοίρας ια′ ἕως τοῦ πέρατος εὔπλοιαν δηλοῖ. Ταύρῳ μεγάλους χειμῶνας ποιεῖ τοῖς ἀναχθεῖσιν, ἣν δὲ καὶ ὑπὸ κακοποιοῦ μαρτυρῆται χεῖρον· εἰς κακὸν γὰρ μαρτυρήσουσιν. Διδύμοις ἀπὸ μοίρας η′ ἕως λ′ ὁ ἀναχθεὶς χρονίσει μὲν ἐν τῷ πλεῖν, ἀλλ’ ἐπὶ χαρᾷ διάξει. Καρκίνῳ γαλήναις συσχεθήσεται, ἀλλὰ διασωθήσεται. Λέοντι κινδυνεύσει, ἐὰν δὲ καὶ ὑπὸ κακοποιῶν μαρτυρῆται ἡ Σελήνη πλεῖον ἔσται τὸ κακόν. Παρθένῳ χρονίσει ἐν τῷ πλοίῳ. Ζυγῷ μετὰ τὰς πρώτας δέκα μοίρας ὁ ἀναχθεὶς εὐπλοήσει. Σκορπίῳ ἀσφαλὴς μὲν ἔσται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ τὸν πλοῦν, τὴν δὲ ψυχὴν ταραχθήσεται. Τοξότῃ δυσπλοήσει καὶ φόβοις περιπεσεῖται. Αἰγοκέρωτι μετὰ μοίρας θ εὐπλοήσει, ταραχθήσεται δὲ τὴν ψυχήν. Ὑδροχόῳ βραδυπλοήσει, σωθήσεται δέ.

24 Ἰχθύσι κινδυνεύσει, καὶ μάλιστα θεωροῦντος Ἄρεως. Τὸν δὲ ἱστὸν τῆς νεὼς σκέπτου. Σελήνη ὑπὲρ γῆν οὖσα μετὰ Κρόνου στηριγμὸν ἔχοντος τοῖς ἀναχθεῖσι πολλῶν κακῶν αἴτιός ἐστι καὶ κινδύνων. Σελήνη ὑπὲρ γῆν τριγωνιζομένη ὑπὸ Κρόνου στηρίζοντος, οἱ ἀναχθέντες τὰ ὄντα ἀποβάλλοντες διὰ τὸν χειμῶνα μόλις σωθήσονται. ἐὰν δὲ τὰ μὲν ἄλλα τὰ αὐτὰ ἔχῃ ἡ Σελήνη, ὁ δὲ Κρόνος μὴ στηρίζῃ, ἐλαφρότερα τὰ κακὰ γίνονται πλὴν δύσπλοια ἔσται, ἐὰν δὲ τῶν λοιπῶν οὕτως ὄντων καὶ ὁ Ἑρμῆς τὴν Σελήνην κακώσῃ μείζονα τὰ κακὰ ἔσται, ἔσθ’ ὅτε δὲ καὶ λησταῖς περιπίπτουσιν, ἀγαθοποιὸς δὲ θεωρῶν τὰ τοιαῦτα σχήματα, καὶ μάλιστα δεξιός, ἐπικουφίζει τὰ κακά. Κρόνος ὡροσκοπῶν καὶ ἄνευ Σελήνης τοσαῦτα κακὰ τοῖς ἀναγομένοις ἐπάγει καὶ μετὰ Σελήνης ὤν, ἐὰν δὲ τύχῃ ὁ Κρόνος τοῦ ἀναγομένου ὁ κατὰ πάροδον τῷ κατὰ πῆξιν Κρόνῳ ἢ συνὼν ἢ τριγωνίζων ἢ τετραγωνίζων ἢ διαμετρῶν χείρονα ποιεῖ τὰ κακά. ὅσα δὲ εἴρηται συμβαίνειν ἀπὸ Κρόνου τοῖς ἀναγομένοις κακὰ τοσαῦτα καὶ ἀπὸ Ἄρεως γίνονται τῆς δὲ Σελήνης ὑπὲρ γῆν οὔσης, καὶ οὐ μόνον ταῦτα, ἀλλὰ καὶ μάχαι καὶ μίση καὶ θόρυβοι ἐν τοῖς ἀναγομένοις γίνονται ὥστε καὶ ἕως αἱμαγμοῦ φθάσαι τὴν κάκωσιν. ἐὰν δὲ ὁ Ἑρμῆς κακώσῃ χεῖρον γίνεται, εἰ δὲ ἀγαθοποιοὶ ὁρῶσιν ἥττονα τὰ κακά. Ἐὰν δὲ τὴν Σελήνην Κρόνος, Ἄρης καὶ Ἑρμῆς βλάπτωσι συνοδεύοντες ἀλλήλοις καὶ τῇ Σελήνῃ ἢ ἄλλος ἄλλοθεν ὁρῶντες αὐτὴν βλάπτωσιν κάκιστον τοῖς ἀναγομένοις καὶ ὁ θάνατος πρὸ ὀφθαλμῶν, τὸ δ’ αὐτὸ γίνεται καὶ ὅταν Ἑρμῆς συνοδεύῃ Ἄρει. Κρόνος καὶ Ἄρης ὁ μὲν Ἥλιον, ὁ δὲ Σελήνην βλέπων κίνδυνον ἐπάγουσιν. Σελήνη ὑπὲρ γῆν τετραγωνιζομένη ὑπὸ Διὸς ἀγαθόν· καὶ γὰρ εὐπλοήσουσιν.

25 εἰ δὲ καὶ Ἀφροδίτη μετὰ Διὸς τὴν Σελήνην ἴδῃ ἢ ἐκ τοῦ αὐτοῦ ζῳδίου ἢ ἐκ διαφόρου κρεῖσσον. ὁ δὲ Ἑρμῆς τὰς τῶν ἀστέρων δόσεις ἢ ἀγαθὰς ἢ φαύλας ἐπιτείνει καὶ ἐπαύξει οἷς ἂν συνοικειωθῇ, ἀλλὰ καὶ Ἀφροδίτη μόνη τὴν Σελήνην ὁρῶσα ὠφελεῖ τοὺς ἀναχθέντας καὶ εἰς γυναικῶν μίξεις ἔσται ὠφέλιμος, ἀλλὰ χωρὶς Διὸς ἧττον, μετὰ δὲ Διὸς καὶ μᾶλλον ὠφέλιμος. Ἀφροδίτη ὕπαυγος ὑπὸ γῆν οὖσα μετὰ Σελήνης εὐδίας παρέχει, καὶ χρονίζουσιν οἱ ἀναγόμενοι ἐν τῷ πλῷ. ἐὰν ἀγαθοποιοὶ δύο μετὰ Ἑρμοῦ μαρτυρήσωσι τῷ Ἡλίῳ καὶ τῇ Σελήνῃ καλλίστη καταρχὴ τοῖς ἀναγομένοις. κἂν δὲ κακοποιοὶ τὸν ὡροσκόπον βλάπτωσιν, οἱ δ’ ἀγαθοποιοὶ τὴν Σελήνην, ἢ καὶ ἔμπαλιν, δυσπλοήσουσι μὲν οἱ ἀναχθέντες, σωθήσονται δέ. Σελήνη ἀμαρτύρητος οὖσα ὑπὸ πάντων τῶν ἀστέρων καὶ κενοδρομοῦσα, ὁ δὲ ὡροσκόπος ἔχει τι ζῴδιον τῶν πρὸς τὸ πλεῖν ἐπιτηδείων (οἷον Ταῦρον, Διδύμους, Ἰχθύας, Αἰγοκέρωτα, Καρκίνον, Παρθένον, Τοξότην) μετά τινος τῶν ἀγαθοποιῶν, ἀγαθὸν τοῖς ἀναγομένοις· Σελήνη καὶ ὡροσκόπος ἀμαρτύρητοι ὑπὸ πάντων τῶν ἀστέρων κενοδρομοῦντες, ἐὰν ἐπέχωσιν ἐκ τῶν πρὸς τὸ πλεῖν ἐπιτηδείων ζῳδίων τῶν προλελεγμένων, οὐκ ἔστι κακὸν τοῖς ἀναχθεῖσιν. ἐξαιρέτως δὲ χρὴ τὴν Σελήνην ὁρᾶν ἵνα μὴ βλάπτηται καθ’ οἱονδήποτε τῶν εἰρημένων τρόπων ἐν τῷ β′ κεφαλαίῳ τούτου τοῦ βιβλίου. τότε δὲ λογίζου τὴν τοῦ πλοῦ καταρχὴν ὅταν οἱ ναῦται τὴν ἄγκυραν ἐκ τῆς ψάμμου ἑλκύσωσιν, τοῦ δὲ πλέοντος ἡ καταρχὴ ἐν τῇ νηῒ ἑκάστου τότε ἐστὶν ἡνίκα τὸν πόδα εἴσω τῆς νηὸς θήσει. μα′.

26 (1t) Εἰ βραδύνει ἢ οὔ Εἰ δὲ βούλει μαθεῖν εἰ βραδύνει ἐπὶ τῆς ξένης ἢ οὒ ὅταν ἐπιβῇ τῆς πόλεως ἐκείνης εἰς ἣν σπεύδει σκόπει τὸν β′ τόπον τοῦ ὡροσκόπου τῆς εἰς τὴν πόλιν εἰσόδου καὶ τὸν τούτου κύριον, καὶ εἰ μὲν οὗτος ἀναποδίζει ταχέως ἐξελεύσεται κενὸς καὶ ἄπρακτος, εἰ δὲ στηρίζει καὶ οὕτω πάλιν μετὰ τοῦ ἄπρακτος εἶναι καὶ χρονοτριβήσει ἐν τῇ πόλει. καὶ τούτων ὄντων κἂν μὲν ὁ αὐτὸς οἰκοδεσπότης τύχῃ δύνων νόσων καὶ ἀηδίας αἴτιος γίνεται τῷ εἰσιόντι, ἐὰν δὲ 〈ἐν〉 τῷ ὑπογείῳ σκέπτου μὴ καὶ θανάτου αἴτιος γένηται· ἐὰν εὑρεθῇ προσθετικὸς καὶ ὢν ἐπὶ τοῦ ὡροσκόπου ἢ ἐπὶ τοῦ μεσουρανήματος εὖ πράξας ταχέως ἐξελεύσεται. Σκόπει δὲ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸν Ἥλιον τῆς ἐξόδου καὶ τὰ τούτου τετράγωνα καὶ διάμετρα· εἰ μὲν ἀγαθοποιοὶ εἶεν ἐν τούτοις ἡ ἐπάνοδος καλὴ καὶ ταχεῖα, εἰ δὲ κακοποιοὶ σκόπει πόσον ἀλλάξουσι τοὺς τόπους καὶ ἀντ' αὐτῶν ἀγαθοποιοὶ εἰσελθῶσιν—τότε τὴν ἐπάνοδον ὑπονοητέον ἢ ὅτε ἀποκαθίσταται ὁ Ἥλιος εἰς τὰ ἴδια τετράγωνα καὶ διάμετρα ἕως ἔλθῃ· καὶ τὴν Σελήνην δὲ ὁμοίως τῷ Ἡλίῳ σκέπτου. δεῖ δὲ καὶ τοῦτο παρατηρεῖν ὅτε τις εἰς πόλιν εἰσέλθῃ· τὰ δ κέντρα ὑπὸ τίνων ὁρῶνται καὶ ἡ Σελήνη πρὸς τίνας φέρετ αι; παρετηρήθη καὶ ὁ Καρκίνος οὐκ ἀγαθὸς ὡροσκοπῶν ἐν τῇ εἰσόδῳ τῆς πόλεως· οἱ γὰρ συντυγχάνοντες αὐτῷ ἔσονται κνιποί, καὶ οὐδὲν κερδανεῖ, εἰ δὲ καὶ δοῦναί τι μέλλει πλέον δώσει. ἴσθι δὲ καὶ τοῦτο καθολικῶς, ὅτι ὁ Ἄρης ἀπὸ Τοξότου τὴν Σελήνην ὁρῶν φαύλῳ σχήματι πληγὰς ἐπάγει κατὰ τὴν ὁδὸν ἢ ἑτέρας περιστάσεις. μβʹ.

27 (1t) Περὶ παραδόσεως τεχνῶν Εἰσόμεθα δὲ εἰ εὐμαθεῖς ἔσονται οἱ παραδιδόμενοι εἰς μάθησιν τέχνης ἢ ἀμελεῖς ἀποβαίνουσι καὶ περὶ τίνα δὲ ἥ τε ἐπιμέλεια καὶ ἡ κατόρθωσις γένοιτο ἂν ἢ ἡ ῥαθυμία. ὁ μὲν ὡροσκόπος τὰ κατὰ τὸν διδάσκαλον σημαίνει, τὸ δὲ μεσουράνημα τὸν συνιστῶντα οἷον τὸν δεσπότην, τὸ δὲ δῦνον τὸν μαθησόμενον, τὸ δὲ ὑπὸ γῆν τὴν τοῦ μαθήματος ἀπόβασιν, τῆς θεωρίας κατὰ τὸν συγκρατικὸν λόγον ληφθείσης ὁμοιοτρόπως τοῖς ἄνωθεν εἰρημένοις. εἰδότες οὖν τὸν τρόπον τοῦτον ἐπὶ τῶν παραδιδομένων εἰς μάθησιν τεχνῶν ἐπιτηρήσωμεν τὴν Σελήνην πλήθουσαν καλῶς κειμένην μετὰ τοῦ Ἑρμοῦ καὶ αὐτοῦ καλῶς κειμένου καὶ ἀνατολικοῦ καὶ ἐν τοῖς ἀνθρωποειδέσι ζῳδίοις ὄντος ἢ καὶ πρὸς αὐτὰ ἐσχηματισμένων, καὶ τότε παραδώσομεν εἰς τὰς μαθήσεις. μγʹ. Περὶ ἐλευθερώσεως Ὁ δὲ ὡροσκόπος ἔσται ὁ ἐλευθερούμενος. ὁποῖος δὲ ἔσται οὗτος γνώσ[κ]ει ἐκ τοῦ κυρίου τοῦ ζῳδίου καὶ τοῦ πρὸς αὐτὸν σχηματισμοῦ· εἰ μὲν γὰρ ἀνατολικὸς τύχῃ ἀφεθήσεται αὐτεξούσιος καὶ τὴν ἐλευθερίαν καρπώσεται, ἐὰν δὲ δυτικὸς συκοφαντίαν τινὰ ἕξει. τὸ δὲ μεσουράνημα τὸν τόπον ἐν ᾧ γίνεται μηνύσει, τὸ δὲ δῦνον τὸν ἐλευθεροῦντα (ὁποῖος δέ ἐστιν ἀπὸ τοῦ κυρίου τοῦ ζῳδίου), τὸ δὲ ὑπὸ γῆν τὰς ἐκβάσεις τῆς ἐλευθερίας κατὰ τὰς τῶν ἀστέρων δηλονότι ἐφοράσεις. τοῦ δὲ κυρίου τοῦ ὡροσκόπου ἐναντιουμένου τῷ δυτικῷ ἐναντίοι καὶ ἐχθροὶ ἔσονται ὁ ἐλευθερώσας καὶ ὁ ἐλευθερωθείς. Φυλάσσειν δὲ χρὴ ἐν πρώτοις τὴν Σελήνην ἀκάκωτον καὶ ἀγαθῷ συνάπτουσαν, ἐπεὶ τὸ ἐναντίον παθούσης ἡ δουλεία πολλῷ ἀμείνων ἔσται τῆς ἐλευθερίας ὥς φησι Δωρόθεος.

28 ὁρατέον δὲ καὶ τὰ ἡμισφαίρια τό τε ὑπὲρ γῆν καὶ τὸ ὑπὸ γῆν· οἱ γὰρ ὑπὸ γῆν τὰ ἐν τῇ ἐλευθερίᾳ σημαίνουσιν. καὶ εἰ μέν τις τῶν ἀγαθοποιῶν ἐν τῷ ὑπὸ γῆν ἡμισφαιρίῳ τύχοι πάντα καλά, τουτέστιν ἐὰν ἀγαθοποιὸς ἀστὴρ μετὰ τὴν καταρχὴν τῆς ἐλευθερίας πρῶτος ἀνατείλῃ. ἐὰν δὲ Σελήνη μετὰ κακοποιοῦ συνοδεύουσα ἐν τῷ δυτικῷ τύχῃ εὐθέως μετὰ ἐλευθερωθῆναι διαφέρει. μδʹ. Περὶ σκευῶν καινῶν χρήσεως Σκεύεσι δὲ ἢ ἱματίοις πρώτως χρηστέον τῆς Σελήνης οὔσης ἐν Κριῷ, Ταύρῳ, Καρκίνῳ, Παρθένῳ, Σκορπίῳ, Ἰχθύσι τῷ τε φωτὶ αὐξομένης καὶ μετὰ τῶν ἀγαθοποιῶν οὔσης ἢ τούτοις κατὰ σχῆμα ἢ 〈σῶμα〉 συναπτούσης ἢ καὶ ὡροσκοπούντων τῶν ἀγαθοποιῶν ἄνευ τῆς τῶν φθοροποιῶν κοινωνίας. μεʹ. Περὶ δείπνου Ἤδη δέ τινες ἐξέθεντο πῶς χρὴ εἰδέναι τὰ περὶ δείπνου καὶ πῶς ἀποβήσονται. δεῖ πήξαντας τὰ κέντρα ἀπονεῖμαι τῷ μὲν ὡροσκόπῳ τοῦ δείπνου τὴν ἀρχήν, τῷ δὲ μεσουρανήματι τὸν δειπνοποιὸν καὶ τοὺς ὑπηρέτας. ἐστόχασται δὲ καὶ περὶ τῶν λοιπῶν ζῳδίων οὕτως ὥστε τὸ μὲν γʹ ζῴδιον τάξαι τοῖς σκεύεσιν, τὸ δὲ δʹ τῷ τόπῳ ἐν ᾧ ὁ δεῖπνος, τὸ δὲ εʹ τοῖς κεκλημένοις, τὸ δὲ ϛʹ τῷ οἴνῳ, τὸ δὲ ζʹ ταῖς κύλιξιν, τὸ δὲ ηʹ τοῖς ἀπαντῶσιν, τὸ δὲ θʹ τῷ μαγείρῳ, τὸ δὲ ιʹ τῷ ὀψωνοῦντι, τὸ ιαʹ τῇ παρασκευῇ, τὸ ιβʹ τῇ τῆς οἰκίας δεσποίνῃ.

29 πεπηγμένων δὲ τούτων ἐπιθεωρητέον τὰ ζῴδια ὅπως ἕκαστον ἔχῃ καὶ συσχηματίζηται πρὸς τοὺς ἀστέρας καὶ τίνες αὐτῶν ἰδιοτοποῦσιν. ἐκ δὲ τῆς θεωρίας καὶ τῆς συγκράσεως καθ' ἕκαστον εἶδος λαμβάνειν χρὴ ποῖον εἴη τοῦ δείπνου θυμῆρες καὶ πολυτελείας ἐχόμενον, ποῖον δὲ μέτριον· οὐ γὰρ ἀποτυγχάνει τις ἐπιμελέστερος παρακολουθήσας ταῖς τῶν τόπων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διακρίσεσιν. μϛʹ. Περὶ ἀγώνων καὶ θεωριῶν Ἐπὶ δὲ καταρχῆς ἀγώνων τε καὶ θεωριῶν μεριστέον τῇ σκηνῇ τὸν ὡροσκόπον, τὸ 〈δὲ〉 μεσουράνημα τῷ θεῷ ἢ τῷ βασιλεῖ, ἤγουν ᾧ ἐπιτελεῖται ἡ θεωρία, τὸ δὲ δῦνον τῷ ἐπιτελοῦντι τὸν ἀγῶνα, τὸ δὲ ὑπόγειον τοῖς ἀκροάμασιν. μζʹ. Περὶ ἐξοριζομένων καὶ φευγόντων καὶ βρεφῶν ἐκθέσεως Περὶ δὲ τῶν ἐξοριζομένων, ἀλλοτριουμένων τῆς πατρίδος ληψόμεθα τὴν γνῶσιν ἀπὸ τῶν ἀστέρων οὕτως οἷς διαφέρει τὰ κέντρα κατὰ τὴν οἰκοδεσποτίαν αὐτῶν· οὗτοι γὰρ ἐν τοῖς ἑαυτῶν ταπεινώμασιν εὑρεθέντες καὶ ἐπιθεωρούμενοι ὑπὸ τῶν κακοποιῶν τοὺς ἐξορισμοὺς ἐργάζονται. κατὰ μὲν τῆς γενέσεως τὴν πῆξιν ὁπόταν ἔχωσι τὰ χρονικὰ ἢ καὶ αἱ ἀναφοραὶ τῶν ζῳδίων κατὰ τὸν αὐτὸν χρόνον συμπληρούμενοι τύχοιεν. τὸ δ' αὐτὸ ἐπὰν ὁ οἰκοδεσπότης πάθῃ τοῦ γενομένου ἐκθέσεως αἴτιος γίνεται, καὶ ἐὰν μὲν ἀνατολικὸς ᾖ ὁ ἀστὴρ τὸ ἐκτεθὲν ζήσεται, εἰ δὲ δυτικὸς ἀποθνῄσκει. ἰδίως δ' οἱ ἐν τοῖς ἰδίοις ταπεινώμασιν ἔχοντες τοὺς ἀστέρας κατὰ τὸ δυτικὸν κέντρον ἢ τὸ ὑπόγειον ἐξορίζονται ἢ ὑποπίπτουσι φυγαδείαις ἑκουσίαις. ἐπὰν δὲ ἐν τῷ ὡροσκόπῳ ἢ τῷ μεσουρανήματι εὑρεθῶσιν οἱ κακοποιοὶ ὄντες ἐν τοῖς ἰδίοις ταπεινώμασι δεσμοὺς καὶ συνοχὰς παρέχουσιν, ἀγαθοποιῶν δὲ συμφώνως ἐπιβλεπόντων αὐτοὺς ἀποκαθίστανται τοῖς οἰκείοις τόποις.

30 καὶ τὸν ὡροσκόπον ἢ τὴν Σελήνην ὁρῶντες οἱ ἀγαθοποιοὶ ἐν τῇ ὥρᾳ τῇ κυρίᾳ τὴν ἐπάνοδον δηλοῦσιν. Ἄλλως Ἐξοριζόμενον δεῖ λαμβάνειν τὸν ὡροσκόπον, τὸ δὲ δῦνον τὸν τόπον ἐν ᾧ ἀπέρχεται, τὸ μεσουράνημα τὴν πρᾶξιν ἢ τὸν ἐξορίζοντα, τὸ ὑπόγειον τὸ ἀποτέλεσμα. καὶ δεῖ σκοπεῖν τοὺς οἰκοδεσπότας τοῦ ὡροσκόπου καὶ τοῦ δύνοντος καὶ τοῦ μεσουρανήματος καὶ τοῦ ὑπογείου. μηʹ. Περὶ κριτηρίων καὶ νίκης καὶ ἥττης Ἔστι δὲ καὶ ἕτερος τρόπος λαμβανόμενος ἐπὶ τοῖς κριτηρίοις χωρὶς τῶν δ κέντρων οὕτως. Σελήνη γὰρ αὐξομένη λαμβάνεται εἰς τὸν διώκοντα, ὁ δὲ Ἥλιος εἰς τὸν κατηγορούμενον καὶ ὑπόχρεων· μειουμένη δὲ ἔμπαλιν, τουτέστιν αὐτὴ μέν ἐστιν ὁ ὑπόχρεως, ὁ δὲ Ἥλιος τὴν τοῦ διώκοντος τάξιν ἀναλαμβάνει. ἐπισκεψάμενοι οὖν τίς μᾶλλον καλῶς κεῖται τόπῳ, ὁρίοις, μαρτυρίαις ἀγαθαῖς καὶ τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ, οὕτω προαιροῦμεν ἀπὸ τῆς τῶν πλειόνων ψήφου καὶ ῥοπῆς τὸν νικήσοντα τῆς πανσελήνου λαμβανομένης εἰς μεγάλην στάσιν καὶ ἔριν καὶ ἀπώλειαν. Ἐπιτήρησις δέ ἐστιν ἑτέρα περὶ τῶν αὐτῶν οὕτως. ὁρίσαι γὰρ χρὴ τὸν μὲν τὸ πρᾶγμα καταγγέλλοντα Σελήνης ἀπόρροιαν εἶναι, τὸ δὲ πρᾶγμα αὐτὴν τὴν Σελήνην, τὴν δὲ συναφὴν τὸν κατηγορούμενον, ἐκ δὲ τῶν ὁρίων καὶ τῶν ἀστέρων δηλοῦν περὶ τοῦ πράγματος. ἡ δὲ αὐτὴ αἵρεσις καὶ ὁ τρόπος περὶ ὁδοιπορίας καὶ μετοικισμοῦ χρήσιμος ἔσται.

31 ἀσφαλέστερον δὲ καὶ φανερώτερον ἐπὶ τῶν κριτηρίων μάθοιμεν ποδαπός τε εἴη ὁ κατήγορος καὶ ὁ κατηγορούμενος, ἔτι δὲ καὶ ὁ κριτὴς καὶ ἡ ἔκβασις τοῦ πράγματος ἐκ τῶν δ κέντρων ὡς προλέλεκται, τοῦ δὲ Ἑρμοῦ ἀεὶ παραλαμβανομένου, ὑπαύγου μὲν ὄντος χρησίμου τοῖς ἐγκαλουμένοις καὶ τοῖς λαθραῖόν τι πράττουσιν, ἀνατολικοῦ δ' ὄντος τοῖς ἐγκαλοῦσι καὶ φανερῶσαί τι βουλομένοις. τὴν δὲ Σελήνην ἐπιτηρεῖν χρὴ ἐν τῇ κρισίμῳ ἡμέρᾳ, καὶ ἐὰν τύχῃ οὖσα ἐν Ζυγῷ, καὶ μάλιστα δύνουσα, ἀσύμφορος τῷ ἀδίκῳ δίκην εἰσάγοντι (ἡττηθήσεται γάρ), ὁ δὲ δικαίως ἐγκαλῶν νικήσει. Οἱ κακοποιοὶ ἰδιοτοποῦντες καὶ ἐπίκεντροι καὶ ἀνατολικοὶ ἄδικον δίκην παρέχουσι τῷ οἰκείῳ αὐτῶν προσώπῳ. Σκοπεῖν δὲ χρὴ τὸν δεύτερον τόπον καὶ τὸν ηʹ καὶ τὰς τῶν ἀστέρων πρὸς αὐτοὺς μαρτυρίας ἵνα γνῶμεν τοὺς βοηθοῦντας ἑκατέρῳ προσώπῳ· ὁ μὲν γὰρ δεύτερος τοῦ διώκοντος ἐμφαίνει τοὺς συμμάχους, ὁ δὲ ηʹ τοῦ φεύγοντος. οἱ δ' ἀγαθοποιοὶ οἷς ἐπαναφέρονται ἐκεῖνοι κρειττόνως ἀπαλλάξουσιν, οἱ δὲ κακοποιοὶ χειρόνως. σκοπεῖν δὲ χρὴ καὶ τὸν τοῦ μεσουρανήματος δεσπότην· οὗτος γὰρ ᾧτινι συνοικειωθῇ προσώπῳ ἤτοι τῷ διώκοντι ἢ τῷ φεύγοντι ἢ μαρτυρηθῇ ὑπ' αὐτοῦ ἢ τοὺς τόπους καταλλάξῃ μετ' αὐτοῦ ἢ ὑπὸ ἑνὸς ἀστέρος οἰκοδεσποτηθῇ 〈ἢ〉 εἰς τοὺς τόπους ᾗ αὐτοῦ τοῦτον μᾶλλον τοῦ ἑτέρου ἐν εὐελπιστίᾳ ποιεῖ εἶναι. Οὐ χρὴ δὲ ἐκ μόνων τῶν δ κέντρων περὶ τῶν τοιούτων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καταστοχάζεσθαι, ἀλλὰ δεῖ καὶ τὴν Σελήνην ὁρᾶν πῶς διάκειται καὶ ἔτι τὰς ἀπορροίας καὶ τὰς συναφὰς τῆς Σελήνης. ἐὰν δὲ σινωθείσης τῆς Σελήνης οἱ κακοποιοὶ αὐτὴν ἐφορῶσι κακὸν σημεῖον τοῦ διώκοντος· οὐ γὰρ μόνον ἡττηθήσεται, ἀλλὰ καὶ ὑβρισθήσεται καὶ βλαβήσεται. ἡ Σελήνη ὅταν ᾖ συνοδικὴ ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου τότε ὁ ἰσχυρότερος νικήσει τὸν ταπεινότερον.

32 Ἐὰν δὲ χρηματιστικὴ ᾖ ἡ δίκη οὕτω δεῖ σκοπεῖν. Σελήνη αὐξιφωτοῦσά ἐστιν ὁ δανειστής, ὁ δὲ Ἥλιος ὁ ὀφειλέτης, εἰ δὲ ἡ Σελήνη λήγει ἀνάπαλιν ὁ μὲν Ἥλιος ὁ δανειστής, ἡ δὲ Σελήνη ὁ χρεώστης. ὅστις οὖν ἐκ τῶν δύο κεῖται ἐν κρείττονι τόπῳ καὶ οἰκειοτοπεῖ μᾶλλον τοῦ ἑτέρου καὶ ἀγαθύνεται μᾶλλον ἐκεῖνος τὸ οἰκεῖον πρόσωπον ἀπεργάζεται τοῦ ἑτέρου ἰσχυρότερον. Δεῖ δὲ καὶ τὸν τῆς τύχης κλῆρον σκοπεῖν καὶ τὸν οἰκοδεσπότην τοῦ κλήρου· εἰ μὲν γὰρ τῷ ὡροσκόπῳ προσνεύει ὁ διώκων ἰσχυρότερος ἔσται, εἰ δὲ τῇ δύσει ὁ φεύγων. ἐὰν δὲ ὁ κλῆρος τετραγωνίζῃ τόν τε ὡροσκόπον καὶ τὸ δῦνον, εἰ μὲν ὑπὸ γῆν εἴη διαλλαγήσονται αὐτοὶ καθ' ἑαυτοὺς οἱ μαχόμενοι, εἰ δὲ μεσουρανοίη οἱ κριταὶ αὐτοὺς διαλλάξουσιν. Ἐὰν δὲ οἱ κύριοι τοῦ τε ὡροσκόπου καὶ τοῦ δύνοντος τύχωσιν ὄντες ὁμοῦ 〈ἐν〉 ἑνὶ ζῳδίῳ οἱ δικαζόμενοι οἰκεῖοι ἔσονται ἀφ' αἵματος ἀλλήλων. καὶ εἰ μὲν εἴη ἑρμαϊκὸν τὸ ζῴδιον τὸ ὑποδεξάμενον τοὺς δεσπότας τοῦ τε ὡροσκόπου καὶ τοῦ δύνοντος ἔστω πατὴρ τέκνῳ δικαζόμενος ἢ πάππος ἐγγόνῳ ἢ τοιαῦτα πρόσωπα, ἐὰν δὲ ἀφροδισιακὸν ἔστω ἡ δίκη ἢ ἀνδρὸς πρὸς γαμετὴν ἢ ἀδελφοῦ πρὸς ἀδελφὴν ἢ πατρὸς πρὸς θυγατέρα ἢ τοιαῦτα, ἐὰν δὲ Ἄρεως ᾖ τὸ ζῴδιον ἔσται ἡ μάχη ἢ ἀδελφῶν πρὸς ἀλλήλους ἢ ἀνεψιῶν ἢ τῶν τοιούτων, ἐὰν 〈δὲ〉 Διὸς ἔσται ὁ δικαζόμενος ἤτοι πρεσβυτέρῳ ἀδελφῷ ἢ θείῳ ἢ τοιούτῳ τινί, ἐὰν δὲ κρονικὸν ἔσται ἡ δίκη πρὸς πατέρας ἢ πάππους ἢ τοιούτους, εἰ δὲ ἡλιακὸν πρὸς πατέρας ἢ ἐνδοξοτέρους, εἰ δὲ σεληνιακὸν πρὸς μητέρας ἢ θείας ἢ τοιαύτας. ἐὰν δὲ οἱ τῶν κέντρων δεσπόται μὴ ὦσιν ὁμοῦ ἐν ἑνὶ ζῳδίῳ δηλονότι ἀλλότριοι ἔσονται ἀλλήλων οἱ μαχόμενοι καὶ οὐκ ἴδιοι. μθʹ.

33 (1t) Περὶ εἰργομένων Περὶ δὲ τῶν εἰργομένων ἐπιτηρητέον τὴν Σελήνην καθ' αὑτὴν ἐν ποίῳ ζῳδίῳ τυγχάνει ἐν τῇ ὥρᾳ τοῦ εἴργεσθαι. καὶ ἐρεύνησον ἐν τῷ τοῦ Δωροθέου βιβλίῳ καὶ εὑρήσεις τὸ ἀποβησόμενον. νʹ. Περὶ δραπετῶν Ἔγραψεν ὁ Δωρόθεος ἐν τῷ ἄλλῳ βιβλίῳ· ὧδε λέγομεν τὰ τοῦ Νικαέως Πρωταγόρου. ἐὰν εὑρεθῇ ὁ οἰκοδεσπότης τοῦ ὡροσκόπου τῆς φυγῆς ἀναποδίζων ὁ φυγὼν αὐτομάτως ἐπανελεύσεται, ἐὰν δὲ ἐν ἰδίῳ οἴκῳ ἢ ὁρίοις μὴ ἀναποδίζων ὁ ἀποδράσας ἔνδον τῶν οἰκείων ἢ ἐν τῇ πόλει ἢ ἐν τῇ περιχώρῳ εὑρεθήσεται, καὶ θᾶττον ἐὰν ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ τύχῃ ὡσπεροῦν βραδύτερον εἰ ἐν τῷ ὑπὸ γῆν. Τῆς Σελήνης οὔσης ἐν τῷ μεσουρανήματι (τουτέστιν ἐν τῷ δεξιῷ τετραγώνῳ τοῦ ὡροσκόπου) διὰ τῶν δεξιῶν μερῶν τῆς οἰκίας ἀφ' ἧς ὁ δραπέτης ἤρξατο τῆς φυγῆς τὴν πάροδον πεποίηται, ἐν δὲ τῷ εὐωνύμῳ τετραγώνῳ ὁμοίως διὰ τῶν ἀριστερῶν· ὁ γὰρ ὡροσκόπος ἀντὶ τῶν πυλῶν τῆς οἰκίας νοεῖται. ἡ δὲ Σελήνη βορρᾶν κατερχομένη μηνύει τὸν φυγόντα κατὰ μεσημβρίαν πορεύεσθαι καὶ εὑρεθήσεσθαι ἐν ἡμέραις κε , νότον δὲ κατερχομένη ἐν τοῖς κατὰ δύσιν τόποις ἐν ἡμέραις μβ ἐν καθύγροις τόποις καὶ ἀνημέροις ἢ δυσχειμέροις, νότον δὲ ἀνερχομένη ἐν τοῖς ἀνατολικοῖς καὶ δυσκόλως μηνυθήσεσθαι ἐν ἡμέραις ξδ , βορρᾶν δὲ ἀνερχομένη ἐν τοῖς ἀρκτικοῖς τόποις καὶ δυσκόλως εὑρεθήσεσθαι μηνύει.

34 Καὶ ἐκ τῆς τῶν ζῳδίων δὲ φύσεως καταστοχαστέον τὸν τόπον εἰς ὃν ἀπελεύσεται ὁ φυγών· οἷον Κριὸς μὲν νομαίους καὶ πεδινοὺς σημαίνει, Ταῦρος δὲ ἐπιπέδους καὶ πεπονημένους τόπους, Δίδυμοι δὲ 〈...〉, Καρκίνος δ' ἐνύδρους καὶ χερσαίους καὶ ὑψηλούς, Λέων δὲ προσάντεις καὶ τραχεῖς καὶ ἐρήμους, Παρθένος δὲ σιτοσπόρους, Ζυγὸς δὲ πεδινούς, Σκορπίος τραχεῖς καὶ λῃστρικούς, ἔχοντας καὶ ἀμπελῶνας, Τοξότης τραχεῖς, ἔχοντας καὶ ἀμπελῶνας, Αἰγόκερως δὲ ὑδρηλὰ χωρία καὶ παραθαλάσσια, Ὑδροχόος τραχεῖς, παραποταμίους καὶ ὑλώδεις, Ἰχθύες δὲ λιμνώδεις καὶ ἑλώδεις. Τινὲς δὲ καὶ τὰ κέντρα ἐμέρισαν οὕτως· τὸ μὲν δῦνον τῷ φεύγοντι, τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ μεσουράνημα τῷ δεσπότῃ, τὸν δὲ ὡροσκόπον τοῖς ἀποκλαπεῖσιν, τὸ δὲ ἀντιμεσουράνημα τῷ ἀναπείσαντι. τινὲς δὲ καὶ οὕτω πάλιν ἀπονέμουσιν· τὴν μὲν Σελήνην καὶ τὸν ὡροσκόπον τῷ φεύγοντι, τὸν δὲ Ἥλιον καὶ τὸ μεσουράνημα τῷ κυρίῳ. Ἐπιμελέστερον δὲ χρὴ προσέχειν τῇ Σελήνῃ· ἐμφαίνει γὰρ πάντα. καὶ πρῶτον τὸ ὑπὲρ γῆν ἡμισφαίριον διοδεύουσα εὔκολον τὴν εὕρεσιν ποιεῖται, τὸ δὲ ὑπὸ γῆν δύσκολον. καταληφθεῖσα δὲ ἐν τῷ ὡροσκόπῳ ἡ Σελήνη ἢ ἐν τῇ ἐπαναφορᾷ αὐτοῦ ἢ ἐν τῷ ιβʹ τόπῳ πρὸς ἀνατολὰς τὴν φυγὴν ἀπονέμει γεγονέναι, ἐν δὲ τῷ μεσουρανήματι πρὸς ἄρκτον, ἐν δὲ τῇ δύσει πρὸς δύσιν, ἐν δὲ τῷ ὑπὸ γῆν κέντρῳ πρὸς μεσημβρίαν. δηλώσουσι δὲ καὶ τὰ κέντρα τὴν ἔξοδον δι᾽ ἧς ἀναχωροῦσι πύλης οἱ φεύγοντες, καὶ τὸ μῆκος τῆς ὁδοῦ τὸ διάστημα τῶν ὡρῶν ἀπὸ τοῦ ὁρίζοντος ἢ τοῦ δύνοντος δι᾽ αὐτῆς τῆς Σελήνης. εὑρεθεῖσα γὰρ ἐν τροπικοῖς βραχεῖαν τὴν ὁδὸν τῆς φυγῆς καὶ βραδέως ὁδεύοντα καὶ οὐ μακρὰν ἀπὸ τοῦ τόπου ἀποδράσαντα σημαίνει, ἐὰν δὲ ἐν χερσαίοις καὶ λοξοῖς ἢ δισώμοις οὐκ ὀρθὰς τὰς πορείας ποιήσασθαι οὐδὲ αὐτὸν μόνον ἀποδεδρακέναι.

35 Κατὰ δὲ τὰς ἀνατολὰς ἢ δύσεις τοῦ ζῳδίου τήν τε ὀρθότητα καὶ σκολιότητα τῆς πορείας αὐτοῦ γνωστέον, τὰς δὲ ἀρχὰς ἀπὸ τῶν ἀνατολῶν, τὰ δὲ τέλη ἀπὸ τῶν δύσεων. τὰ δὲ ὕπτια τῶν ζῳδίων καὶ κίνδυνον τῷ φεύγοντι ἀποτελοῦσιν, καὶ μάλιστα ὅταν οἱ χαλεποὶ τῶν ἀστέρων προσγένωνται· βεβαιότερα γὰρ τὰ κακὰ ἔσεσθαι αὐτοῖς μηνύει, καὶ μάλιστα ὅταν ὑπὲρ γῆν ὁ Ἄρης σὺν τῇ Σελήνῃ γένηται ἢ καὶ στηρίζῃ, Κρόνου δὲ μερίζοντος ἀπάγχονται ἢ καὶ κρημνίζουσιν ἑαυτούς. συναπτούσης δὲ αὐτῆς τοῖς ἀγαθοποιοῖς ἢ κατεχόντων αὐτῶν τὴν ὥραν, τῶν κακοποιῶν συσχηματιζομένων, ἐν μετανοίᾳ ἀνακάμπτουσιν, ἀπεστραμμένων δὲ τῶν κακοποιῶν σχεδὸν ἐν ἐλευθερίᾳ ἔσονται. ἐὰν δὲ Ἀφροδίτη συμπαρῇ τῇ Σελήνῃ ἢ τῷ ὡροσκόπῳ ἐπίκεντρος ἢ ἰδιοτοποῦσα οὐ μόνον ἀνύβριστοι γίνονται ἀλλὰ καὶ παρακληθήσονται. μέσης δὲ εὑρεθείσης τῆς Σελήνης τῶν κακοποιῶν ἐν δεσμοῖς ἔσονται πολὺν χρόνον, ἔσθ᾽ ὅτε δὲ καὶ ἐν εἱρκταῖς ἀποθνῄσκουσιν, καὶ μάλιστα ἀλλοτριωθέντων τῶν ἀγαθοποιῶν. συναπτούσης δὲ Ἄρει σφαγήσονται. Φυλακτέον δὲ καὶ ταῦτα. ἐπὰν γὰρ τῇ ἐπαναφορᾷ τοῦ ὡροσκόπου ἀστὴρ ἐπῇ καὶ πρότερον πεφευγέναι αὐτὸν μηνύει, ἐν δὲ τῇ ἐπαναφορᾷ ληφθεὶς πάλιν φεύξεται, καὶ τῆς Σελήνης ἐν τῷ ὡροσκόπῳ οὔσης ἄλλης οἰκίας καὶ οὐ τοῦ ζητοῦντος ἔσται ὁ φυγὼν πλὴν ἀναχθήσεται, ἐὰν δὲ ἀστήρ τις δύνῃ παραυτίκα εὑρεθήσεται καὶ πλησίον τοῦ οἴκου. ἀσύμφορον δὲ τοῖς φεύγουσι τὸ τὴν Σελήνην τοῖς ἀριθμοῖς προστιθέναι, ἀφαιρούσης δὲ σύμφορον.

36 Ἥλιος δὲ δύνων ἢ μεσουρανῶν σύν τινι τῶν κακοποιῶν ἢ ἐπιθεωρούμενος σχήματι δραστικῷ (τουτέστι τετραγώνῳ ἢ διαμέτρῳ) πρὸ τῆς ἀνευρέσεως τοῦ δραπέτου τεθνήξεσθαι σημαίνει τὸν δεσπότην ἢ πολλαῖς ζημίαις καὶ βλάβαις περιβάλλει. Ἥλιος ὁρῶν τὴν Σελήνην ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ ταχέως τὴν μήνυσιν ποιεῖται διὰ τῶν συνιστορούντων, Κρόνος δὲ ὁμοίως ἐπὶ τῷ ἄνω κέντρῳ σὺν τῇ Σελήνῃ σημαίνει ταχέως τὴν παράδοσιν διὰ γυναικὸς ῥυπαρᾶς ἢ δούλης, ὑπὸ δὲ ἐλευθέρας γυναικὸς μηνυθήσεται 〈ἐὰν〉 Ἀφροδίτη ὁμοίως ἐν τῷ ἄνω κέντρῳ οὖσα σὺν τῇ Σελήνῃ μαρτυρούσῃ 〈...〉. ἐάν τε ὁ ὡροσκόπος ἐν τετράποσι ζῳδίοις ὁμοίως τὰ αὐτὰ σημαίνει. καθ᾽ ἑαυτὴν δὲ μεσουρανοῦσα καθεύδοντες εὑρίσκονται, Ἑρμοῦ δὲ ἐπιδύνοντος αὐτῇ ἀναπεπεῖσθαι ὑπὸ τῶν γειτονούντων τινὸς ἢ συνεζηκότων αὐτῷ γνωστέον. Ἀφροδίτης δὲ καὶ Διὸς ἢ καὶ Ἡλίου μαρτυρησάντων συγγενὴς ἔσται ὁ πείσας καὶ φανήσεται ἐλεύθερος ὤν. ὡροσκοπούντων δὲ Ταύρου, Διδύμων, Καρκίνου, Λέοντος, Παρθένου, Σκορπίου, Ἰχθύων, ἐπιθεωροῦντος Διὸς καὶ Ἀφροδίτης, ἐν ἱεροῖς τόποις εὑρεθήσεσθαι δηλοῖ, τοῦ δὲ Ἄρεως μεσουρανοῦντος σὺν τῇ Σελήνῃ ὁ φυγὼν τομὴν ἕξει εἰς τὴν ὄψιν ἀπὸ σιδήρου. ἐὰν δὲ τύχῃ Κρόνος καὶ Ζεὺς καὶ Σελήνη ὡροσκοποῦντες ἀργύρια λαβεῖν σημαίνει, καὶ εὑρεθήσεται· οἱ ἀγαθοποιοὶ ὡροσκοποῦντες σὺν τῇ Σελήνῃ ἀμεριμνίαν τῷ φεύγοντι παρέξουσι μετὰ τὸ βαστάζειν καὶ ἱκανὰ χρήματα. Ἄρεως δὲ καὶ Κρόνου ἐπιδυνόντων σὺν Σελήνῃ εἴσω ρξ ἡμερῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἢ ρο εἰς τὴν τοῦ δεσπότου ἐξουσίαν ἐπανήξουσιν. Ἑρμῆς δὲ σὺν τῇ Σελήνῃ ὡροσκοπῶν ἢ μεσουρανῶν σημαίνει παῖδα ἢ παρθένον ἢ νεανίσκον, τούτων εὑρεθησομένων ἐπιδόντων τῶν κακοποιῶν 〈περὶ〉 ἡμέρας ν , Ἑρμῆς δὲ καὶ Ἄρης μεσῆλιξ ἔσται ὁ ζητούμενος, Κρόνος δὲ καὶ Ἑρμῆς καὶ Ἀφροδίτη ἀνὴρ καὶ γυνὴ καὶ υἱός, Κρόνος δέ, Ζεύς, Ἑρμῆς, Ἥλιος, Σελήνη εὐνοῦχος ἔσται ὁ δραπέτης.

37 Ἄρεως, Ἀφροδίτης, Ἑρμοῦ ὡροσκοπούντων ἑρμαφρόδιτον σημαίνει, Διὸς δὲ καὶ Ἀφροδίτης καὶ Ἡλίου καὶ Σελήνης ἐλευθέρους δραπέτας, Ἄρεως δὲ ἐπιθεωροῦντος Δία κατισχομένους ὑπὸ ἐξουσίας τινὸς καὶ φρουρᾶς. Ἄρεως δὲ καὶ Κρόνου ὡροσκοπούντων ἑαυτοὺς παραδιδόασιν ἐξουσίαις τισίν. Ἄρης δὲ καὶ Ἀφροδίτη ὡροσκοποῦντες πολλὰ ἀναλώσειν εἰς ἀφροδίσια μηνύουσι καὶ διὰ τοῦτο τὴν φυγὴν ᾐρῆσθαι. Τῆς δὲ Σελήνης ἀκριβοῦν τὰ σχήματα χρὴ καὶ τὰς συναφὰς καὶ τοὺς συνδέσμους καθὼς προείπομεν, σκοπεῖν δὲ ἐν ποίῳ 〈ἀπο〉 κλίματι εὑρίσκεται ἀπὸ τῶν κέντρων πρὸς ἀνατολὰς ἢ δυσμὰς καὶ τὰ ἄλλα· ἐκ τούτου γὰρ εὔδηλον ἔσται οὐ μόνον περὶ τῶν ἀποδιδρασκόντων, 〈ἀλλὰ〉 καὶ τῶν τὰς μακρὰς ἀποδημίας ποιουμένων διά τε γῆς καὶ θαλάσσης. ἐν τοῖς περὶ τὸ δυτικὸν γὰρ κέντρον ζῳδίοις τυχοῦσα καὶ τοῖς ἀπὸ τοῦ μεσουρανοῦντος ἀποκλίμασι καταληφθεῖσα ἡ Σελήνη οὐκ ἐνόριον τὴν μετάστασιν ποιεῖται, ἐνόριον δὲ ἐν τῷ ὡροσκόπῳ καὶ τῷ μεσουρανήματι· ὡς ἐπὶ τὸ πλεῖστον γὰρ ἐν τῇ πόλει εὑρίσκονται ἁλύοντες καὶ παρά τινι καταγόμενοι. τῆς δὲ Σελήνης ἀσυνδέτου οὔσης τῷ Ἡλίῳ τε καὶ τῷ ὡροσκόπῳ κατὰ τὸν καιρὸν τῆς φυγῆς ἀνεύρετοι τυγχάνουσιν, συσχηματιζομένης δὲ καὶ ἐπὶ φάσεως καὶ τῇ ὥρᾳ συμφωνούσης ἄνευ βλάβης τινὸς τὴν εὕρεσιν ποιεῖσθαι δηλοῖ. οὔσης δὲ ἐν τῷ συνοδικῷ ζῳδίῳ λειψιφώτου καὶ μηδέπω τὰς τοῦ Ἡλίου συνεκδραμούσης αὐγάς, ἀσυνδέτου τε τῇ ὥρᾳ, ἀνεπάνοδος ὁ δρασμὸς ἀποτελεῖται, ὁμοίως καὶ ἔκλειψιν ποιουμένης, ἐν δὲ τοῖς συνδέσμοις ὡς ἐπὶ τὸ πλεῖστον ἐν δεσμοῖς τοὺς φυγάδας ἔσεσθαι μηνύει.

38 καὶ τὰ ἀκούοντα δὲ ζῴδια καὶ βλέποντα προσπαραληπτέον· ἐν αὐτοῖς γὰρ γινομένη καὶ παροδεύουσα ἢ βλέπειν ἢ ἀκούειν τι περὶ αὐτῶν ποιεῖ. Κἂν μηδὲν ἐνδεὲς ᾖ τῶν προδεδηλωμένων σχημάτων εἴσω τοῦ πρώτου τετραγώνου λαμβάνονται, ἐὰν δέ τι ἐλάχιστον ἢ ἐνδεὲς ᾖ τοῦ δευτέρου (τουτέστι τῆς διαμέτρου τῆς καταρχῆς), ἐὰν δὲ πάλιν ἐλλείπῃ περὶ τὸ τρίτον τετράγωνον ἢ καὶ τὴν τούτων ἀποκατάστασιν τὴν τελείαν τοῦ κύκλου. ὁ δὲ Ἥλιος τούτων τὴν ἐμφάνειαν παρέξεται τρίγωνος ὢν ἐν τοῖς τριγώνοις τῆς πανσελήνου, τετράγωνος δὲ ἐν τοῖς τετραγώνοις τῆς συνόδου. ἐπὶ δὲ τῶν τὴν βραδεῖαν εὕρεσιν ὑποφαινουσῶν καταρχῶν μῆνας ὁρίζειν χρὴ κατὰ τὴν τοῦ Ἡλίου κίνησιν τὴν γινομένην ἐν τοῖς τριγώνοις. Καταλαμβάνεται δὲ καὶ ἀπὸ τῶν γενέσεων τῶν δουλικῶν ἀπὸ τοῦ τοῦ Ἑρμοῦ ἀστέρος τὰ τῶν δρασμῶν· κακῶς γὰρ κειμένου ἢ ὑπὸ τῶν κακοποιῶν θεωρουμένου ἢ ἐνηλλαχότος τὰ ζῴδια ἢ τὰ ὅρια, μάλιστα δὲ μετὰ Ἄρεως, ἐν δὲ τῷ δυτικῷ καὶ τῷ ὑπὸ γῆν κέντρῳ εὑρισκόμενος ὁ ἀστὴρ οὗτος καὶ χωρὶς κακοποιῶν δρασμοὺς ἀπεργάζεται. ὅθεν προσεκτέον τῇ πρὸς Ἥλιον αὐτοῦ κινήσει· ὑπὸ γὰρ τὰς αὐγὰς τυγχάνοντος ὁ φυγὼν παραυτὰ κρυβήσεται, φυγόντος δὲ τὰς αὐγὰς καὶ ἀνατείλαντος φανήσεται, καὶ προσθετικοῦ γενομένου ἐπανήξει. Ἄρεως δὲ ὄντος ἐν ζῳδίῳ ἐν ᾧ τὴν ἀνατολὴν ποιεῖται καὶ συνοδεύουσα πονηρῷ προσώπῳ ἀποσφαγήσεται, εἰ δὲ ἀγαθοποιοὶ ἐπιθεωρήσουσι τοῦ μὲν θανάτου ῥύονται, δεσμοῖς δὲ καὶ κακοῖς αὐτὸν περιβάλλουσιν. τῶν κρατούντων ἀστέρων παραφυλάσσειν χρὴ τὰ δωδεκατημόρια· ἐπὰν γὰρ συνεκπέσῃ εἰς τὸν ὡροσκόπον ῥᾳδίως τέλους τυγχάνει τὰ πράγματα ἐπὶ πάσης καταρχῆς.

39 λέγουσι δέ τινες ὅτι τῆς Σελήνης σὺν τῷ Ἡλίῳ ὑπαρχούσης ὁ φυγὼν πρὸς καιρὸν κρυβήσεται, διὸ ὁ τοιοῦτος μὲν παραυτίκα ζητηθεὶς εὑρίσκεται, εἰ δὲ μὴ παραυτίκα ζητηθεὶς δυσεύρετος γίνεται. καὶ περὶ μὲν δρασμῶν καὶ φυγῆς καὶ κλοπῆς τοσαῦτα. ρξε′. Περὶ καταρχῆς Ἐν πάσῃ καταρχῇ ἐπιτηρητέον τὸν τοῦ ὡροσκόπου 〈κύριον〉 μὴ ἐμπεσεῖν εἰς τὸν η′ τόπον θανατικὸν

καλούμενον μήτε εἰς τὸ τούτου διάμετρον, ἤγουν τὸν β′, μήτε συνεῖναι τῷ τοῦ η′ τόπου δεσπότῃ μήτε τὴν Σελήνην καθυπερτερεῖν ἢ τῷ κατὰ τετράγωνον ἢ διαμέτρῳ σχήματι· 〈μήτε〉 ὁ κύριος τοῦ η′ τόπου μήτε ὁ τοῦ β′ τόπου κύριος ἔστω ἐν τῷ β′ μήτε ἐναντιούσθωσαν ἀλλήλοις ἢ ἐπαναφερέσθωσαν τῇ Σελήνῃ, ἀλλ’ ἔστωσαν ὁ κύριος τοῦ ὡροσκόπου καὶ τοῦ σεληνιακοῦ ζῳδίου καὶ τοῦ κλήρου τῆς τύχης ἐπίκεντροι καὶ τοῖς ἀγαθοποιοῖς σχηματιζόμενοι κατὰ συμπαρουσίαν ἢ σχηματισμόν. συμφωνείτω δὲ καὶ ὁ κύριος τῆς τύχης τῷ Ἡλίῳ οἷον ἵνα ἡμέρας· δεῖ δὲ καὶ τὸν κύριον τοῦ ὡροσκόπου εἶναι ἐπίκεντρον, τὴν δὲ Σελήνην ἐν τῷ γ′ ἢ ια′ ἢ θ′ ἢ ι′ τόπῳ μόνου τοῦ ὡροσκόπου τηρουμένου ἀπὸ τῆς παρουσίας αὐτοῦ. εἰ μὲν γὰρ ταῦτα πάντα προσκοπηθεῖεν ἐπὶ καταρχῆς καλῆς καὶ ὡς εἴπομεν συμβῶσιν δεξιῶς καὶ τὸ ζητούμενον προχωρήσει. εἰ δὲ σπουδὴ ἐπῇ, μὴ συντρέχουσι δὲ πάντα τὰ προειρημένα, χρηστέον τοῖς πλείοσι καὶ κατὰ καιρὸν δυνατοῖς. Καθυπερτέρησις δέ ἐστιν ὁ τετράγωνος ὁ ἀπὸ τοῦ ι′ τόπου πρὸς τὸν ἡγούμενον, οἷον ἔστω ὡροσκόπος Κριὸς καὶ ἔστω ἐν αὐτῷ Ζεύς, ὁ μεσουρανῶν Αἰγόκερως καὶ ἐν αὐτῷ ὁ Κρόνος· καθυπερτερεῖ οὖν ὁ Κρόνος τὸν Δία.

40 ἐπαναφέρεσθαι δὲ λέγεται ὅταν ἀστὴρ ἀπορρεύσῃ ἀπό τινος ἀστέρος καὶ φέρηται ἐπὶ τὰ ἑπόμενα, οἷον ἔστω εἶναι τὴν Σελήνην ἐν τῷ ε′, τὸν δὲ Ἄρην ἐν τῷ ς′, ἢ ὅταν ὦσιν ἐν τῷ αὐτῷ ζῳδίῳ καὶ ἔχῃ ἡ μὲν Σελήνη μοίρας ι , Ἄρης δὲ ιε ἢ καὶ πλείονας, τότε ἐπαναφέρεται τῇ Σελήνῃ ὁ Ἄρης. σλθ′. Περὶ σπορᾶς καὶ ἐκτέξεως Ὅταν εὑρεθῇ ἡ Σελήνη ἐν τῇ ἐκτέξει ἐπὶ τοῦ ὡροσκόπου εἶναί φασιν οἱ παλαιγενεῖς Αἰγύπτιοι τὸ βρέφος τῆς μέσης ἀποκυήσεως, τουτέστιν ἡμερῶν σογ ὡρῶν η , ἐὰν δὲ εὑρεθῇ ἐν τοῖς ἑπομένοις ζῳδίοις τοῦ ὡροσκόπου ἔσται ὑπὲρ τὴν μέσην ἀποκύησιν, ἐὰν δὲ ἐν τοῖς ἡγουμένοις ζῳδίοις τοῦ ὡροσκόπου εὑρεθῇ τότε ἔσται ἐλαττόνων ἡμερῶν τῆς μέσης ἀποκυήσεως. ἐὰν οὖν εὑρεθῇ ἡ Σελήνη ἐν τοῖς ἑξῆς ζῳδίοις τοῦ ὡροσκόπου ἀρίθμει ἀπὸ τῆς μοίρας τοῦ ὡροσκόπου ἐπὶ τὴν Σελήνην καὶ τὰς γινομένας 〈μοίρασ〉 μέρισον εἰς τὸ μέσον ἡμερήσιον κίνημα τῆς Σελήνης, ὅ ἐστι 〈μοιρῶν〉 ιγ λεπτῶν 〈ι , καὶ〉 τὰς πρὸς ταῖς ἡμέραις ὥρας περιλειφθείσας μέρισον ὁμοίως εἰς τὸ ὡριαῖον δρόμημα αὐτῆς, ὅ ἐστι λεπτὰ λγ , καὶ τὰς γινομένας ἡμέρας τε καὶ ὥρας πρόσθες ταῖς τῆς μέσης ἀποκυήσεως ἡμέραις σογ ὥραις η , καὶ τὴν γινομένην ποσότητα κούφισον ἀπὸ τῆς γενεθλιακῆς ἡμέρας εἰς τοὐπίσω· καὶ εὑρήσεις τὴν σπορίμην ἡμέραν. ἐὰν δὲ εὑρεθῇ ἡ Σελήνη ἐν τοῖς προανηνεγμένοις ζῳδίοις τῆς ὥρας ἐν τῇ ἐκτέξει ἔμπαλιν ποίει. ἀρίθμει ἀπὸ τῆς Σελήνης ἐπὶ τὴν τοῦ ὡροσκόπου μοῖραν καὶ τὰς γινομένας μοίρας μέρισον ὁμοίως εἰς τὸ μέσον ἡμερήσιον δρόμημα τῆς Σελήνης καὶ ὡριαῖον, καὶ τὰς γινομένας ἡμέρας τε καὶ ὥρας κούφισον ἀπὸ τῶν τῆς μέσης ἀποκυήσεως ἡμερῶν σογ ὡρῶν η , καὶ τὰς ὑπολοίπους ἀπὸ τῆς γεννητικῆς ἡμέρας ἀφαίρει· καὶ εὑρήσεις παχυμερῶς τὴν σπορίμην ἡμέραν τε καὶ ὥραν.

41 ὑπὲρ δὲ τοῦ ἀκριβέστερον εὑρεῖν ἀρίθμει τὸν Ἥλιον καὶ τὴν Σελήνην κατὰ τὴν ἀναφανεῖσαν ἡμέραν τε καὶ ὥραν τῆς σπορᾶς· καὶ ἐὰν εὕρῃς τὴν γενεθλιακὴν Σελήνην ἐν τοῖς ἑπομένοις ζῳδίοις τοῦ τῆς σπορᾶς Ἡλίου λέγε τὴν σπορὰν ἐν ἡμέρᾳ γεγενῆσθαι, ἐὰν δὲ τὴν γενεθλιακὴν Σελήνην εὕρῃς ἐν τοῖς προανηνεγμένοις ζῳδίοις τοῦ τῆς σπορᾶς Ἡλίου λέγε τὴν σπορὰν ἐν νυκτὶ γεγενῆσθαι. ἐὰν τοίνυν εὑρεθῇ ἡ σπορὰ ἐν ἡμέρᾳ ἀρίθμει ἀπὸ 〈τοῦ〉 τῆς σπορᾶς Ἡλίου ἕως τοῦ γενεθλιακοῦ Ἡλίου τὰς μεταξὺ μοίρας, καὶ μαθὼν ἐν ποίαις 〈μοίραισ〉 ἀναφέρονται κατὰ τὸ οἰκεῖον κλίμα μέρισον παρὰ τοὺς ὡριαίους χρόνους τοὺς περὶ τῆς ἡλιακῆς μοίρας ἐκείνης τῆς ἡμέρας ἢ ἐν ᾗ ἐνέπεσεν ἡ σπορά, καὶ ὅσας ἂν εὕρῃς ὥρας ἢ καὶ μόρια λέγε ταύτην εἶναι ἀκριβῆ ὥραν τῆς σπορᾶς. καὶ κατ’ ἐκείνην τὴν ὥραν ἀρίθμησον τὴν Σελήνην ἀκριβῶς καὶ ἐφ’ ἧς ἐστι μοίρας αὕτη ἐστὶν ἡ τοῦ ἀκριβοῦς ὡροσκόπου τῆς γενέσεως μοῖρα. δῆλον δὲ ὡς καὶ ἡ ὡροσκοποῦσα μοῖρα τῇ ὥρᾳ τῆς σπορᾶς ἡ αὐτή ἐστι τῇ 〈τῆσ〉 τῆς γενέσεως Σελήνης καθὼς εἴπομεν. ἐὰν οὖν ἐκ τῶν προειρημένων εὑρεθῇ ἡ μοῖρα τῆς σπορίμης Σελήνης σύμφωνος τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ ὡροσκόπου μοίρᾳ εἴπομεν ἀκριβῶς δίδοσθαι τὴν ὥραν τῆς γενέσεως, ἐὰν δὲ παρηλλαγμέναι ὦσιν αἱ μοῖραι καὶ εὑρεθῇ ἡ σπορίμη Σελήνη ἐλαττόνων μοιρῶν τοῦ κατὰ τὴν δοθεῖσαν ὥραν εὑρεθέντος ὡροσκόπου δῆλον ὡς 〈...〉 τὴν σπορίμην Σελήνην. ἐὰν δὲ ἐν νυκτὶ ἡ σπορὰ εὑρεθῇ ἔμπαλιν ποίει ἀπὸ τῆς γεννητικῆς 〈Σελήνησ〉 ἕως τοῦ τῆς σπορᾶς Ἡλίου καὶ τὰ αὐτὰ ποίει τοῖς προλελεγμένοις. Ὑπόδειγμα· 〈ἔστω〉 τινὰ τετέχθαι ἐν τῷ ϙζʹ ἔτει ἀπὸ τῆς Διοκλητιανοῦ βασιλείας ἤτοι 〈ἐν τῷ ͵ εωπθʹ〉 ἀπὸ τῆς κτίσεως κόσμου Ἀθὺρ λʹ ὥρᾳ ϛʹ, καθʼ ἣν ὥραν εὕρομεν τὸν μὲν Ἥλιον Τοξότου 〈μοίρᾳ〉 δʹ ἔγγιστα, τὴν δὲ Σελήνην 〈Ταύρου〉 λεπτῷ μζʹ, τὸν δὲ ὡροσκόπον Ὑδροχόου μοίρᾳ κεʹ.

42 ἐπεὶ οὖν εὑρέθη ἡ Σελήνη ἐν τοῖς ἑπομένοις ζῳδίοις τοῦ ὡροσκόπου ἀριθμεῖν χρὴ ἀπὸ τοῦ ὡροσκόπου ἕως τῆς μοίρας τῆς Σελήνης, καὶ εὕρομεν μοίρας ξε λεπτὰ μζ · ἃς παραβάλλοντες παρὰ τὸ ἡμερήσιον κίνημα τῆς Σελήνης, τουτέστι ιγ μοίρας, εὕρομεν ἡμέρας ε , καὶ τὰ ὑπόλοιπα λεπτὰ μζ ὁμοίως παραβάλλοντες παρὰ τὸ ὡριαῖον μέσον δρόμημα τῆς Σελήνης εὕρομεν ὥρας α γʹ ἔγγιστα. τὰς οὖν ἡμέρας 〈 ε 〉 καὶ ὥραν μίαν γʹ προσεθήκαμεν ταῖς ἡμέραις τῆς πρώτης ἀποκυήσεως σογ τρίτον καὶ ἐγένοντο ἡμέραι σοη καὶ ὧραι ἐννέα τρίτον, ἀνακουφισάντων δὲ ἡμῶν ταύτας εἰς τοὐπίσω ἀπὸ τῆς γενεθλιακῆς ἡμέρας καὶ ὥρας Ἀθὺρ λʹ ἤγουν 〈Νοεμβρίου〉 ὥρᾳ 〈ϛʹ〉 ἔφθασεν εἰς Μεχεὶρ κϛʹ εἰς κζʹ ἤγουν 〈Φεβρουαρίου〉 ὥρᾳ νυκτὸς ηʹ· κουφιζομένου καὶ τοῦ τετάρτου μέρους ἐμβολίμου ἡμερονυκτίου, ὥρας ϛ , εὑρίσκεται 〈ϙϛʹ〉 ἔτει Μεχεὶρ κϛʹ εἰς κζʹ ἤτοι 〈Φεβρουαρίου〉 ὥρα δευτέρα, καθʼ ἣν ὥραν τὸν Ἥλιον εὑρήκαμεν 〈Ἰχθύων〉 μοίρᾳ ..., τὴν δὲ Σελήνην 〈Ὑδροχόου〉 μοίρᾳ ... σμʹ. Περὶ καταρχῆς Ἐν ταῖς καταρχαῖς δεῖ προσέχειν καὶ τῇ φύσει τῶν ζῳδίων. ὁ γὰρ Σκορπίος ἐγγὺς ὢν τοῦ Ζυγοῦ πολὺ αὐτοῦ διαλλάττει· ὁ μὲν γὰρ Ζυγὸς πρὸς τὸ δίκαιον καὶ ἀγαθὸν νένευκεν, ὁ δὲ Σκορπίος πρὸς τὰ ἐναντία καὶ βλαπτικά. τῆς οὖν Σελήνης τὴν φάσιν ἐχούσης ἐν Ζυγῷ ὁ μὲν ἀποδρὰς ῥᾳδίως ἐπανήξει, ὁ δὲ τὴν ἄδικον δίκην εἰσάγων ἡττηθήσεται ὑπὸ τοῦ τὴν δικαίαν ἔχοντος, τὸ δὲ ἀπολωλὸς εὑρεθήσεται· καὶ λήψεις καὶ δόσεις καὶ κοινωνίας ποιεῖσθαι συνοίσει, δανείζειν τε καὶ δανείζεσθαι καὶ εὔχεσθαι καὶ αἰτεῖσθαι ἀμοιβὰς καὶ χάριτας, ἀσύμφορον δὲ καὶ οὐκ ἐπʼ ἀγαθὸν κλέπτειν, ἁρπάζειν, ἐπιορκεῖν, ψεύδεσθαι ἢ ὅλως ἄδικόν τι πράττειν.

43 ἐν δὲ τῷ Σκορπίῳ τῆς Σελήνης γενομένης τοὐναντίον—ἄδικα καὶ βίαια τοῖς ἐγχειροῦσι συνοίσει, ἀσύμφορον δὲ εἰς γάμον συντελεῖν. Καλῶς δὲ κειμένης μεθʼ Ἑρμοῦ ἐν τοῖς ἀνθρωποειδέσι ζῳδίοις καλὸν χρησμοὺς λαμβάνειν, ὀνειροπολεῖσθαι, περὶ προγνώσεις ἀσχολεῖσθαι, ἐν δὲ τοῖς αἰνιγματώδεσι ζῳδίοις καὶ ἀφώνοις, καὶ μάλιστα μετὰ Κρόνου, φαντασίας κατοιχομένων καὶ θηρίων ἢ δεσμωτῶν ἀποδείκνυται, τοῦ δὲ Διὸς ὁρῶντος αὐτὴν διὰ προφητῶν καὶ βασιλέων ἢ ἱερῶ 〈ν〉 ζῴ[δι]ω 〈ν〉 ἢ ἐπισήμων ἀνδρῶν καὶ ἀληθῶν, τοῦ δὲ Ἄρεως διὰ τῶν οἰκείων ὅπλων καὶ ἁρπαγῶν, στρατιῶν, σφαγῶν καὶ δεισιδαιμονιῶν, τοῦ δὲ τῆς Ἀφροδίτης διὰ λίθων πολυτελῶν καὶ γυναικείων κόσμων καὶ προσώπων. Οὔσης δὲ τῆς Σελήνης ἐν τοῖς καθύγροις ὑδραγώγια κατασκευάζειν, φρεάτων τε ὀρυγὰς μαρτυροῦντος Κρόνου ἢ καὶ Ἑρμοῦ, τὸν δὲ Ἄρεα μετὰ τῆς Ἀφροδίτης παραληπτέον ἐπὶ τῶν βαλανείων καὶ πλοίων τίθεσθαι τρόπ 〈ε〉 ις καὶ νεουλκεῖν ἢ καθέλκειν εἰς θάλασσαν καὶ τὰ πλευστικὰ ἄρμενα ὠνεῖσθαι. Τῆς Σελήνης οὔσης Τοξότῃ, Αἰγοκέρωτι, Ὑδροχόῳ, Ἰχθύσιν, Καρκίνῳ, Ἀφροδίτης καὶ Ἑρμοῦ συμπαρόντων ἢ μεσουρανούντων ἢ ἐπιθεωρούντων, ἀπόντων τῶν κακοποιῶν, συνοίσει [δὲ] γῆν πρίασθαι, καὶ φυτεύειν ἐν Σκορπίῳ καὶ Παρθένῳ, κήπους δὲ καὶ ἀμπελῶνας Καρκίνῳ, Ἰχθύσιν, Ὑδροχόῳ, καὶ μάλιστα ἐν ἀνατολῇ οὔσης τῆς Σελήνης, ἐφορώντων Ἑρμοῦ, Ἀφροδίτης.

44 σώματα δὲ ἀγοράζειν καὶ πωλεῖν ἐν τοῖς ἀνθρωποειδέσιν οὔσης αὐτῆς μετὰ τῶν ἀγαθοποιῶν καὶ Ἑρμοῦ, ἀπέστωσαν δὲ οἱ κακοποιοί. ἐν δὲ τοῖς κτηνώδεσι (Σκορπίῳ, Κριῷ, Τοξότῃ) κτήνη καθιστᾶν, ἀγέλας δὲ Κριῷ, Αἰγοκέρωτι. ἐν δὲ Διδύμοις ἱπποτροφεῖν ἄμεινον, βοοτροφεῖν δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Καρκίνῳ, Ταύρῳ. Σύμφορον δὲ γυναικὶ πρώτως ὁμιλεῖν ἐν Ζυγῷ οὔσης αὐτῆς· προσφιλεῖς γὰρ καὶ ἡνωμέναι γίνονται. τοὐναντίον δὲ Σκορπίῳ, Τοξότῃ, Λέοντι· ταχὺ γὰρ διαλύονται. ξέναις δὲ καὶ ἀλλοτρίαις γυναιξὶ μίγνυσθαι Αἰγοκέρωτι, Διδύμοις, Ἰχθύσιν· παραμένουσι γὰρ ἀβλαβεῖς αἱ μίξεις, μάλιστα δὲ καὶ Σκορπίῳ. Ἀσύμφορον δὲ χωρίζεσθαι εἰς ἑτέρους τόπους Τοξότῃ. ποιεῖσθαι δὲ χρὴ τὰς ἐξόδους τῆς Σελήνης οὔσης ἐν τοῖς χερσαίοις, ἐν δὲ τοῖς ὑγροῖς τὰς ἀναγωγὰς τοῦ πλοῦ, ἐν δὲ τοῖς ἀμφιβίοις (τουτέστι Καρκίνῳ, Αἰγοκέρωτι) πρὸς ἀμφότερα χρηστέον. οὐδὲν δὲ κωλύει ἐν τοῖς ἀνθρωποειδέσι καὶ χερσαίοις χωρὶς τῶν κακοποιῶν ὁδοῦ ἢ πλοῦ κατάρχεσθαι. Ἐν δὲ τοῖς χερσαίοις καὶ στερεοῖς καθεστώσης αὐτῆς ὀρύσσειν χρὴ καὶ ποιεῖν ὅσα προσήκει τῇ γῇ—μέταλλα, θεμελίους, θησαυρούς—μάλιστα δὲ Σκορπίῳ ἐπεὶ καὶ φωλεύει, οἰκοδομεῖν δὲ ἐν τοῖς αὐτοῖς ζῳδίοις πλὴν τῶν τροπικῶν. μνημεῖα δὲ καὶ τάφους κτίζειν χρὴ συσχηματιζομένου Κρόνου καὶ Ἑρμοῦ. Εὐχὰς δὲ θεῷ ἀποδιδόναι ἐν τοῖς τροπικοῖς οὔσης καὶ ἐπὶ φάσεως ἀγαθῆς τῆς Σελήνης ὡς μάλα ὑπακούειν. Παρακαταθήκας λαμβάνειν ἐν Σκορπίῳ ἀσύμφορον καὶ ἀχαριστίας αἴτιον. Κτηνοτροφεῖν Σκορπίῳ, Λέοντι ἵππους, Σκορπίῳ κύνας καὶ ὄνους. Εἰς διδασκαλίαν καὶ εἰς παλαίστραν συνιστᾶν Διδύμοις καὶ Ζυγῷ καὶ Ὑδροχόῳ καὶ Παρθένῳ, καὶ παντὶ δὲ εἴδει μαντικῆς χρηστέον.

45 Θηρεύειν δὲ ἐν τοῖς θηριώδεσι ζῳδίοις τὴν διὰ κυνῶν θήραν, ἐν δὲ τοῖς πτερωτοῖς τὰ πτηνά, ἁλιεύειν δὲ ἐν τοῖς καθύγροις (Ὑδροχόῳ, Καρκίνῳ, Ἰχθύσιν, Αἰγοκέρωτι). Ἐργαστήρια δὲ ἀνοίγειν καὶ βίον συλλέγειν καὶ ὅσα σταθμοῖς καὶ μέτροις χρῆται ἄμεινον Ζυγῷ, κατὰ δευτέραν δὲ τάξιν Καρκίνῳ, κατὰ δὲ γʹ Κριῷ. Ὀθόνας καὶ ἔρια εἰς μετάπρασιν ὠνεῖσθαι ἄμεινον ἐν Κριῷ. ἀγοράζειν δὲ πᾶν ἔνυδρον καὶ μετοικίζειν καὶ μεταβιβάζειν αὐτὰ Ἰχθύσιν, Ὑδροχόῳ, καὶ μᾶλλον ἐν τοῖς ἀνθρωποειδέσι ζῳδίοις, καὶ ἐν Καρκίνῳ δὲ ἄμεινον διὰ τὸ οἶκον αὐτῆς εἶναι. κοινωνίας πρὸς φίλους ποιεῖν ἐν τοῖς ἀνθρωποειδέσι ζῳδίοις. Σώματα δὲ ἀγοράζειν ἐν μὲν τοῖς στερεοῖς παράμονα μέν, αὐθάδη δέ, ἐν δὲ τοῖς ἀνθρωποειδέσιν ἐπιεικῆ καὶ ὑποτακτικά, ἐν δὲ τοῖς τροπικοῖς εἰς μετάπρασιν. Ὠνεῖσθαι σύγκοιτον ἤτοι παλ〈λ〉ακίδα ἐν τῷ Τοξότῃ, Ζυγῷ. τὰς δὲ τῶν γάμων συγγραφὰς ποιεῖσθαι Λέοντι, Παρθένῳ, Ζυγῷ, Ὑδροχόῳ, Σκορπίῳ· παράμονοι γὰρ οὕτως ἔσονται αἱ 〈συμ〉βιώσεις, τοὐναντίον δὲ Ἰχθύσιν, Κριῷ. θᾶττον δὲ ὁ χωρισμὸς γίνεται Σκορπίῳ, καὶ μάλιστα ὅταν ἡ Σελήνη τὸ κέντρον αὐτοῦ διαπορεύηται. Ἀμπελῶνας δὲ καὶ κήπους Ἰχθύσιν, Καρκίνῳ, Ὑδροχόῳ καὶ τοῖς ἐσχάτοις τοῦ Αἰγοκέρωτος, σπείρειν δὲ Σκορπίῳ καὶ Παρθένῳ, τρυγᾶν δὲ ἐν τοῖς καθύγροις Ἀφροδίτης, Ἄρεως καὶ Ἑρμοῦ ὁρώντων. Παρατηρεῖν δὲ ἐν ταῖς κτίσεσι κενοδρομοῦσαν τὴν Σελήνην, καὶ ἐν ταῖς ἄλλαις καταρχαῖς καὶ λειψιφωτοῦσαν. Ἐν δὲ ταῖς μασθοδοσίαις τῶν βρεφῶν τὸν Ἄρεα φυλάττεσθαι χρή· νόσου γὰρ καὶ λειπογαλαξίας αἴτιός ἐστιν. τλθʹ.

46 (1t) Περὶ αἱρέσεως καὶ συνθηκῶν Εἴ τις προσενέγκῃ αἵρεσιν περὶ οἱουδήποτε πράγματος ἐκεῖνον μὲν ἀπὸ τοῦ ὡροσκόπου, σεαυτὸν δὲ ἀπὸ τοῦ δύνοντος, τὴν δὲ πρᾶξιν ἐκ τοῦ μεσουρανήματος, τὸ δὲ τέλος ἐκ τοῦ ὑπογείου ἐπισκέπτου. τὰ ἀνατέλλοντα ζῴδια ἢ ὄρθια ἢ πλάγια εἴη, καὶ ἐκ τούτων γνώσῃ τὸν προσιόντα οἷός ἐστιν. ἀγαθῶν ὁρώντων τὸν ὡροσκόπον ἢ ἑπόντων αὐτῷ ἀγαθῇ γνώμῃ καὶ καλῇ προαιρέσει ἦλθεν οὗτος πρός σε. κακοποιῶν δὲ ἐν τῷ μεσουρανήματι ὄντων 〈τὸ〉 πρᾶγμα οὐ καλὸν περὶ οὗ τὴν ἐρώτησιν προσφέρει καὶ προξενήσει σοι ἀηδίαν. EPITOMAE II LIBER PRIMVS λδʹ.

47 (1t) Περὶ προγνώσεως ἐκ τῶν δωδεκατημορίων τοῦ ὡροσκόπου Ἐπετήρησαν δὲ ἀκριβῶς εἰς πρόγνωσιν οἱ παλαιοὶ καὶ ἐκ τῆς ποσότητος τῶν μοιρῶν τοῦ ὡροσκόπου οὗ ἔσται αὐτοῦ τὸ δωδεκατημόριον. εἰς ὃ γὰρ ἂν ἐμπέσῃ ζῴδιον ἐν τοῖς ἑξῆς ἀνὰ δύο ἥμισυ μοίρας ἐκβαλλομένη ἡ ποσότης τῶν μοιρῶν τοῦ ὡροσκόπου ὃ ἔσται αὐτὸ τὸ δωδεκατημόριον, κατ᾽ αὐτό τε περὶ παντὸς πράγματος καὶ περὶ τῆς πεύσεως συνιδεῖν ἔστι τὸ εἶδος. οὐ γὰρ μόνον ὁρᾶν χρὴ αὐτὰ καθ᾽ αὑτὰ εἰ ἔστι τροπικὰ ἢ στερεὰ ἢ δίσωμα· ἃ μάλιστα ἁρμόζει εἰς τὴν τῶν καταρχῶν λύσιν τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συμβαίνειν ἐν στερεῷ τροπικὸν δωδεκατημόριον ἢ δίσωμον κεντροῦσθαι, ἀλλοιοῦσθαί τε τὴν φύσιν τοῦ ζῳδίου τῇ τῆς τοπικῆς δυνάμεως μοιρικῇ διακρίσει. τὴν οὖν ποιότητα τῆς πεύσεως ἤτοι τοῦ πράγματος προειπεῖν δυνησόμεθα ἐὰν ἀκριβῶς λάβωμεν τὴν ὡροσκοποῦσαν μοῖραν καὶ γνῶμεν τὸ δωδεκατημόριον· πρὸς αὐτὸ ἁρμοσόμεθα οὕτως. Ἀπὸ Κριοῦ ἀρχὴ δωδεκατημορίων Ἐὰν οὖν εὑρεθῇ τὸ πρῶτον δωδεκατημόριον τοῦ Κριοῦ, τουτέστι β ? μοῖραι, ὡροσκοποῦν ἐπὶ τῆς ὥρας τοὺς προσιόντας περὶ ἐλευθερίας ἢ ἀρχῆς, τὸ δὲ β′ περὶ βίου ἢ οἴκου ἢ ζῴων ἢ ἀγροῦ ἢ γυναικὸς ἢ ἀστείων προσώπων ἢ ὁμοίων, τὸ δὲ γ′ ἐνέδρας ἢ κλέμματος ἢ δραπέτου, τὸ δὲ δ′ κλοπῆς ἀργυρίου ἢ ἁρπαγῆς, τὸ ε′ περὶ οὐσίας ἢ ἀρχῆς καὶ τῶν ὁμοίων, τὸ ϛ′ περὶ οἰκονομίας καὶ γυναικείου κόσμου, τὸ ζ′ περὶ ἐχθρῶν καὶ μάχης ἢ ἀπαιτήσεως κριτηρίου, τὸ η′ περὶ λαθραίου πράγματος καὶ ἀποκρύφου, τὸ ἔννατον περὶ ὁδοιπορίας ἢ μεταβάσεως ἢ πλοῦ, τὸ ι′ περὶ ἐλπίδων ἢ συζυγίας ἢ ἁρμονίας, τὸ ια′ περὶ ἀποβολῆς ἢ κλέμματος ἢ ζημίας τινός, τὸ τελευταῖον, τὸ ιβ′ ὅ ἐστιν Ἰχθύων τυγχάνον, περὶ γυναικῶν ἢ γυναικὶ διαφερόντων πραγμάτων ἢ τεθηλυμένων.

48 Ἀπὸ Ταύρου ἀρχή Ταύρου δὲ τὸ μὲν πρῶτον δωδεκατημόριον ἀπονεμηθὲν σημαίνει περὶ πραγματείας καὶ ὅσα περὶ ζωὴν καὶ βρῶσιν, τὸ δὲ δεύτερον (τῶν Διδύμων) πράγματα αἰσχρὰ ἢ περὶ ἀφροδισίων ἢ τῶν ὁμοίων σημαίνει, τὸ δὲ γ′ κλοπῆς ἢ ἔργου τινὸς ἢ οἰκονομίας, τὸ δὲ δ′ περὶ ἔχθρας καὶ ἁρπαγῶν, τὸ ε′ συμφωνίας καὶ φιλίας καὶ καλοκαγαθίας, τὸ δὲ ϛ′ ἐν ἀμφιβολίᾳ καὶ δισταγμῷ περιπεπτωκέναι τὸν σκεπτόμενον, τὸ δὲ ζ′ καμάτου καὶ μερίμνης καὶ στρατείας σημαντικόν, τὸ η′ περὶ ὁδοιπορίας καὶ πλοῦ καὶ τῶν τοιούτων, τὸ θ′ δὲ περὶ συναλλαγῆς τῆς πρὸς γυναῖκας καί τινα ὅμοια τούτοις, τὸ ι′ περὶ διαπράσεως καὶ ἀποβολῆς καὶ κόπου, τὸ ια′ περὶ ἀφροδισίων, τὸ ιβ′ καὶ τελευταῖον, Κριοῦ τυγχάνον, περὶ ξένων ἢ ξενιτείας ἢ γεωργίας σημαίνει. Ἀπὸ Διδύμων ἀρχή Τῶν δὲ Διδύμων τὸ α′ δωδεκατημόριον σημαίνει περὶ κοινωνίας καὶ πολιτικῶν πραγμάτων καὶ ὁμονοίας, τὸ δὲ β′ ἀποβολῆς χρυσίου καὶ ἀργυρίου ἢ τῶν ὁμοίων κινητῶν, τὸ γ′ περὶ ἀποβολῆς καὶ ἀτυχίας, τὸ δ′ περὶ δανείσματος καὶ ἀποβολῆς καὶ ζημίας, τὸ ε′ περὶ πράγματος καὶ πράξεως, τὸ ϛ′ περὶ κλοπῆς τῶν ἀπὸ πυρὸς γεγονότων, τὸ ζ′ περὶ δραπετῶν διωγμοῦ ἢ ὁδοιπορίας ἢ εἴ τινα τούτοις ὅμοια, τὸ η′ περὶ ἐπωφελοῦς τέχνης καὶ ἱλαροῦ τινος πράγματος, τὸ θ′ περὶ λόγων καὶ πραγμάτων, τὸ ι′ περὶ μάχης καὶ ἔχθρας καὶ τῶν ὁμοίων, τὸ ια′ ἀποβολῆς τινος ἢ φόβου ἢ μετανοίας ἢ ἀναλύσεως, τὸ ιβ′ καὶ τελευταῖον, Ταύρου τυγχάνον, περὶ γεωργίας ἢ ξενιτείας καὶ ὅσα τούτοις παραπλήσια δηλοῖ.

49 Ἀπὸ Καρκίνου ἀρχή Τὸ δὲ τοῦ Καρκίνου πρῶτον δωδεκατημόριον σημαίνει περὶ ἀρχῆς ἢ ἀρχιερωσύνης ἢ ἱερουργίας, τὸ β′ περὶ μεγάλου πράγματος καὶ ἀξίας καὶ ἱερωσύνης, τὸ γ′ περὶ φόβου διὰ πρᾶγμά τι μετὰ γυναικὸς πραχθέν, τὸ δ′ περὶ πίστεως ἢ ἀποβολῆς ἢ ἀπαιτήσεως, τὸ ε′ περὶ λαθραίας ὑποθέσεως ἢ θησαυροῦ ἢ παρακαταθηκῶν, τὸ ϛ′ περὶ ὁδοιπορίας ἢ πλοῦ ἢ ξένων προσώπων, τὸ ζ′ περὶ μάχης διὰ θηλυκὰ πρόσωπα καὶ ζηλοτυπίας, τὸ η′ περὶ ἀποβολῆς ἢ κλεμμάτων ἢ ζημιῶν ἢ ἀρνήσεων, τὸ θ′ περὶ γάμου κοινωνίας καὶ πραγμάτων ἀγαθῶν ἕνεκα, τὸ ι′ περὶ ἀρχῆς καὶ ἀξίας καὶ ἱερωσύνης καὶ εἴ τινα τούτοις παραπλήσια, τὸ ια′ περὶ κλέμματος ἢ ἀποδράντος τινὸς ἢ ἀρνήσεως ἢ παρακαταθηκῶν, τὸ ιβ′ περὶ κοινωνίας καὶ ἐζευγμένων πραγμάτων καὶ συμφώνων. Ἀπὸ Λέοντος ἀρχή Τὸ δὲ τοῦ Λέοντος πρῶτον δωδεκατημόριον δηλοῖ περὶ ἀξίας καὶ ἐπιθυμίας ἀλλοτρίων ἢ πλεονεξίας, τὸ β′ περὶ μεγάλων πραγμάτων καὶ ζημίας καὶ ἀδικίας, τὸ γ′ μάχης καὶ πλεονεξίας καὶ ἀμφιβολίας, τὸ δ′ μεγάλου πράγματος τελεσιουργίας, τὸ ε′ περὶ πράγματος οὐ μικροῦ ἀλλὰ βασιλικοῦ ἢ στάσεως, τὸ ϛ′ περὶ κόπου τινὸς ἢ ἐργασιῶν ξένων ἢ προσόδων, τὸ ζ′ περὶ ἐχθρῶν καὶ τῶν ὁμοίων, τὸ η′ περὶ ἀλλοτρίου πράγματος ἢ ἀλλοτρίας μερίμνης, τὸ θ′ περὶ φόβου καὶ δισταγμοῦ, τὸ ι′ περὶ λέσχης ἢ ἀγροικίας ἢ ξενιτείας, τὸ ια′ περὶ μάχης καὶ ἀπροσδοκήτων, τὸ δὲ ιβ′ περὶ πραγμάτων ἱερῶν ἢ τοιουτοτρόπων τινῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

50 Ἀπὸ Παρθένου ἀρχή Παρθένου τὸ πρῶτον δωδεκατημόριον σημαίνει περὶ κόσμου γυναικείου καὶ καρπῶν χάριν, τὸ β′ περὶ προσόδου ἢ κόσμων, τιμῶν ἢ ἐσθῆτος, τὸ γ′ περὶ πράγματος λάθρᾳ βεβουλευμένου, τὸ δ′ περὶ ἀφορμῆς ἀλλαγῆς ἢ κοινοῦ τινος χάριν, τὸ ε′ περὶ γεωργίας ἢ οἰκονομίας ἢ τοιουτοτρόπου τινός, τὸ ς′ περὶ προσόδου ἢ ἐλπίδων καὶ πράξεων καὶ κόπων, τὸ ζ′ περὶ ἔχθρας γυναικείας καὶ ἀψιμαχίας φίλων, τὸ η′ περὶ τέχνης ἢ ἱερῶν ἐνεργείας ἢ χρηματισμῶν, τὸ θ′ περὶ φόρτου πράσεως ἢ καματηρᾶς ξενιτείας, τὸ ι′ περὶ ἐπηρείας τινὸς ἢ ξένης ἢ ἀγροικικῆς αἰτίας, τὸ ια′ περὶ κλοπῆς ἢ πράγματος λαθραίου ἢ θησαυροῦ, τὸ δωδέκατον καὶ τελευταῖον, Λέοντος, περὶ τραυμάτων ἢ ἀσθενείας ἢ τῶν ὁμοίων. Ἀπὸ Ζυγοῦ ἀρχή Τὸ δὲ τοῦ Ζυγοῦ δωδεκατημόριον σημαίνει περὶ προσόδου ἢ κριτηρίου ἢ δόσεως ἢ λήψεως, τὸ β′ περὶ κλέμματος ἢ νοσφισμοῦ, τὸ γ′ περὶ ἐμπορίας ἢ ἔργων τῶν ἐπὶ ξένης, τὸ δ′ περὶ πραγμάτων λαθραίων ἢ σκολιῶν, τὸ ε′ περὶ πραγμάτων ἢ κακοτροπίας ἢ ἐλπίδων προσδοκίας, τὸ ς′ περὶ ἀλλοτρίων πραγμάτων ἢ ἐντολῆς γυναικός, τὸ ζ′ περὶ ἀηδίας ἀκαίρου καὶ ὀργῆς καὶ μάχης ἢ ἡσυχίας τινός, τὸ η′ περὶ ἀσθενείας ἢ τραυμάτων ἢ μερίμνης βασιλικῆς, τὸ θ′ περὶ κοινωνίας ἢ λόγων ἢ συνθηκῶν, τὸ ι′ περὶ προσόδου ἢ ἀξίας ἢ τιμῆς καὶ εὐημερίας, τὸ ια′ περὶ ἀγνοίας τινὸς ἢ ὕβρεως αἰφνιδίου, τὸ ιβ′ περὶ σωμάτων ἢ φορτίου πολιτικοῦ. Ἀπὸ Σκορπίου ἀρχή Τὸ δὲ Σκορπίου πρῶτον δωδεκατημόριον σημαίνει περὶ στρατείας ἢ ἐπὶ ξένης πράγματος ἢ μίξεως αἰφνιδίως γεγονυίας, τὸ β′ περὶ πλοῦ ἢ μεταβάσεως καὶ τῶν ὁμοίων, τὸ γ′ περὶ ὄχλου, μάχης καὶ ἀηδίας ἐπικινδύνου, τὸ δ′ περὶ κακοπραξίας ἀπολύσεως, τὸ ε′ περὶ ὁμονοίας ἢ πλοῦ ἢ κοινῶν πραγμάτων, τὸ ς′ περὶ ἐπιταγῆς καὶ κρατήσεως καὶ ἀδοκήτου βίας, τὸ ζ′ περί τινος ἐπὶ ξένης γεγονότος ἢ διὰ ξένα πρόσωπα, τὸ η′ περὶ ὁδοιπορίας, τὸ θ′ περὶ κλεμμάτων ἢ ἐξουσίας ἢ τῶν πρὸς ἰσχυρότερα πρόσωπα διαφερόντων, τὸ ι′ περὶ ξενιτείας ἢ τέχνης τινὸς ἢ ἀξίας, τὸ ια′ περὶ κλέμματος ἢ γυναικείου χάριν, τὸ ιβ′ περὶ προσόδων ἢ κινδύνου ἢ κέρδους ἀπλήστου.

51 Ἀπὸ Τοξότου ἀρχή Τὸ δὲ τοῦ Τοξότου πρῶτον δωδεκατημόριον δηλοῖ περὶ φορτίου ἐπὶ ξένης, τὸ β′ περὶ στρατείας ἢ ξενιτείας ἢ στρατοπέδου, τὸ γ′ περὶ πραγμάτων ἢ πράξεων καθύγρων, τὸ δ′ περὶ πλοῦ καὶ τῶν ὁμοίων, τὸ ε′ περὶ φόρτου, τὸ ς′ περὶ τετραπόδων, τὸ ζ′ περὶ ἀηδίας ἢ δραπέτου, τὸ η′ περὶ κλέμματος ἢ ἀποβολῆς, τὸ θ′ περὶ ὁδοῦ ἢ ἐνέδρας, τὸ ι′ περὶ ἔρωτος ἢ τῶν ὁμοίων, τὸ ια′ περὶ προσόδου ἐπὶ ξένης ἢ διὰ ξένους, τὸ ιβ′ περὶ κλέμματος. Ἀπὸ Αἰγοκέρωτος ἀρχή Τὸ δὲ τοῦ Αἰγοκέρωτος πρῶτον δωδεκατημόριον περὶ πραγμάτων οὐ καθαρῶν ἢ ἐφυβρίστων, τὸ β′ περὶ δραπέτου ἢ ἀποβολῆς, τὸ γ′ περὶ ἔρωτος ἢ πλοῦ, τὸ δ′ περὶ πραγμάτων ἢ ἱματίων, τὸ ε′ περὶ γεωργίας ἢ οἰκοδομῆς, τὸ ς′ περὶ πραγμάτων ἄλλοις διαφερόντων, τὸ ζ′ περὶ κλέμματος ἢ ἀηδίας, τὸ η′ περὶ φόνου ἢ στρατείας, τὸ θ′ περὶ τέχνης ἢ κόσμου γυναικείου, τὸ ι′ περὶ προσόδου ἢ ἀηδίας, τὸ ια′ περὶ πραγμάτων λάθρᾳ γεγονότων, τὸ ιβ′ περὶ πραγμάτων γεγονότων ἢ πλοῦ. Ἀπὸ Ὑδροχόου ἀρχή Τὸ δὲ τοῦ Ὑδροχόου πρῶτον δωδεκατημόριον ἀποδείκνυσι περὶ σωμάτων χάριν, τὸ β′ καθύγρων πραγμάτων ἕνεκα καὶ φορτίου, τὸ γ′ περὶ λέσχης τινός, τὸ δ′ περὶ κόπων ἰδίων, τὸ ε′ περὶ κοινωνίας ἢ καθύγρων πραγμάτων, τὸ ς′ περὶ κλέμματος ἢ ἀηδίας αἰφνιδίου, τὸ ζ′ περὶ τέχνης ἢ κοινωνίας, τὸ η′ περὶ ἀγοραίου ἢ παρύγρου τινός, τὸ θ′ περὶ προσόδου ἢ περὶ κόσμου καὶ δικαίου τινὸς πράγματος ἢ ἐπὶ ξένης ὄντος, τὸ ι′ περὶ κλοπῆς θησαυροῦ, τὸ ια′ περὶ πλοῦ ἢ καθύγρων πραγμάτων, τὸ δὲ ιβ′ περὶ ἀλλοτρίων πραγμάτων ἢ πίστεων γυναικείων.

52 Ἀπὸ Ἰχθύων ἀρχή Τὸ δὲ τῶν Ἰχθύων πρῶτον δωδεκατημόριον σημαίνει περὶ βεβλαμμένων πραγμάτων καὶ παρύγρων, τὸ β′ περὶ κόσμου ἢ συζεύξεως, τὸ γ′ περὶ τῶν λάθρᾳ τι πράσσειν ἐπιχειρούντων ἢ γυναικείου πράγματος, τὸ δ′ περὶ κόπου ἢ κοινωνίας ἢ ξένου πράγματος, τὸ ε′ περὶ φορτίου ἢ γάμου, τὸ ς′ περὶ φορτίου ἀλλοτρίου, τὸ ζ′ περὶ γυναικείας τέχνης ἢ τῶν ὁμοίων τῶν εἰς γυναῖκα ἀναφερόντων, τὸ η′ περὶ ἀλλοτρίων πραγμάτων, τὸ θ′ περὶ προσόδου

καὶ καλοῦ πράγματος, τὸ ι′ περὶ πλοῦ ἢ ξενιτείας τινὸς ἀγαθῆς, τὸ ια′ περὶ γυναικείου πράγματος ἢ γυναικὶ διαφέροντος, τὸ δὲ ἐπὶ τέλει ιβ′ σημαίνει περὶ ἀποβολῆς ἢ δραπέτου ἢ τῶν ὁμοίων. EPITOMAE II LIBER SECVNDVS κ′.

53 (1t) Περὶ κριτηρίων καὶ ἐγκλήσεων καὶ νίκης καὶ ἥττης Ἐπισκεπτέον δὲ τὰ περὶ κριτηρίων καὶ τὰς τῶν ἐγκλημάτων ἐπιφορὰς οὕτως, τὸν μὲν ὡροσκόπον τῷ κατηγοροῦντι νέμοντας, τὸ δὲ μεσουράνημα τῷ κριτῇ, τὸ δὲ δῦνον τῷ κατηγορουμένῳ, τὸ δὲ ὑπόγειον τῇ κρίσει καὶ τῇ ἀποβάσει τοῦ πράγματος. καὶ ἐὰν μὲν ὡροσκοπῇ τροπικὸν ζῴδιον τέλους οὐ τεύξεται τὸ πρᾶγμα, ἐὰν δὲ δίσωμον ἐν μετανοίᾳ ἔσται ὁ κατηγορῶν, ἐὰν δὲ στερεὸν ἐπίμονος καὶ ἀπαραίτητος ὁ ἐνάγων. ἐὰν δὲ ὑπὸ Ἄρεος βλάπτηται θρασὺς καὶ ὑβριστὴς καὶ ἀπότομος, ἐὰν δὲ ὑπὸ Κρόνου μαρτυρῆται δηλοῖ δόλιον καὶ πονηρὸν πρεσβύτην, συνόντος δὲ τοῦ Ἑρμοῦ σημαίνει 〈δι’〉 ἀργυρίου δόσιν τὴν κατηγορίαν ἐνίστασθαι ἢ καὶ πλαστογραφίαν, ὁμοίως δὲ καὶ μετὰ Ἄρεος ὁ τοῦ Ἑρμοῦ. Ζεὺς δὲ ἐνδόξους δηλοῖ καὶ εὐγενεῖς, μετὰ δὲ Ἄρεος τολμηρὸν καὶ εὐγενῆ, Ἑρμῆς δὲ γοργὸν καὶ πολυπράγμονα. Ταὐτὰ δὲ ὑπονοητέον περὶ τῶν κριτῶν ἀναλόγως τοῖς ἐποῦσιν ἐν τῷ μεσουρανήματι ζῳδίοις τε καὶ ἄστρασιν· ἀγαθοποιῶν μὲν γὰρ ὄντων ἐν τῷ μεσουρανήματι δίκαια ποιήσειν τὸν δικαστήν, κακοποιῶν δὲ ἄδικα.

54 τροπικοῦ δὲ ὄντος τοῦ ζῳδίου αὖθις λεχθήσεσθαι τὴν δίκην ἢ καὶ ἔκκλητον προχωρήσει, Ἡλίου δὲ καὶ Σελήνης μεσουρανούντων πάντα φανερὰ ποιήσειν καὶ ἔνδοξα καὶ εὐγενῆ εἶναι τὸν δικαστήν. ἐν δὲ τῷ δύνοντι τυγχανόντων τῶν ἀγαθοποιῶν νίκην προσαγορευτέον τῷ κατηγορουμένῳ. ὁ δὲ τόπος ὁ ὑπόγειος τὴν ἔκβασιν προμηνύει· τῶν μὲν γὰρ κακοποιῶν ὑπὸ γῆν ὄντων ἀδίκως ὁ κατηγορούμενος κατακριθήσεται, ἀγαθοποιῶν δὲ δικαίως. Ἔστι δὲ καὶ ἕτερος τρόπος λαμβανόμενος ἐπὶ τοῖς κριτηρίοις χωρὶς τῶν δ κέντρων οὕτως. Σελήνη γὰρ αὐξανομένη λαμβάνεται εἰς τὸν διώκοντα, ὁ δὲ Ἥλιος εἰς τὸν κατηγορούμενον καὶ ὑπόχρεων, μειουμένη δὲ ἔμπαλιν, τουτέστιν αὐτὴ μέν ἐστιν ὑπόχρεως, ὁ δὲ Ἥλιος τὴν τοῦ διώκοντος τάξιν ἀναλαμβάνει. ἐπισκεψάμενοι οὖν τίς μᾶλλον καλῶς κεῖται τόπῳ, ὁρίοις, μαρτυρίαις ἀγαθαῖς καὶ τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ, οὕτω προεροῦμεν ἀπὸ τῆς τῶν πλειόνων ψήφου καὶ ῥοπῆς τὸν νικήσοντα τῆς πανσελήνου λαμβανομένης εἰς μεγάλην στάσιν καὶ ἔριν καὶ ἀπώλειαν. Τὴν δὲ Σελήνην ἐπιτηρεῖν δεῖ ἐν τῇ κρισίμῳ ἡμέρᾳ, καὶ ἐὰν τύχῃ οὖσα ἐν Ζυγῷ, καὶ μάλιστα δύνουσα, ἀσύμφορος τῷ ἀδίκως δίκην εἰσάγοντι (ἡττηθήσεται γάρ), ὁ δὲ δικαίως ἐγκαλῶν νικήσει. Ἐκκείσθω δὲ καὶ τὰ ἐκ τῶν ἐπῶν τοῦ Δωροθέου μεταφρασθέντα οὕτως. ἔστω ὁ κατηγορῶν ὁ ὡροσκόπος, καὶ ἐὰν μὲν ᾖ τὸ τοῦ ὡροσκόπου ζῴδιον στερεὸν ἔσται ὁ κατηγορῶν ἀμετάτρεπτος καὶ ἐπίμονος, ἐὰν δὲ δίσωμον ἐν μετανοίᾳ γενόμενος εἰς ἑτέραν ἔννοιαν ἥξει, ἐὰν δὲ τροπικὸν ἀσυντέλεστος αὐτοῦ γίνεται ἡ ὁρμή.

55 ἐὰν δὲ τὸν ὡροσκόπον ὁ Ἄρης βλάπτῃ καταισχυνθήσεται ὁ ἐνάγων, ἐὰν δὲ Ἑρμῆς μετά τινος ἀγαθοποιοῦ ὡροσκοπῇ χρήματα λαβὼν ὁ ἐνάγων σιγήσεται, ἐὰν δὲ τὸν ὡροσκόπον ὁ Κρόνος βλάπτῃ ζημιωθήσεται ὁ κατήγορος. τὸ δὲ μεσουράνημα ἔστω ὁ κριτής, καὶ ἐὰν τὸ μεσουράνημα βλάπτηται ὑπὸ κακοποιοῦ τότε οἱ κριταὶ μὴ συμφωνήσαντες ἀλλήλοις διαστήσονται (ἔσται γὰρ ἀναβολὴ τῆς δίκης), εἰ δὲ καὶ συμφωνήσουσιν οἱ κριταὶ ὅμως ἀβέβαιος αὐτῶν ἡ κρίσις καὶ ἡ συμφωνία καὶ ἐκστραφήσεται. ὁ δὲ Κρόνος μεσουρανῶν αἴτιός ἐστιν ἀδικοκρισίας, οἱ δὲ ἀγαθοποιοὶ μεσουρανοῦντες ποιοῦσι δικαιοκρισίαν. τὸ δὲ δῦνον ἔστω ὁ ἐναγόμενος, καὶ ἐκ τῶν εἰρημένων ἐπὶ τοῦ ὡροσκόπου σχηματισμῶν τῶν ἀστέρων σκέπτου ἀναλόγως τὸ αὐτὸ καὶ ἐπὶ τοῦ δύνοντος καὶ κατηγορουμένου. ἐὰν δὲ ὁ Ἑρμῆς μετά τινος τῶν κακοποιῶν βλάψῃ τὸ δῦνον ἔσται ὁ ἐναγόμενος ἐπὶ διαβολῇ ἢ καί τις μάρτυς ἐλθὼν καταμαρτυρήσει αὐτοῦ. τὸ δὲ τέλος τῆς δίκης ἔσται ἐκ τοῦ ὑπογείου. Σκοπεῖν δὲ δεῖ τοὺς οἰκοδεσπότας τοῦ τε ὡροσκόπου καὶ τοῦ δύνοντος, καὶ ὁποῖος αὐτῶν ὕπαυγος τοῦ ἑτέρου ἀνατολικοῦ ὄντος κακὸν σημαίνει τῷ οἰκείῳ αὐτοῦ προσώπῳ. ἐὰν δὲ ἄμφω ὦσιν ὕπαυγοι ἔσται ἀνακωχὴ τῆς δίκης πρὸς χρόνον καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάλιν ὕστερον δικασθήσεται, ἐὰν δὲ ἄμφω ἀνατολικοὶ ὦσι διαλλαγήσονται οἱ μαχόμενοι. οἱ δὲ ἀγαθοποιοὶ τῶν ἀστέρων οἷστισιν ἂν συνοικειωθῶσι δικαίαν νίκην παρέχουσιν, οἱ δὲ κακοποιοὶ τῶν ἀστέρων κἂν ἔξαυγοι ὦσιν, ἐν ἀλλοτρίοις δὲ καὶ ἀνοικείοις τόποις ὄντες, αἴτιοι γίνονται ἥττης.

56 οἱ δὲ κακοποιοὶ ἰδιοτοποῦντες καὶ ἐπίκεντροι καὶ ἀνατολικοὶ ὄντες ἄδικον νίκην παρέχουσι τῷ οἰκείῳ αὐτῶν προσώπῳ. Σκοπεῖν δὲ χρὴ τόν τε δεύτερον τόπον καὶ τὸν ὄγδοον καὶ τὰς τῶν ἀστέρων πρὸς αὐτοὺς μαρτυρίας ἵνα γνῶμεν τοὺς βοηθοῦντας ἑκατέρῳ προσώπῳ· ὁ μὲν γὰρ β′ τοῦ διώκοντος ἐμφαίνει τοὺς συμμάχους, ὁ δὲ η′ τοῦ φεύγοντος. οἱ δὲ ἀγαθοποιοὶ οἷς ἂν ἐπαναφέρωνται ἐκεῖνοι κρειττόνως ἀπαλλάξουσιν, οἱ δὲ κακοποιοὶ χειρόνως. σκοπεῖν δὲ χρὴ καὶ τὸν τοῦ μεσουρανήματος δεσπότην· οὗτος γὰρ ᾧτινι συνοικειωθῇ προσώπῳ ἤτοι τῷ διώκοντι ἢ τῷ φεύγοντι ἢ μαρτυρηθῇ ὑπ’ αὐτοῦ ἢ τοὺς τόπους καταλλάξῃ μετ’ αὐτοῦ ἢ ὑπὸ ἑνὸς ἀστέρος οἰκοδεσποτηθῇ ἢ εἰς τοὺς τόπους ᾗ αὐτοῦ τοῦτον μᾶλλον τοῦ ἑτέρου ἐν εὐελπιστίᾳ εἶναι ποιεῖ. Οὐ χρὴ δὲ ἐκ μόνων τῶν τεσσάρων κέντρων περὶ τῶν τοιούτων καταστοχάζεσθαι, ἀλλὰ δεῖ καὶ τὴν Σελήνην ὁρᾶν πῶς διάκειται καὶ τὰς ἀπορροίας καὶ συναφὰς αὐτῆς. ἐὰν δὲ σινωθείσης τῆς Σελήνης οἱ κακοποιοὶ αὐτὴν ἐφορῶσι κακὸν σημεῖον τῷ διώκοντι· οὐ γὰρ μόνον ἡττηθήσεται, ἀλλὰ καὶ ὑβρισθήσεται καὶ βλαβήσεται. ἡ Σελήνη ὅταν ᾖ συνοδικὴ ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου τότε ὁ ἰσχυρότερος νικήσει τὸν ταπεινότερον. Ἐὰν δὲ χρηματικὴ ᾖ ἡ δίκη οὕτω δεῖ σκοπεῖν. Σελήνη αὐξιφωτοῦσα ἔστω ὁ δανειστής, ὁ δὲ Ἥλιος ὁ ὀφειλέτης, ἐὰν δὲ ἡ Σελήνη λήγῃ ἀνάπαλιν ὁ μὲν Ἥλιος ἔστω ὁ δανειστής, ἡ δὲ Σελήνη ὁ χρεώστης. ὅστις οὖν ἐκ τῶν δύο κεῖται ἐν κρείττονι τόπῳ καὶ οἰκειοτοπεῖ μᾶλλον τοῦ ἑτέρου καὶ ἀγαθύνεται μᾶλλον ἐκεῖνος τὸ οἰκεῖον πρόσωπον ἀπεργάζεται ἰσχυρότερον τοῦ ἑτέρου. Δεῖ δὲ καὶ τὸν τῆς τύχης κλῆρον σκοπεῖν καὶ τὸν οἰκοδεσπότην τοῦ κλήρου· εἰ μὲν γὰρ τῷ ὡροσκόπῳ προσνεύσει ὁ διώκων ἰσχυρότερος ἔσται, εἰ δὲ τῇ δύσει ὁ φεύγων.

57 ἐὰν δὲ ὁ κλῆρος τετραγωνίζῃ τόν τε ὡροσκόπον καὶ τὸ δῦνον, εἰ μὲν ὑπὸ γῆν εἴη διαλλαγήσονται αὐτοὶ καθ’ αὑτοὺς οἱ μαχόμενοι, εἰ δὲ μεσουρανεῖ οἱ κριταὶ αὐτοὺς διαλλάξουσιν. Ἐὰν δὲ οἱ κύριοι τοῦ τε ὡροσκόπου καὶ τοῦ δύνοντος τύχωσιν ὄντες ὁμοῦ ἐν ἑνὶ ζῳδίῳ οἱ δικαζόμενοι οἰκεῖοι ἔσονται ἀφ’ αἵματος ἀλλήλων. καὶ εἰ μὲν εἴη ἑρμαϊκὸν τὸ ζῴδιον ὑποδεξάμενον τοὺς δεσπότας τοῦ τε ὡροσκόπου καὶ τοῦ δύνοντος ἔσται πατὴρ τέκνῳ δικαζόμενος ἢ πάππος ἐγγόνῳ ἢ τοιαῦτα πρόσωπα, εἰ δὲ ἀφροδισιακὸν ἔσται ἡ δίκη ἀνδρὸς πρὸς γαμετὴν ἢ ἀδελφοῦ πρὸς ἀδελφὴν ἢ τοῦ πατρὸς πρὸς θυγατέρα ἢ τοιαῦτα, ἐὰν δὲ Ἄρεος ᾖ τὸ ζῴδιον ἔσται ἡ μάχη ἀδελφῶν πρὸς ἀλλήλους ἢ ἀνεψιῶν ἢ τῶν τοιούτων, ἐὰν δὲ Διὸς ἔσται ὁ δικαζόμενος ἤτοι πρεσβυτέρῳ ἀδελφῷ ἢ θείῳ ἢ τὰ ὅμοια τούτοις, ἐὰν δὲ κρονικὸν ἔσται ἡ δίκη πρὸς πατέρας ἢ πάππους ἢ μοναχοὺς ἢ εὐνούχους ἢ τοιούτους, ἐὰν δὲ ἡλιακὸν πρὸς πατέρας ἢ ἐνδοξοτέρους, ἐὰν δὲ σεληνιακὸν πρὸς μητέρας ἢ θείας ἢ τοιαύτας. ἐὰν δὲ οἱ τῶν κέντρων δεσπόται μὴ ὦσιν ὁμοῦ ἐν ἑνὶ ζῳδίῳ δηλονότι ἀλλότριοι ἔσονται ἀλλήλων οἱ μαχόμενοι. κγ′.

58 (1t) Περὶ δραπετῶν ἕτερα διάφορα Δωροθέου καὶ ἑτέρων σοφῶν Φησὶν ὁ Δωρόθεος οὕτως· γνωσόμεθα τὸν μὲν δραπέτην ἐκ τῶν τῇ Σελήνῃ καὶ τῷ ὡροσκόπῳ συμβεβηκότων, τὸν δὲ δεσπότην ἐκ τῶν τῷ Ἡλίῳ καὶ τῷ μεσουρανήματι. ἐὰν οὖν ἡ Σελήνη ἢ ὁ ὡροσκόπος ἐν τροπικοῖς ἢ ἰσημερινοῖς τύχωσι ζῳδίοις ἐμποδισμοὶ συμβήσονται τῷ φυγόντι καὶ οὐ μὴ δυνηθῇ πόρρω που ἀφικέσθαι οὔτε διὰ γῆς οὔτε διὰ θαλάσσης, ἐὰν δὲ ἐν δισώμοις οὐκ ἔφυγε μόνος ἀλλ’ ἔχει στερεότητα καὶ καρτερίαν. ἐὰν δὲ ὡροσκοπῇ ζῴδιον πλάγιον κακὸν τῷ φυγόντι (πλανηθῆναι γὰρ ἔχει κατὰ τὴν ὁδόν), ἐὰν δὲ ὀρθὸν ἐκεῖ ἀπελεύσεται ὅπου δ’ ἂν βουληθῇ. ἡ Σελήνη ἐν δισώμῳ οὖσα ζῳδίῳ ἕως τῶν ιε μοιρῶν δηλοῖ ὅτι ὁ δραπέτης τότε πρῶτον ἔφυγεν ἀλλὰ καὶ ἐκ δευτέρου πάλιν φεύξεται, ἡνίκα δὲ μετὰ τὰς ις μοίρας ἕως τῆς τριακοστῆς δηλοῖ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅτι καὶ πρότερον ἀπέδρα καὶ οὐ μόνον τότε. Ἡ Σελήνη ὡροσκοποῦσα μὲν τὸν δραπέτην ἐπ’ ἀνατολὰς ὁρμῆσαι λέγει, μεσουρανοῦσα δὲ ἐπὶ νότον, δύνουσα δὲ ἐπὶ δυσμάς, ὑπογείῳ δὲ κέντρῳ οὖσα ἐπὶ βορρᾶν. ἐν δὲ τοῖς μεταξὺ διαστήμασιν ἀναλόγως, οἷον ἐν μὲν τῷ ἐννάτῳ ἐπὶ νότον δυτικώτερον, ἐν δὲ τῷ η′ πρὸς δυσμὰς νοτιώτερον, καὶ ἐπὶ τῶν ἄλλων τόπων ὁμοίως. Ἐὰν ὁ Ἄρης στηρίζων εἴτε κατὰ σῶμα εἴτε κατὰ ἀκτῖνα συνάπτῃ τῇ Σελήνῃ ὁ φυγὼν ἢ τεθνήξεται ἢ δεθήσεται κρατηθεὶς ἢ ἐν εἱρκτῇ ἐμπεσεῖται, καὶ μάλιστα ἐὰν ὁ Κρόνος αὐτὴν θεωρήσας βλάψῃ· τότε γὰρ ἢ κρύφα ἢ φανερῶς ἐπιβουλευθεὶς ἀπολεῖται.

59 ἐὰν δὲ Κρόνος στηρίζων τὴν Σελήνην ἴδῃ ἢ συναφὴν αὐτῆς ἐπέχῃ αὐτοχειρίᾳ ὁ φυγὼν ἀπάγξεται ἐὰν μή τις ἀγαθοποιὸς ἰδὼν τὴν Σελήνην λύσῃ τὴν κάκωσιν. ἐὰν δὲ ὁ Κρόνος μὴ στηρίζων δέχηται τὴν Σελήνην ὁ φυγὼν ὅσα μὲν βαστάζει ἀπολέσει, αὐτὸς δὲ κακῶς ἔχων τῷ ἰδίῳ δεσπότῃ ἀχθήσεται ἢ ἐν τοῖς ξένοις δεσμώτης ἔσται. Ὅταν δὲ ἀγαθοποιοὶ ὁρῶσι τὴν Σελήνην ἢ συνάπτωσιν αὐτῇ ἢ ὡροσκοπῶσι καλόν ἐστι τῷ φυγόντι· ἢ γὰρ ἐπιθαρσύνουσιν αὐτὸν ἢ τελέως ἐλευθεροῦσιν. κρείσσων δέ ἐστιν ἡ Ἀφροδίτη ἐν τοῖς τοιούτοις τῷ φεύγοντι καὶ τῷ κλέπτῃ διότι κἂν ζωγρηθῶσιν οὐδὲν κακὸν πείσονται ὑπὸ τῶν δεσποτῶν ἕνεκα τῆς Ἀφροδίτης ἀλλὰ τιμιώτεροι πάλιν γενήσονται. Σελήνης αὐξιφωτούσης ὁ φυγὼν δυσκόλως εὑρεθήσεται (οὐδὲ γὰρ φοβούμενος τὸν ἑαυτοῦ δεσπότην κρύπτεται), Σελήνης ληγούσης ὁ φυγὼν οὔτε μακρὰν δύναται ἀπελθεῖν οὔτε ἐπὶ πολὺν χρόνον λαθεῖν (εἵμαρται γὰρ αὐτὸν ἁλῶναι). Ἡλίου δύνοντος, Κρόνου ἐν τῷ η′ ἐπιδύνοντος, ἐάν τινος δοῦλος ἀποδρᾷ πρὶν εὑρήκωσι τὸν δοῦλον ὁ δεσπότης αὐτοῦ τελευτήσει. τῶν κακοποιῶν μεσουρανούντων ἢ μετὰ τοῦ Ἡλίου ὄντων ἐάν τινος δοῦλος φύγῃ συμφέρει τῷ δεσπότῃ μὴ ζητεῖν αὐτόν· οὐχ εὑρήσει γὰρ αὐτόν, ἀλλ’ εἰ καὶ εὑρέθη οὐ τοσοῦτον ὠφεληθήσεται ὅσον βλαβήσεται. Σελήνης δυνούσης, Ἄρεος ἐπιδυομένου, μηδενὸς ἀγαθοποιοῦ μαρτυροῦντος τῇ Σελήνῃ, κάκιστον θάνατον τῷ φυγόντι δηλοῖ. Σελήνης δυνούσης, Ἑρμοῦ ἐπιδυομένου, Ἄρεος δὲ ἐκ τῶν δεξιῶν τὸν Ἑρμῆν τριγωνίζοντος ἀπὸ τοῦ ὑπογείου, χαλεπὸς θάνατος τῷ φυγόντι δηλοῦται.

60 Σελήνης ὑπὸ τὰς αὐγὰς οὔσης τοῦ Ἡλίου καὶ ὑπὸ Ἄρεος ὁρωμένης ὁ φυγὼν ἢ ἀπὸ πυρὸς ἢ ἀπὸ σιδήρου ἀπόλλυται. Εἰ δὲ θέλεις καὶ τὴν ποιότητα τοῦ ὀλέθρου καὶ ὑπὸ τίνων γίνεται σκέπτου οὕτως· σκόπει γὰρ τὸ ζῴδιον ὅπερ ἐπέχει ἡ Σελήνη καὶ τὸν ὡροσκόπον τῆς καταρχῆς. ἐὰν μὲν οὖν ὦσιν ἀνθρωπόμορφα ὑπὸ λῃστῶν καὶ ἁπλῶς ἀνθρώπων τὰ κακὰ γίνεται, ἐὰν 〈δὲ〉 τετράποδα ὑπὸ θηρίων, εἰ δὲ ἀναμίξ (τουτέστι τὸ μὲν ἀνθρωπόμορφον, τὸ δὲ τετράπουν) ὑπὸ πολεμίων ἱππέων, ἐὰν δὲ γαιώδη ὑπὸ κρημνισμῶν ἢ συμπτωμάτων. Ἐὰν δὲ τὴν Σελήνην ὡς εἴρηται ὕπαυγον οὖσαν ὁ Κρόνος ἐκ ζῳδίου καθύγρου ἴδῃ Λέοντος ὡροσκοποῦντος βεβαιότερον τὸ κακὸν δηλοῦται· οὔτε γὰρ ὁ φυγὼν εὑρεθήσεται, ἀλλὰ διαφθαρήσεται, οὔτε τὸ ἀπολωλὸς εἶδος. ἐὰν δὲ τῇ τοιαύτῃ τῆς Σελήνης κακώσει καὶ ὁ Ἑρμῆς συμπνεύσῃ οἱ δραπέται αὐτόχειρες ἀποθνήσκουσιν. τὰς δὲ προειρημένας κακώσεις οἱ ἀγαθοποιοὶ ἀναλύουσιν ἐπιθεωρήσαντες, καὶ μάλιστα ἔξαυγοι ὄντες. Σελήνης πρὸς Ἄρεα μὴ στηρίζοντα φερομένης ἀλλὰ προσθετικῆς ὁ φυγὼν μαστίγων καὶ βασάνων πεῖραν λήψεται. Ἄρεος δύνοντος, Σελήνης ἐπιδυομένης, τοῦ Διὸς ἐπιθεωροῦντος αὐτήν, ὁ φυγὼν διὰ μὲν τὸν Ἄρεα φόβους καὶ κινδύνους ὑποστήσεται, διὰ δὲ τὸν Δία ῥυσθήσεται ἐκ τῶν κακῶν. κἂν οἱ κακοποιοὶ τὸ ὑπόγειον κέντρον ἢ τὸ μεσουράνημα ἢ τὸ δῦνον περιέχωσιν ὁ φυγὼν δεσμώτης γενόμενος ἐν εἱρκτῇ ἀποθνῄσκει.

61 Σελήνης μεσουρανούσης καὶ ὑπὸ τῶν κακοποιῶν περιεχομένης, τοῦ μὲν Ἄρεος ἐκ τῶν δεξιῶν, τοῦ δὲ Κρόνου ἐκ τῶν εὐωνύμων, ὁ φυγὼν ἀγχόνῃ διαφθαρήσεται, ἐὰν δὲ ὁ μὲν Ἄρης ἐκ τῶν εὐωνύμων, ὁ δὲ Κρόνος ἐκ τῶν δεξιῶν αὐτὴν περιέχωσιν, ὁ φυγὼν ἀνασταυρωθήσεται. Σελήνης μεσουρανούσης ἢ δυνούσης ἢ ἐν τῷ ὑπογείῳ κέντρῳ οὔσης ὑπὸ Ἡλίου καὶ Ἄρεος περιεχομένης ὁπόθεν ἑκάτερος τύχῃ ἢ δεξιὸς ἢ εὐώνυμος ὁ φυγὼν ζῶν πυρὶ παραδοθήσεται. ὁ τῆς Σελήνης οἰκοδεσπότης ὕπαυγος ὢν καὶ μὴ θεωρῶν τὴν Σελήνην τοῦ φυγόντος τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δεσπότην δηλοῖ ταχέως ἀποθνῄσκειν. τῆς Σελήνης καὶ τοῦ οἰκοδεσπότου αὐτῆς καὶ τοῦ ὡροσκόπου ἐν τροπικοῖς ζῳδίοις ὄντων ὁ φυγὼν ἐν μετανοίᾳ γενόμενος ἑκουσίως πρὸς τὸν δεσπότην ὑποστρέψει. ἐὰν δὲ ἡ Σελήνη ὁρᾶται ὑπό τε ἀγαθοποιῶν καὶ κακοποιῶν οὐ διαφεύξεται ὁ φυγὼν τὸν δεσπότην, καὶ μάλιστα ὅταν ὁ κακοποιὸς τετράγωνος ἢ διάμετρος ᾖ πρὸς τὴν Σελήνην, καὶ ἐν ἐκείναις σχεδὸν ταῖς ἡμέραις ἐν αἷς ἡ Σελήνη διέρχεται κατὰ περίπατον εἰς τὰς τοῦ κακοποιοῦ μοίρας τῆς ἐποχῆς ἤτοι ἀγρευθήσεται ὁ φυγὼν ἢ κακῷ τινι περιπεσεῖται. τῆς Σελήνης καὶ τοῦ ὡροσκόπου ἀμφοτέρων κεκακωμένων καὶ ὑπὸ μηδενὸς τῶν ἀγαθοποιῶν βοηθουμένων ὁ φυγὼν κινδυνεύσει καὶ βλαβήσεται· τῆς Σελήνης καὶ τοῦ ὡροσκόπου ἀμφοτέρων βοηθουμένων ὑπὸ τῶν ἀγαθοποιῶν καὶ ἀκακώτων ὑπὸ Κρόνου καὶ Ἄρεος ἐὰν ἐν στερεοῖς ζῳδίοις ὦσιν οἱ ἀγαθοποιοὶ ὁ φυγὼν οὐδέποτε εὑρεθήσεται, εἰ δὲ ἐν δισώμοις ἢ τροπικοῖς ἤτοι αὐτὸς ὁ φυγὼν μετανοήσας ὑποστρέψει ἢ εἰ καὶ εὑρέθη οὐδὲν κακὸν πείσεται. Ὁ Ἥλιος τὴν Σελήνην καὶ τὸν ὡροσκόπον θεωρῶν πάντα φανεροποιεῖ τὰ λαθραῖα. ἐπὶ δὲ τῶν ὑποφαινουσῶν εὕρεσιν καταρχῶν ὁ μὲν Ἄρης ταχέως δηλοῖ τὴν εὕρεσιν, ὁ δὲ Κρόνος βραδέως.

62 Διὸς δύνοντος ὁ φυγὼν ἐὰν καὶ κρατηθῇ οὐδὲν κακὸν πείσεται· ὁ γὰρ δεσπότης πραΰνεται. ἡ Ἀφροδίτη εὕρεσιν ὑποφαίνουσα ἐν τόπῳ ἱερῷ τὸν φυγάδα ποιεῖ. Ἐάν τις ἀστὴρ ἐν οἴκῳ ἰδίῳ ὢν καὶ βλέπων τὸν ὡροσκόπον καὶ τὴν Σελήνην ᾖ δηλοῖ μὴ γεγονέναι φυγήν, ἀλλ᾽ εἴ τί που πλησίον πλανᾶται ὃν δοκεῖς πεφευγέναι, μακρὰν δὲ οὐκ ἀπῆλθεν. πᾶς γὰρ ἀστὴρ ἀναποδίζων καὶ τὴν Σελήνην ὁρῶν καὶ τὸν ἴδιον οἶκον οὐ πεφευγέναι λέγει τὸν ζητούμενον ἀλλ᾽ ἐγγύς που πλανᾶσθαι. Ἐπεὶ δὲ ἡ ὡροσκόπησις τῆς καταρχῆς τοῦ φυγόντος ἄδηλός ἐστι δεῖ τιθέναι ἐκεῖνον ὡροσκόπον ὁπότε ἤκουσεν ὁ τοῦ φυγόντος δεσπότης τὴν ἀγγελίαν τῆς φυγῆς. Καὶ ταῦτα μὲν ἐκ τῶν τοῦ Δωροθέου ἐπῶν μεταπέφρασται, ἐκκείσθω δὲ καὶ 〈τὰ〉 παρὰ τῶν ἄλλων εἰρημένα καὶ ἐκ τῶν Συναγωγῶν τοῦ Νικαέως Πρωταγόρου· φησὶ δὲ οὕτως. ἐὰν εὑρεθῇ ὁ οἰκοδεσπότης τοῦ ὡροσκόπου τῆς φυγῆς ἀναποδίζων ὁ φυγὰς αὐτομάτως ἐπανελεύσεται πρὸς τὸν δεσπότην, ἐὰν δὲ ἐν ἰδίῳ οἴκῳ εὑρεθῇ ἢ ὁρίοις καὶ μὴ ἀναποδίζων ὁ ἀποδρὰς ἔνδον τῶν οἰκείων ἢ ἐν τῇ πόλει ἢ ἐν τῇ περιχώρῳ εὑρεθήσεται, καὶ θᾶττον εἰ ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ τύχῃ ὥσπερ βραδύτερον εἰ ἐν τῷ ὑπὸ γῆν. Τῆς δὲ Σελήνης οὔσης ἐν τῷ μεσουρανήματι (τουτέστιν ἐν τῷ δεξιῷ τετραγώνῳ τοῦ ὡροσκόπου) διὰ τῶν δεξιῶν μερῶν τῆς οἰκίας ἀφ᾽ ἧς ἤρξατο ὁ δραπέτης τῆς φυγῆς τὴν πάροδον πεποίηται, ἐν δὲ τῷ εὐωνύμῳ τετραγώνῳ ὁμοίως διὰ τῶν ἀριστερῶν μερῶν· ὁ γὰρ ὡροσκόπος ἀντὶ τῶν πυλῶν τῆς οἰκίας νοεῖται. ἡ δὲ Σελήνη βορρᾶν κατερχομένη μηνύει τὸν φυγόντα κατὰ μεσημβρίαν πεπορεῦσθαι καὶ εὑρεθήσεσθαι ἐν ἡμέραις κε , νότον δὲ κατερχομένη ἐν τοῖς κατὰ δύσιν τόποις ἐν ἡμέραις μη (εὑρεθήσεται δὲ ἐν καθύγροις τόποις καὶ ἀνημέροις ἢ δυσχειμέροις), νότον δὲ ἀνερχομένη ἐν τοῖς ἀνατολικοῖς καὶ δυσκόλως μηνυθήσεσθαι ἐν ἡμέραις ξδ , βορρᾶν δὲ ἀνερχομένη ἐν τοῖς ἀρκτικοῖς τόποις καὶ δυσκόλως εὑρεθήσεσθαι μηνύει.

63 Καὶ ἐκ τῆς τῶν ζῳδίων φύσεως καταστοχαστέον τοὺς τόπους εἰς οὓς ἀπελεύσεται ὁ φυγών· οἷον οἱ Ἰχθύες μὲν λιμνώδεις καὶ ἑλώδεις σημαίνουσιν, Αἰγόκερως δὲ ὑδρηλὰ χωρία καὶ παραθαλάσσια, ὁ δὲ Τοξότης τραχεῖς τόπους καὶ ἀμπελῶνας, ὁ δὲ Κριὸς νομαίους καὶ πεδινούς, ὁ δὲ Ταῦρος ἐπιπέδους καὶ πεπονημένους, ὁ Καρκίνος δὲ ἐνύδρους καὶ χερσαίους καὶ ὑψηλούς, Λέων δὲ προσάντεις καὶ τραχεῖς καὶ ἐρήμους, ἡ δὲ Παρθένος σιτοσπόρους, ὁ δὲ Ζυγὸς πεδινούς, ὁ δὲ Σκορπίος τραχεῖς καὶ ληστρικοὺς καὶ ἐπαμπέλους, ὁ δὲ Ὑδροχόος παραποταμίους καὶ ἑλώδεις. Τινὲς δὲ καὶ τὰ κέντρα ἐμέρισαν οὕτως· τὸ μὲν δῦνον τῷ φεύγοντι, τὸ δὲ μεσουράνημα τῷ δεσπότῃ, τὸν δὲ ὡροσκόπον τοῖς βασταγεῖσι, τὸ δὲ ἀντιμεσουράνημα τῷ ἀναπείσαντι. τινὲς δὲ καὶ πάλιν οὕτως ἀπονέμουσιν· τὴν μὲν Σελήνην καὶ τὸν ὡροσκόπον τῷ φεύγοντι, τὸν δὲ Ἥλιον καὶ τὸ μεσουράνημα τῷ κυρίῳ. Ἐπιμελέστερον δὲ χρὴ προσέχειν τῇ Σελήνῃ· ἐμφαίνει

γὰρ πάντα. καὶ πρῶτον τὸ ὑπὲρ γῆν ἡμισφαίριον διοδεύουσα εὔκολον τὴν εὕρεσιν ποιεῖται, τὸ δὲ ὑπὸ γῆν δυσκόλως. καταληφθεῖσα δὲ ἐν τῷ ὡροσκόπῳ ἡ Σελήνη ἢ ἐν ταῖς ἐπαναφοραῖς αὐτοῦ ἢ ἐν τῷ ιβʹ τόπῳ πρὸς ἀνατολὰς τὴν φυγὴν ἀποφαίνει γεγονέναι, ἐν δὲ τῷ μεσουρανήματι πρὸς ἄρκτον, ἐν δὲ τῇ δύσει πρὸς δύσιν, ἐν δὲ τῷ ὑπὸ γῆν κέντρῳ πρὸς μεσημβρίαν.

64 δηλοῦσι δὲ καὶ τὰ κέντρα τὴν ἔξοδον δι' ἧς ἀναχωροῦσι πύλης οἱ φεύγοντες, καὶ τὸ μῆκος τῆς ὁδοῦ τὸ διάστημα τῶν ὡρῶν ἀπὸ τοῦ ὁρίζοντος ἢ τοῦ δύνοντος δι' αὐτῆς τῆς Σελήνης. εὑρεθεῖσα γὰρ ἐν τροπικῷ βραχεῖαν τὴν ὁδὸν τῆς φυγῆς καὶ βραδέως ὁδεύοντα καὶ οὐ μακρὰν ἀπὸ τοῦ τόπου οὗ ἀπέδρα ἐσόμενον σημαίνει, ἐὰν δὲ ἐν χερσαίοις καὶ λοξοῖς ἢ δισώμοις οὐκ ὀρθὰς τὰς πορείας ποιήσεσθαι οὐδὲ αὐτὸν μόνον ἀποδεδρακέναι. Κατὰ δὲ τὰς ἀνατολὰς καὶ δύσεις τοῦ ζῳδίου τήν τε ὀρθότητα καὶ σκολιότητα τῆς πορείας αὐτοῦ γνωστέον, τὰς δὲ ἀρχὰς ἀπὸ τῶν ἀνατολῶν καὶ τὰ τέλη ἀπὸ τῶν δύσεων. τὰ δὲ ὕπτια τῶν ζῳδίων καὶ κίνδυνον τῷ φεύγοντι ποιοῦσιν, καὶ μάλιστα ὅταν οἱ χαλεποὶ τῶν ἀστέρων προσγένωνται· ἐπιβεβαιότερα γὰρ τὰ κακὰ ἔσεσθαι αὐτοῖς μηνύει ὅταν ὑπὸ γῆν ὁ Ἄρης σὺν τῇ Σελήνῃ γένηται ἢ στηρίζῃ, Κρόνου δὲ στηρίζοντος ἀπάγχονται ἢ κρημνίζουσιν ἑαυτούς. συναπτούσης δὲ αὐτῆς τοῖς ἀγαθοποιοῖς ἢ κατεχόντων αὐτῶν τὴν ὥραν, τῶν κακοποιῶν σχηματιζομένων, ἐκ μετανοίας ἀνακάμπτουσιν, ἀπεστραμμένων δὲ τῶν κακοποιῶν σχεδὸν ἐν ἐλευθερίᾳ ἔσονται. ἐὰν δὲ Ἀφροδίτη συμπαρῇ τῇ Σελήνῃ ἐπίκεντρος ἢ ἰδιοτοποῦσα οὐ μόνον ἀνύβριστοι γίνονται ἀλλὰ καὶ παρακληθήσονται. μέσης δὲ εὑρεθείσης τῆς Σελήνης τῶν κακοποιῶν ἐν δεσμοῖς ἔσονται πολὺν χρόνον, ἔσθ' ὅτε δὲ καὶ ἐν εἱρκταῖς ἀποθνήσκουσιν, καὶ μάλιστα ἀλλοτριωθέντων τῶν ἀγαθοποιῶν. συναπτούσης δὲ Ἄρει σφαγήσονται. Φυλακτέον δὲ καὶ ταῦτα. ἐπὰν γὰρ ἐν τῇ προαναφορᾷ τοῦ ὡροσκόπου ἀστὴρ ἐπῇ καὶ πρότερον πεφευγέναι αὐτὸν μηνύει, ἐν δὲ τῇ ἐπαναφορᾷ ληφθεὶς πάλιν φεύξεται, καὶ τῆς Σελήνης ἐν τῷ ὡροσκόπῳ οὔσης ἄλλης οἰκίας καὶ οὐ τοῦ ζητοῦντος ἔσται ὁ φυγὼν πλὴν ἀναχθήσεται, ἐὰν δὲ ἀστήρ τις δύνῃ παραυτίκα εὑρεθήσεται καὶ πλησίον τοῦ οἴκου.

65 ἀσύμφορον δὲ τοῖς φεύγουσι τὸ τὴν Σελήνην τοῖς ἀριθμοῖς προστιθέναι, ἀφαιρούσης δὲ αὐτῆς τοῖς ἀριθμοῖς σύμφορον. ὁ Ἥλιος δὲ δύνων ἢ μεσουρανῶν σύν τινι τῶν κακοποιῶν ἢ ἐπιθεωρούμενος σχήματι δραστικῷ (τουτέστι τετραγώνῳ ἢ διαμέτρῳ) πρὸ τῆς ἀνευρέσεως τοῦ δραπέτου τεθνήξεσθαι σημαίνει τὸν δεσπότην ἢ πολλαῖς ζημίαις καὶ βλάβαις περιβάλλει. ὁ Ἥλιος ὁρῶν τὴν Σελήνην ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ ταχέως τὴν μήνυσιν ποιεῖται διὰ τῶν συνιστορούντων, ὁ Κρόνος δὲ ὁμοίως ἐπὶ τῷ ἄνω κέντρῳ σὺν Σελήνῃ σημαίνει ταχέως τὴν παράδοσιν διὰ γυναικὸς ῥυπαρᾶς ἢ δούλης (ὑπὸ δὲ ἐλευθέρας γυναικὸς μηνυθήσεται), ἡ Ἀφροδίτη δὲ ὁμοίως ἐν τοῖς ἄνω κέντροις οὖσα Σελήνης μαρτυρούσης 〈...〉. ἐάν τε ὡροσκοπῇ ἐν τετράποσι ζῳδίοις ὁμοίως. καθ' ἑαυτὴν δὲ μεσουρανούσης καθεύδοντες εὑρίσκονται, Ἑρμοῦ δὲ ἐπιδύνοντος αὐτῇ συναναπεπεῖσθαι ὑπὸ τῶν ἐν γειτνιάσει τινὸς ἢ συνεζηκότων αὐτῷ σημαίνει. Ἀφροδίτης δὲ καὶ Διὸς ἢ καὶ Ἡλίου μαρτυρήσαντος συγγενὴς ἔσται ὁ πείσας καὶ φανήσεται ἐλεύθερος ὤν. ὡροσκοπούντων δὲ Ταύρου ἢ Διδύμων, Καρκίνου, Λέοντος, Παρθένου, Σκορπίου καὶ Ἰχθύων, ἐπιθεωρούντων Διὸς καὶ Ἀφροδίτης, ἐν ἱεροῖς τόποις φανήσεσθαι καὶ εὑρεθήσεσθαι δηλοῖ, τοῦ δὲ Ἄρεος μεσουρανοῦντος σὺν τῇ Σελήνῃ ὁ φυγὼν τομὰς ἕξει περὶ τὴν ὄψιν ἀπὸ σιδήρου. ἐὰν δὲ τύχῃ Κρόνος καὶ Ζεὺς καὶ Σελήνη ὡροσκοποῦντες ἀργύρια βεβαστάχθαι σημαίνουσι καὶ εὑρεθήσεσθαι τὸν φυγόντα, οἱ δὲ ἀγαθοποιοὶ ὡροσκοποῦντες σὺν τῇ Σελήνῃ ἀμεριμνίαν τῷ φεύγοντι παρέχουσι μετὰ τὸ βεβαστάχθαι ἱκανὰ χρήματα.

66 Ἄρεος δὲ καὶ Κρόνου ἐπιδόντων σὺν τῷ Ἡλίῳ εἴσω ρξ ἡμερῶν ἢ καὶ ρο εἰς τὴν τοῦ δεσπότου ἐξουσίαν ἐπανήξουσιν. ὁ Ἑρμῆς δὲ σὺν τῇ Σελήνῃ καὶ τῇ Ἀφροδίτῃ ὡροσκοπῶν ἢ μεσουρανῶν

μηνύει παῖδα ἢ παρθένον ἢ νεανίσκον, τοῦτον δὲ εὑρεθήσεσθαι ἐπιδόντων τῶν κακοποιῶν εἴσω ἡμερῶν ν , ἐὰν δὲ Ἑρμῆς καὶ Ἄρης μεσῆλιξ ἔσται ὁ ζητούμενος, ἐὰν δὲ Κρόνος καὶ Ἑρμῆς καὶ Ἀφροδίτη ἀνὴρ καὶ γυνὴ καὶ υἱός, ἐὰν δὲ Κρόνος, Ἥλιος, Ἑρμῆς σὺν Σελήνῃ εὐνοῦχος ἔσται ὁ δραπέτης. ἐπὶ δὲ τοῦ ὡροσκόπου Ἄρης καὶ Ἀφροδίτη καὶ Ἑρμῆς ἑρμαφρόδιτον σημαίνει, Ζεὺς δὲ καὶ Ἀφροδίτη καὶ Ἥλιος ἐλευθέρους δραπέτας, Ἄρεος δὲ ἐπιθεωροῦντος Δία κατισχομένους ὑπὸ ἐξουσίας τινὸς καὶ φρουρᾶς. Ἄρεος δὲ καὶ Κρόνου ὡροσκοπούντων ἑαυτοὺς παραδώσουσιν ἐξουσίαις τισίν. ὁ Ἄρης δὲ καὶ ἡ Ἀφροδίτη ὡροσκοποῦντες πολλὰ ἀναλώσειν εἰς ἀφροδίσια μηνύουσι καὶ διὰ τοῦτο τὴν φυγὴν ᾑρῆσθαι. Τῆς δὲ Σελήνης ἀκριβοῦν τὰ σχήματα χρὴ καὶ τὰς συναφὰς καὶ τοὺς συνδέσμους εἰδέναι καθὼς προείπομεν, σκοπεῖν δὲ ἐν ποίῳ 〈ἀπο〉 κλίματι εὑρίσκοιτο ἀπὸ τῶν κέντρων ἤτοι πρὸς ἀνατολὰς ἢ δυσμὰς καὶ τὰ ἄλλα· ἐκ τούτων γὰρ εὔδηλον ἔσται οὐ μόνον περὶ τῶν ἀποδιδρασκόντων, ἀλλὰ καὶ τῶν τὰς μακρὰς ἀποδημίας ποιουμένων διά τε γῆς καὶ θαλάσσης. κε′.

67 (1t) Περὶ ἀπωλείας εἰ εὑρίσκεται ἢ οὔ· τοῦ Δωροθέου Ἐὰν τὰ φῶτα ἄλληλα τριγωνίζῃ τὸ ἀπολωλὸς ῥᾳδίως εὑρεθήσεται. ἐὰν δὲ τετραγωνίζωσιν οὐ ῥᾳδίως εὑρεθήσεται, ἀλλὰ καὶ ἀπ’ ἄλλου εἰς ἄλλον τόπον μετακομισθήσεται. ἐὰν δὲ τὰ φῶτα διαμετρῇ ἄλληλα εὑρεθήσεται μέν, οὐ ῥᾳδίως δὲ μετακομισθήσεται ἀλλὰ μετὰ καμάτου. ἡ Σελήνη συνοδεύουσά τινι ἀστέρι ἐν οἴκῳ αὐτοῦ τοῦ ἀστέρος εὕρεσιν δηλοῖ, καὶ μάλιστα ὅταν ἐπιμαρτυρῇ αὐτοῖς ὁ Ἥλιος ἢ ὁ Ζεύς. ἐὰν ἔλθῃ τὸ δωδεκατημόριον τῆς Σελήνης ἐπὶ τὸν ὡροσκόπον ἢ τὸ μεσουράνημα ἢ αὐτὸν τὸν Ἥλιον ἢ καὶ τὸν οἰκοδεσπότην αὐτῆς τῆς Σελήνης ἤ τινα ἄλλον ἀστέρα ἐν ἀνατολαῖς ὄντα εὕρεσιν δηλοῖ. ἐν τῷ ς′ καὶ τῷ ζ′ ἀπὸ ὡροσκόπου οὖσα ἡ Σελήνη χαλεπὴ πρὸς εὕρεσιν εἰ μὴ ὁ Ἥλιος μαρτυρῇ αὐτῇ. ἡ Σελήνη ἐὰν κενοδρομῇ (τουτέστιν ἐὰν εἴσω τῶν ἑκατὸν εἴκοσι μοιρῶν μὴ συνάπτῃ σωματικῶς τινι τῶν ἀστέρων) βραδεῖαν τὴν εὕρεσιν ὑποφαίνει. ἡ Σελήνη ἐν τοῖς ἐκλειπτικοῖς οὖσα συνόδοις δυσεύρετον ποιεῖ τὸ κλέμμα. Ἥλιος καὶ Σελήνη ὑπὸ γῆν τυχόντες ἀφανίζουσι τὸ ἀπολωλός. Ἥλιος σὺν τῷ κλήρῳ τῆς τύχης ὢν ἢ ἐπιβλέπων αὐτὸν ταχέως τὸ ἀπολωλὸς φανερὸν ποιεῖ. ἡ Σελήνη ἄνευ τοῦ Ἡλίου τὸν κλῆρον τῆς τύχης ὁρῶσα οὐ ταχεῖαν μηνύει τὴν εὕρεσιν. ἐὰν δὲ μήτε ὁ Ἥλιος μήτε ἡ Σελήνη τὸν τῆς τύχης κλῆρον βλέπῃ οὐδέποτε εὑρεθήσεται τὸ κλέμμα. ἡ Σελήνη ὡροσκοποῦσα ταχεῖαν εὕρεσιν δηλοῖ. ἡ Σελήνη ὑπὸ τὰς τοῦ Ἡλίου αὐγὰς οὖσα καὶ ἀφώτιστος παντελῶς ἀφανίζει τὸ κλέμμα.

68 Ἥλιος καὶ Σελήνη ἅμα ὡροσκοποῦντες οὐ μόνον τὸ κλέμμα μηνύουσιν ἀλλὰ καὶ τὸν κλέπτην. Ἥλιος καὶ Σελήνη τὸν ὡροσκόπον τετραγωνίζοντες δυσεύρετον τὸ ἀπολωλὸς ποιοῦσιν· ἢ γὰρ μάχη τις γίνεται ἢ παρολκή. Ἡλίου ὡροσκοποῦντος μὴ ἐν τῷ ἐναντίῳ αὐτοῦ τριγώνῳ (τουτέστι Ζυγῷ, Ὑδροχόῳ, Διδύμοις) εὑρετικὸς γίνεται, ἐὰν δὲ ἐν τούτοις ὡροσκοπῇ ἀνεύρετον δηλοῖ τὸ κλέμμα. Ἐφ’ ὧν δὲ οἴδαμεν τὰς γενέσεις οὕτω δεῖ στοχάζεσθαι. ἐὰν δὲ ἡ Σελήνη τύχῃ ἐν τόπῳ τοιούτῳ οὖσα ἐν ᾧ τις κακοποιὸς κατὰ τὴν ἐξ ἀρχῆς ποίησιν τῆς γενέσεως ἦν οὐχ εὑρεθήσεται τὸ κλέμμα, ἐὰν δὲ ἐν ἀγαθοποιοῖς τόποις τοῦ κατὰ πῆξιν εὑρεθῇ ἡ Σελήνη εὕρεσιν ἐμφαίνει. Ἐὰν δὲ ἡ καταρχὴ ἐμφαίνῃ εὕρεσιν δεῖ σκέψασθαι καὶ πότε εὑρεθήσεται οὕτως. λαβὼν ἀπὸ τοῦ ὡροσκόπου ἕως τοῦ Ἡλίου τὴν τῶν ζῳδίων ποσότητα, καὶ πάλιν ἀπὸ ὡροσκόπου ἕως τῆς Σελήνης τὴν τῶν ζῳδίων ποσότητα, μίξον τὸν ἀριθμόν, καὶ ὁπόσος ἂν εὑρεθῇ ἐκ τῶν δύο ἀριθμῶν λέγε ὅτι μετὰ τοσαύτας ἡμέρας ἢ μετὰ τοσούτους μῆνας ἢ μετὰ τοσαῦτα ἔτη εὑρεθήσεται τὸ ἀπολωλός—καὶ τότε ἐὰν ἀγαθοποιὸς μαρτυρῇ, ἐὰν δὲ κακοποιὸς οὐκέτι εὑρίσκεται. Ἄλλη σκέψις τοῦ αὐτοῦ Ἔστω ὁ μὲν ὡροσκόπος τὸ κλαπέν, τὸ δὲ μεσουράνημα ὁ ζητῶν, τὸ δὲ δῦνον ὁ κλέψας, τὸ δὲ ὑπόγειον ὁ τόπος ἔνθα τὸ κλαπὲν ἀπεκόμισεν ὁ κλέπτης. ἐὰν ἀγαθοποιοὶ τὸν ὡροσκόπον ὁρῶσιν ἢ συνῶσιν αὐτῷ τὸ ἀπολωλὸς εὑρεθήσεται.

69

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκ δὲ τοῦ δύνοντος ζῳδίου ἢ ἀστέρος ἢ τοῦ οἰκοδεσπότου αὐτοῦ ἢ τῶν μαρτυρούντων αὐτῷ στοχάζου τὸ εἶδος καὶ τὸν τρόπον τοῦ κλέπτου. τὸν δὲ μεσουρανοῦντα ἀστέρα σκέπτου, καὶ ἐὰν μὲν ᾖ ἐν ἰδίοις τόποις ἴδιον αὐτοῦ ἐστιν ὅπερ ζητεῖ κτῆμα καὶ οὐκ ἀλλότριον, εἰ δὲ ἐν ἀλλοτρίοις τόποις οὐκ ἔστιν ἴδιον αὐτοῦ ἀλλὰ ἀλλότριον. τὸ δὲ ὑπόγειον ἐὰν μὲν ᾖ δίσωμον γίνωσκε ὅτι ἐξετέθη τὸ κλαπὲν εἰς ἀδελφοὺς ἢ συγγενεῖς, εἰ δὲ οὐκ ἔστι δίσωμον εἰς ἕνα μόνον ἐξετέθη τὸ κλαπέν, ἐὰν δὲ ἀρσενικὸν ᾖ τὸ ὑπόγειον ζῴδιον εἰς ἀρσενικὸν πρόσωπον κεῖται, ἐὰν δὲ θῆλυ εἰς θηλυκόν, καὶ ἐπὶ τῶν δισώμων ὡσαύτως. ἀλλὰ καὶ τὸ δῦνον οὕτω δεῖ σκέπτεσθαι εἴτ' ἄρρεν ἢ θῆλυ ἢ δίσωμον ἢ οὔ. ὁ Ἥλιος καὶ ἡ Σελήνη τῷ ὑπὸ γῆν μαρτυροῦντες εἰς συγγενεῖς λέγουσι κεῖσθαι τὸ ἀπολωλός. ἐὰν δὲ ᾖ τὸ ὑπόγειον κάθυγρον ἤτοι παρὰ λίμνην ἢ παρὰ ποταμὸν ἢ παρὰ φρέαρ ἐξετέθη, ἐὰν δὲ τετράπουν ᾖ τὸ ὑπόγειον εἰς ἐπαύλεις ἢ σηκοὺς ἐξετέθη τὸ κλέμμα, ἐὰν δὲ ἀνθρωπόμορφον ᾖ τῶν μὲν ἀγαθοποιῶν ὁρώντων ἐν καθαρῷ καὶ ἁγνῷ τόπῳ κεῖται, τῶν δὲ κακοποιῶν Ἄρεως μὲν παρὰ χαλκείῳ ἢ μαγειρείῳ, Κρόνου δὲ παρὰ δουλικῷ προσώπῳ ἢ ἐν σκοτεινῷ τόπῳ ἢ ὑγρῷ ἢ ῥυπαρῷ ἢ ὑψηλῷ. ἐὰν δὲ ὁ Ζεὺς ᾖ ὑπὸ γῆν παρὰ εὐγενικῷ κεῖται προσώπῳ, ἐὰν δὲ Ἄρης ὑπόγειος ᾖ ἀπελεύθερός ἐστιν ὁ τὸ κλέμμα φυλάσσων, ἐὰν δὲ Ἀφροδίτη ᾖ ἐν τῷ ὑπὸ γῆν κέντρῳ, εἰ μὲν ἕως τῶν εἴκοσι μοιρῶν ἀφίσταται τοῦ κέντρου γνῶθι ὅτι εἰς γυναῖκα ἐλεύθερον καὶ ἔνδοξον ἐξετέθη, εἰ δὲ ἀπὸ μοιρῶν εἴκοσιν ἕως τριάκοντα εἰς δούλην γυναῖκα ἢ ἀπελευθέραν, ἐὰν δὲ Ἑρμῆς ᾖ ἐν τῷ ὑπὸ γῆν κέντρῳ, εἰ μὲν ἕως τῆς πρώτης δεκαμοιρίας ἀφίσταται τοῦ κέντρου λέγε ὅτι εἰς εὐγενῆ καὶ πλούσιον ἐξετέθη, εἰ δὲ ἕως τῆς δευτέρας δεκαμοιρίας εἰς ἐλεύθερον μέν, ἀλλὰ πένητα, εἰ δὲ ἕως τῆς τρίτης δεκαμοιρίας εἰς δοῦλον ἢ εἰς μισθωτόν.

70 Ὁ Ἥλιος ὁρῶν τὸν τῆς τύχης κλῆρον εὔκολον τὴν εὕρεσιν ἐμφαίνει, ἡ δὲ Σελήνη μόνη ἄνευ τοῦ Ἡλίου τὴν τύχην ὁρῶσα, δύσκολον λέγε τὴν εὕρεσιν, ἐὰν δὲ μηδέτερος τῶν φωστήρων ὁρᾷ τὸν τῆς τύχης κλῆρον οὔτε τὸ ἀπολωλὸς κτῆμα εὑρήσει οὔτε τὸν δοῦλον τὸν φυγόντα. ἡ Σελήνη ἐν ταῖς ἐσχάταις μοίραις οὖσα τοῦ ζῳδίου τὸ κλαπὲν ἐξ ἄλλου τόπου εἰς ἄλλον μετατίθησι. ὁ Ἥλιος πρὸς τὴν Σελήνην τετράγωνος ἢ τρίγωνος ἢ διάμετρος τὸν κλέπτην φανεροποιήσει. ἐὰν δὲ τῶν μὲν ἀπὸ τοῦ Ἡλίου σημείων εὕρεσιν φαινόντων ἐξ ἄλλων δὲ σημείων ἀνεύρετον στοχάζηται, παρολκήν τινα χρόνον λαβὸν τὸ κλαπὲν ὕστερον εὑρεθήσεται· ἡ γὰρ τοῦ Ἡλίου δύναμις ἰσχυροτάτη οὖσα καὶ τὰ ἐξ αὐτοῦ σημεῖα βεβαιότερα παρέχει. ὁ Ἥλιος πρὸς τὸν ὡροσκόπον τρίγωνος ἢ τετράγωνος ἢ διάμετρος τὰ αὐτὰ σημαίνει ὅσα καὶ σὺν τῇ Σελήνῃ ὢν ἐσήμανεν (τουτέστι τετράγωνος, τρίγωνος, διάμετρος). ὅσα δὲ περὶ τῶν κλεπτόντων εἴρηται τοσαῦτα καὶ περὶ τῶν δραπετευόντων δούλων δεῖ σκοπεῖν. Τί τὸ ἀπολεσθέν Σελήνη ἐν ὁρίοις Κρόνου οὖσα τοῦ Κρόνου ὄντος εἴτε ἐν Ζυγῷ ἢ ἐν τῷ μεσουρανήματι, τίμιον οὐκ ἔσται τὸ ἀπολωλὸς ἀλλὰ παλαιὸν ἢ ῥυπαρόν, τοῦ δὲ Κρόνου ὄντος εἰς ἓν τῶν ἀποκλιμάτων ἢ ἐν Κριῷ ἄτιμον καὶ εὐτελὲς καὶ ῥυπαρὸν καὶ παλαιὸν ἀπώλετο, ἐὰν δὲ πρὸς τούτοις καὶ αὐτὸς ὁ Κρόνος μαρτυρῇ τῇ Σελήνῃ ἔσται τὸ κλαπὲν τραχὺ καὶ ἁρμόζον ἔργοις σκληροῖς οἷον δίκελλα, σχοινίον, δρέπανον.

71 ἡ Σελήνη οὖσα ἐν ὁρίοις Διὸς τὸ κλέμμα δηλοῖ χρυσὸν ἢ ἄργυρον ἢ ἐσθῆτα πολυτελῆ ἢ κειμήλιόν τι ἔνδοξον. ἡ Σελήνη ἐν ὁρίοις Ἄρεος οὖσα δηλοῖ τὸ κλαπὲν εἶναι τὸ συντεῖνον εἰς πυρὸς ἐργασίαν ἢ σιδήρου ἤ τινος τοιούτου, ἐὰν δὲ τούτων ὄντων καὶ ὁ Ἄρης ἢ ὁ Ἑρμῆς βλέψῃ ἔσται τὸ κλαπὲν εὔμορφον, ἐράσμιον, ποικίλως καὶ εὐτέχνως εἰργασμένον, ἐὰν δὲ ἄνευ τοῦ Ἄρεος ὁ Ἑρμῆς καὶ ἡ Ἀφροδίτη ἴδωσι τὴν Σελήνην τερπνόν τι καὶ καλὸν καὶ εὔχρουν ἀπώλετο. ἡ Σελήνη ὁρίοις οὖσα Ἀφροδίτης ἔσται τὸ ἀπολωλὸς χρυσὸς ἢ ἄργυρος ἢ λίθοι τίμιοι ἢ ἱμάτια ποικίλα καὶ πολύτιμα ἢ ἐνώτια ἢ περιτραχήλια ἢ ψέλλια καὶ ἁπλῶς γυναικεῖα κόσμια εὐωδιάζοντα ἢ μύρα καὶ ἀλείμματα, ἐὰν δὲ πρὸς τούτοις καὶ ἡ Ἀφροδίτη καὶ ἡ Σελήνη ἐν θηλυκοῖς ὦσι ζῳδίοις κτήματα γυναικὸς ἀπώλοντο, ἐὰν δὲ καὶ ὁ Ἄρης μαρτυρῇ τῇ Ἀφροδίτῃ

ὑέλινα ἔργα τορευτά, ποικίλα, εὔμορφα δηλοῦται. ἡ Σελήνη οὖσα ὁρίοις Ἑρμοῦ γραμματεῖα, βίβλοι, νομίσματα, τόμοι ἢ χρήσιμόν τι τοῖς ὁδοιποροῦσιν ἐκλάπη. Ἵνα δὲ βεβαιότερον δυνώμεθα περὶ τούτων καταστοχάζεσθαι δεῖ καὶ τὰς τῶν ζῳδίων φύσεις ὁρᾶν οὕτως. Σελήνης Κριῷ ἱμάτια, νήματα, ἔρια, τάπητας, κεφαλοδέσμια λέγε τὰ ἀπολωλότα, Σελήνης Ταύρῳ χρυσός, ἄργυρος, ἐσθής, μαφόριον, περιτραχήλιον ἀπώλετο ἢ πρόβατα ἢ καὶ κτήνη τετράποδα, Σελήνης Διδύμοις νομίσματα, συμβόλαια, χάρται, εἰκόνες καὶ ὅσα χρήσιμα εἰς εὐωχίαν, Σελήνης Καρκίνῳ καὶ Αἰγοκέρωτι τὰ ἐφήμερα τοῖς ἀνθρώποις οἷον τρόφαιον ἢ ὑγρόν τι εὐτελὲς καὶ ὀλίγον, Σελήνης Λέοντι καὶ Ὑδροχόῳ χρυσᾶ ἔργα ἢ ἀργυρᾶ ἢ χαλκᾶ, Σελήνης Παρθένῳ κόσμια καὶ νομίσματα ἀπώλοντο, Σελήνης Ζυγῷ ἀρώματα, ἀλείμματα, μύρα καὶ ὅσα σταθμῷ πιπράσκεται καὶ ὅσα σύνθετα, χειρόπλαστα οἷον τροχίσκοι, θυμιάματα ἢ τορευτά τινα ἀπώλοντο, Σελήνης Σκορπίῳ χρυσός, ἄργυρος, χαλκός, λίθοι τίμιοι καὶ ὅσα τούτοις ὅμοια ἀπώλοντο, Σελήνης Τοξότῃ καὶ Ἰχθύσι ποικίλα, πολυειδῆ, εὐμεγέθη, εὐκατασκεύαστα ἀπώλοντο.

72 Σελήνης αὐξιφωτούσης καὶ τοῖς ἀριθμοῖς προστιθείσης νεοκατασκεύαστα δηλοῖ καὶ καινά, εἰ δὲ λήγει καὶ τοῖς ἀριθμοῖς ἀφαιρεῖ παλαιὰ δηλοῖ τὰ ἀπολεσθέντα. ἐὰν ζῴδιον δίσωμον ὡροσκοπῇ ἢ διπλοῦν τι καὶ συνεζευγμένον ἀπώλετο ἢ δύο τινά. ἀλλὰ καὶ ἡ Σελήνη ἐν δισώμῳ οὖσα τὸ αὐτὸ θεσπίζει. ἀπὸ τῆς ἐποχῆς τῆς Σελήνης ἕως τῆς τοῦ Ἑρμοῦ ἐποχῆς λαβὼν τὸ τῶν μοιρῶν διάστημα σκέπτου πόσων ζῳδίων ἐστὶν ὁ τῶν μοιρῶν ἀριθμός, καὶ εἰ μὲν ἄρτια ὦσι τὰ ζῴδια οὐχ ἓν μόνον ἀπώλετο ἀλλὰ πλείω, εἰ δὲ περισσὰ ἓν μόνον ἀπώλετο. Τίς ὁ κλέπτης Ἐὰν τὸν ὡροσκόπον ὅ τε Ἥλιος καὶ ἡ Σελήνη βλέπωσιν ἐκ τοῦ οἴκου τὸν κλέπτην εἶναι θεσπίζουσιν, ἐὰν δὲ μόνον ὁ εἷς φωστὴρ βλέπῃ τὸν ὡροσκόπον ἔξωθεν μὲν τὸν κλέπτην εἶναι καὶ οὐχὶ τοῦ οἴκου τινὰ ἀλλ' ὅμως τῶν ἐπιμισγομένων συχνῶς τῷ οἴκῳ, ἐὰν δὲ μηδέτερος τῶν φωστήρων βλέπῃ τὸν ὡροσκόπον ξένον καὶ ἀλλοδαπῆ λέγε τὸν κλέπτην.

73 (1t) Τὴν δὲ τοῦ κλέπτου μορφὴν καὶ ἰδέαν ἐκ τῶν ἀστέρων γνωσόμεθα καὶ πρῶτον μὲν καὶ προηγουμένως ἐκ τοῦ ὄντος ἐν τῇ δύσει ἀστέρος, εἰ δὲ μηδένα ἔχει τὸ δῦνον ἐκ τοῦ ὄντος ἐν τῷ θʹ τόπῳ ἀστέρος, εἰ δὲ μηδ' ἐνταῦθά τις ᾖ ὁ ἐν τῷ ιβʹ τόπῳ ὢν ἀστὴρ δηλώσει, εἰ δὲ μηδ' ἐνταῦθά τις ᾖ ὁ ἐπέχων τῇ Σελήνῃ σωματικῶς ἤγουν συνάπτων αὐτῇ, εἰ δὲ μηδεὶς κολλᾷ τῇ Σελήνῃ σκέπτου τίς πρὸ ἑπτὰ ἡμερῶν τῆς κλοπῆς φάσιν τινὰ ἢ στηριγμὸν ἐποίησεν ἢ ἀπὸ ζῳδίου εἰς ζῴδιον μετῆλθε καὶ ἐξ ἐκείνου τοῦ ἀστέρος γνώσῃ τὴν τοῦ κλέπτου μορφήν τε καὶ ἰδέαν. Περὶ τῆς ἰδέας τῶν κλεπτῶν Ἐὰν ὁ τοῦ Διὸς ἀστὴρ δηλοῖ τὸν κλέπτην εἶναι λευκόχρουν, εὐέκτην, μεγαλόφθαλμον, μικρὰς τὰς κόρας ἔχοντα, οὐκ ὀξυδορκοῦντα, ἀγαθογνώμονα, εὔσαρκον, εὐτραφῆ, δασυγένειον. ἐὰν δὲ ὁ τοῦ Κρόνου δυσειδὴς ἔσται ὁ κλέπτης, μέλας, μυωπάζων, μικρόφθαλμος, ῥυτίδας ἐν τῷ σώματι ἔχων, χλωρός, ψεύστης, κρυψίνους, σκολιόφρων, δασύς, στυγνοπρόσωπος, ὀζόχρωτος. ἐὰν δὲ ὁ τοῦ Ἄρεος ἔσται ξανθός, τετανόθριξ, γοργόμματος, στρογγυλοπρόσωπος, ὦτα ἔχων μικρά, χαροπός, νουνεχής, ἀλλοπρόσαλλος, ὀξυόρμητος, ἕτοιμος εἰς τὸ ἐξορμᾶν.

74 ἐὰν δὲ ὁ τῆς Ἀφροδίτης ἔσται εὔμορφος ὁ κλέπτης, εὔκομος, εὐόφθαλμος, μελανόμματος, λευκόχρους καὶ ἠρέμα ὑπό τι μελάγχρους, εὔσαρκος, ἀγαθογνώμων. ἐὰν δὲ ὁ τοῦ Ἑρμοῦ ἔσται ἰσχνὸς ὁ κλέπτης, ὑπόξηρος, σύμμετρος, οὐλόθριξ, εὐγένειος, ποικιλογνώμων, ὑπόχλωρος. ἐὰν δὲ Ἥλιος ἢ Σελήνη εὑρεθῇ τὸν κλέπτην δηλῶν τοιοῦτον δηλώσει αὐτὸν εἶναι κατὰ τὴν μορφὴν ὁποίῳ ἂν τῶν ἀστέρων συγκραθῶσιν. ἐὰν δὲ μηδενὶ τῶν ἀστέρων συνοικειωθῶσιν ἀλλὰ μόνοι καθ' ἑαυτοὺς ὁ μὲν Ἥλιος δηλοῖ τὸν κλέπτην εὐτραφῆ, πυκνὸν καὶ ἠρέμα ὕπωχρον, ἡ δὲ Σελήνη μόνη εὔκρατον, εὐόφθαλμον, εὔσαρκον, στρογγυλοπρόσωπον. Ἀκριβέστερον δὲ μαθήσει περὶ τῶν αὐτῶν οὐ μόνον τοὺς ἀστέρας σκοπῶν ἀλλὰ καὶ τὰ ζῴδια ἐν οἷς εὑρίσκονται οἱ δηλοῦντες ἀστέρες. ὁ μὲν γὰρ Κριὸς δασεῖς, εὐμήκεις δηλοῖ τοὺς κλέπτας, τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προσώπῳ νεύοντας κάτω, οὐλότριχας, δειλούς, παιγνιώδεις, αἰσχρολόγους, ὁ δὲ Ταῦρος σιμούς, δασεῖς τῷ σώματι, προκεφάλους, εὐρυμετώπους, τρίχας ἔχοντας ἀνεσταλμένας, κρυψίφρονας, ὑποκρίσει ἐξαπατῶντας, ἐπίπλαστον ἐπιείκειαν ἔχοντας, τοὺς δὲ μυκτῆρας πλατεῖς, παχυαύχενας, μελανοφθάλμους, λεπτοχείλους, ὀφρύας μεγάλας ἔχοντας, οἱ δὲ Δίδυμοι συμμέτρους δηλοῦσιν, ἐπίρρινας, τρυφερούς, ἀγαθογνώμονας, τοὺς δὲ ὤμους ἔχοντας εὐτυπώτους, τινὰς δὲ καὶ γράμματα γινώσκοντας καὶ πιστευομένους, ὁ δὲ Καρκίνος δηλοῖ ὀστώδεις, δασύτριχας, πλατυπροσώπους, μελανόχροας (τινῶν δὲ καὶ οἱ ὀδόντες διεστραμμένοι εἰσίν), συμμέτρους τῷ μήκει, τὰ δὲ κάτω μέρη μείζονα ἔχοντας, ὁ δὲ Λέων γλαυκούς, πυρρούς, εὐμόρφους, τὰ ἐπάνω μέρη μείζονα ἔχοντας, λεπτὰς κνήμας ἔχοντας, ἀγριογνώμονας, ἀγριοπροσώπους —γαστρίμαργοι, τινὲς δὲ καὶ παλαίειν εἰδότες—, ἡ δὲ Παρθένος συμμέτρους τὴν ἡλικίαν, εὐπλάστους τῷ σώματι, ὀρθίους τὴν ἰδέαν, κοσμίους τὸ ἦθος καὶ ἢ πιστοὺς διὰ γραμμάτων ἤ τινα τέχνην διὰ γραμμάτων μαθόντας, ὁ δὲ Ζυγὸς εὐοφθάλμους, λευκόχροας, εὐχρήστους εἰς διακονίαν, εὐπλάστους τοῖς μέλεσιν, εὐρύθμους, εὐτραπέλους, κατωφερεῖς πρὸς γυναῖκας, ὁ δὲ Σκορπίος ἀνασταλεῖς ταῖς θριξίν, ὑπογλαύκους, μεσοφθάλμους, στρογγυλοπροσώπους, τὴν φάρυγγα προπετῆ ἔχοντας, μακροκνήμους, εὔποδας, πλατυθώρακας, ἅρπαγας, θρασεῖς, βασκάνους, τολμηρούς, ῥιψοκινδύνους, ὁ δὲ Τοξότης μεγαλοσκελεῖς, εὐκνήμους, εὐπλάστους, τινὰς δὲ καὶ φαλακρούς, ὀξυγενείους, ἐρυθρόχροας, προγάστορας, ὠκύποδας, κολυμβητάς, φιλοπροβάτους, εὐπορίστους, δαπάνους, ὀργίλους, ὁ δὲ Αἰγόκερως δασεῖς, λεπτοσκελεῖς, ὀστώδεις, κάτω νενευκότας, αἰγοφθάλμους, ὀξυγενείους, ἀμφιβόλους, ἀβεβαίους, γελωτοποιούς, ὑπομώρους, ὁ δὲ Ὑδροχόος μεσήλικας, σεμνοπροσώπους, εὐγενείους, φιλοπαίγμονας, δαπανηρούς, τρυφητάς, τὴν ἑτέραν δὲ κνήμην τῆς ἑτέρας παχυτέραν ἔχοντας, ἐν οἷς ἐπιτηδεύουσι δυστυχοῦντας, οἱ δὲ Ἰχθύες πλατυώμους, εὔτριχας, μικροκεφάλους, στενομετώπους, μελανοφθάλμους, ἀπαθεῖς, δυσγνώμονας, πολυτρόπους, ἄλλα μὲν μεταχειριζομένους, ἄλλα δὲ μεταδιώκοντας.

76 Καὶ οὗτοι μὲν οἱ στοχασμοὶ ἔκ τε τῶν ἀστέρων καὶ ἐκ τῶν ζῳδίων ἔστωσαν εὑρίσκεσθαι, ἀλλ' οὐ δεῖ πάντα τὰ σημεῖα ἀνελλιπῶς ἐπὶ ἑκάστου νομίζεσθαι εὑρίσκειν ἀλλ' ὅσα ἐνδέχεται ἐντέχνως ἐπεξιέναι ἔκ τε τῶν συσχηματιζομένων ἀστέρων συνεπικρίνειν τὸν στοχασμόν. ἐὰν δὲ τῷ σημαίνοντι τὸν κλέπτην ἀστέρι ἀγαθοποιὸς μαρτυρῇ ἐλεύθερος ἔσται ὁ κλέπτης, ἐὰν δὲ κακοποιὸς δοῦλος ἢ πένης ἢ μισθωτός. ἐὰν δὲ Ἀφροδίτη σημαίνῃ τὸν κλέπτην αἰτία τῆς κλοπῆς ἔσται γυνή, ἐὰν δὲ Ἑρμῆς παῖς, ἐὰν δὲ Ἄρης ἀκμαῖος, ἐὰν δὲ Ζεὺς μεσῆλιξ, ἐὰν δὲ Κρόνος γέρων. πάλιν ἐὰν ὁ τὸν κλέπτην σημαίνων ἀστὴρ ἐπὶ Κρόνου, Διός, Ἄρεως ἑῷος ᾖ ἀνατολικὸς παῖδα τὸν κλέπτην θεσπίζει, ἐὰν δὲ τὸν πρῶτον στηριγμὸν ἔχῃ ἀκμαῖον, ἐὰν δὲ ἀκρόνυχος ᾖ μεσήλικα, ἐὰν δὲ τὸν δεύτερον στηριγμὸν μεσαιπόλιον, ἐὰν δὲ τὴν ἑσπερίαν κρύψιν γέροντα. ἔστω οὖν τὸν Κρόνον σημαίνοντα τὸν κλέπτην ἐπὶ ἑῴας ἀνατολῆς· οὔτε οὖν παῖς ἐστιν ὁ κλέπτης διὰ τὸ ἑῷον οὔτε γέρων διὰ τὸν Κρόνον, ἀλλὰ μεσῆλιξ μεμιγμένου τοῦ στοχασμοῦ ἔκ τε τοῦ παιδὸς καὶ τοῦ γέροντος. ἐπὶ δὲ Ἀφροδίτης καὶ Ἑρμοῦ ἐὰν ὦσιν ἑσπέριοι ἀνατολικοὶ νέους ἢ νέας δηλοῦσι τοὺς κλέπτας, εἰ δέ εἰσι μετὰ τὸν α′ στηριγμὸν ἑσπέριοι δυτικοί—μεσήλικες, εἰ δὲ ἑῷοι ἀνατολικοὶ πρεσβυτέρους· τινὲς δὲ λέγουσιν ὅτι ἐὰν ἡ Ἀφροδίτη καὶ ὁ Ἑρμῆς ὦσιν ἑῷοι ἀνατολικοὶ δηλοῦσι τὸν κλέπτην νέον ἢ νέαν, ἐὰν δὲ δυτικοὶ γέροντας ἢ γηραιάς. πάλιν ἐὰν ὁ τὸν κλέπτην σημαίνων ἀστὴρ εἰς τὰ ἴδια ὑψώματα ᾖ μέγαν τῷ σώματι καὶ εὐμεγέθη μηνύει τὸν κλέπτην, ἐὰν δὲ ἐν τῷ τοιούτῳ ζῳδίῳ ᾖ ἔνθα ταπεινοῦται μικρόν, σὺ δὲ κατὰ τὸ τῆς ἀποστάσεως ἀνάλογον συλλογίζου περὶ τῆς τοῦ μεγέθους πηλικότητος.

77 οἷον ἔστω ὁ τὸν κλέπτην δηλῶν Ἄρης ἐπέχων τοῦ Κριοῦ τὸν α′ δεκανόν· λέγομεν ὅτι τῷ μεγέθει μέσος ἐστὶν ὁ κλέπτης (ἀπὸ γὰρ Αἰγοκέρωτος τοῦ τρίτου δεκανοῦ τὸ μέσον ἐστὶ διάστημα τοῦ ἡμικυκλίου). ἐὰν δὲ ἦν ἐν Ἰχθύσιν ἢ Σκορπίῳ μεῖζον τοῦ μέσου τὸ μέγεθος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐλέγομεν 〈ἄν〉, ἐὰν δὲ ἐν Ταύρῳ ἢ Παρθένῳ ἔλασσον τοῦ μέσου. ἐὰν δὲ ὁ τὸν κλέπτην ὑποφαίνων ἀστὴρ τύχῃ μετὰ τὸ γενέσθαι τὴν κλοπὴν εἴσω ἡμερῶν ἑπτὰ ὑπὸ τὰς τοῦ Ἡλίου αὐγὰς πεσὼν γίνωσκε ὅτι ἐν κακῷ τινι ὁ κλέπτης ἐμπέπτωκεν, ἐὰν δὲ πρὸς τούτῳ καὶ ὑπὸ τοῦ Ἄρεως μαρτυρῆται τραύμασιν ἢ βασάνοις ἢ κινδύνοις χαλεποῖς περιπετὴς ἐγένετο. ἐὰν δὲ τὸν τῆς τύχης κλῆρον μὴ βλέπῃ κακοποιὸς οὐ γέγονε κλοπὴ ἀλλὰ μόνον παρέπεσέ που τὸ ζητούμενον καὶ κρύπτεται, καὶ ἐὰν μόνος ὁ Ἥλιος τὴν τύχην ὁρᾷ οὐδὲ ἐκλάπη ἀλλὰ κρύπτεται. Τίνι τρόπῳ ἀπώλετο Ἐὰν ὁ Κρόνος μαρτυρῇ τῷ τε ὡροσκόπῳ καὶ τῇ Σελήνῃ δηλοῖ διά τινος δόλου καὶ ἐνέδρας γεγονέναι τὴν κλοπήν, ἐὰν δὲ Ζεὺς δηλοῖ τὸν κλέπτην διά τινος ἐπιπλάστου [καὶ] ἀγαθοῦ ἤθους καὶ ὑποκρίσει ἐπιεικείας πιστευθέντα οὕτω κλέψαι, ἐὰν δὲ Ἄρης δυνάμει καὶ βίᾳ ἢ τοιχορυγίᾳ ἢ ὑποβολῇ κλειδίου ἑτέρου ἢ θύρας μετοχλήσει δηλοῖ γενέσθαι τὸ κλέμμα, ἐὰν δὲ Ἀφροδίτη διὰ φιλικὰς προφάσεις ἢ ἑταιρείας ἢ εὐφροσύνας ἢ γυναῖκας, ἐὰν δὲ Ἑρμῆς διὰ πανουργίας.

78 πζʹ. Περὶ ἐπιστολῶν καὶ φήμης καὶ ἀγγελίας Ἡφαιστίωνος φιλοσόφου Θηβαίου Εἰ δὲ φήμη τις ἢ ἄκουσμα ἢ κίνησις ἁπλῶς παντὸς πράγματος πόλει ἢ χώρᾳ ἢ τοῖς καθ' ἑκάστην ἀνθρώποις γένηται ἢ περὶ γραμμάτων ἢ ἐντολῶν ἢ μαντειῶν πονηρῶν καὶ τὸ ἀληθὲς ἐπιζητοίη τις μαθεῖν, φάσιν μὲν ποιουμένης τῆς Σελήνης ἀληθῆ καὶ βέβαια ταῦτα εὑρεθήσεται, καὶ μάλιστα τοῦ Ἑρμοῦ συμπαρόντος ἢ μαρτυροῦντος αὐτῇ. καὶ ἐὰν ἀπῶσιν οἱ κακοποιοὶ δηλοῦσιν ἐπ' ἀγαθῷ τὸ πρᾶγμα, ἐὰν δὲ ἔμπαλιν οὐκ ἀγαθόν, εἰ δ' ἀνακεκραμένοι τύχωσιν ὁμοίως ἀναμεμιγμένως. ἐπὰν δὲ ὁ τοῦ Ἑρμοῦ μετὰ τοῦ τοῦ Ἄρεος ἐπίδωσι τὴν Σελήνην μὴ ποιουμένην φάσιν ἀπατηλὰ καὶ δόλια καὶ πανοῦργα καὶ ἐπίβουλα σημαίνει τὰ πραττόμενα ἢ ἀγγελλόμενα, καὶ μάλιστα ὅταν ᾖ ἐν τοῖς τῶν ἀστέρων τούτων ζῳδίοις ἡ καταρχή. Ἐπιστολῆς δὲ λεγομένης ἐνηνέχθαι γνωσόμεθα ψεῦδος εἶναι τοῦ Τοξότου ὡροσκοποῦντος ἢ Αἰγοκέρωτος καὶ Διδύμων καὶ Ταύρου καὶ Ζυγοῦ· ὑπό τινων γὰρ μετρίων ἢ οἰκετῶν ἢ χάριν μετρίου τινὸς κεκομίσθαι. δεῖ δὲ καὶ τὴν Σελήνην παραφυλάττειν ἐν τούτοις τοῖς ζῳδίοις καὶ τοὺς φθοροποιούς· ἀπάτης γὰρ αἴτιοι γίνονται συσχηματιζόμενοι. ἢν δὲ ἐν Κριῷ καὶ Καρκίνῳ καὶ Λέοντι καὶ Παρθένῳ καὶ Σκορπίῳ καὶ Ὑδροχόῳ κομισθείη, ἀληθῆ καὶ βέβαια μηνύσει, καὶ μάλιστα ἐφορώντων τῶν ἀγαθοποιῶν.

79 καὶ ταῦτα καθὼς γέγραπται παρὰ τοῖς ἀρχαίοις ἐκτεθείσθω. ϙβʹ. Περὶ ὀνείρων Εἰ ἐρωτηθῇς παρά τινος εἰπεῖν αὐτῷ ὃ εἶδεν ἐν ὀνείρῳ κρατήσας τὴν ὥραν πρῶτα μὲν στῆσον τὸν ὡροσκόπον καὶ τοὺς λοιποὺς τοῦ θέματος τόπους, εἶτα πῆξον τοὺς ἀστέρας ἐν οἷς ἂν παραπορεύωνται ζῳδίοις καὶ μοίραις, καὶ μετὰ ταῦτα ἰδὲ εἰ ἐπὶ τοῦ ἐνάτου τις τῶν πλανητῶν πάρεστι καὶ ἐκ τῶν δεσποζομένων ὑπ' αὐτοῦ καὶ ἐκ τῶν σημαινομένων ὑπὸ τοῦ τόπου οὗ κύριός ἐστιν εἶναι λέγε ὃ ἑώρακεν εἴτε ζῷον εἴτε μεταλλικὸν εἴτε φυτὸν καὶ λοιπόν. οἷον εἰ τύχῃ Κρόνος εἶναι ἐπ' αὐτοῦ ἰδεῖν αὐτὸν λέγε ζῷα φοβερὰ οἷον δράκοντας ἢ ὄφεις ἢ ἐλέφαντας. ἀλλ' εἰ μὲν τοῦ ὀγδόου τόπου κύριός ἐστι νεκροὺς ἢ τάφους ἢ λείψανα, εἰ δὲ τοῦ δωδεκάτου φόβον παρά τινων ἐχθρῶν καὶ κατάπληξιν αὐτῷ ἐπαγόμενον ἰδεῖν λέγε, εἰ δὲ τὸν τέταρτον τόπον οἰκοδεσποτεῖ τόπους ἀβάτους καὶ κρημνοὺς καὶ βάραθρα, καὶ ἑξῆς καθὰ σημαίνουσιν οἱ τόποι τὴν ἀπόφασιν δίδου. εἰ δὲ τύχῃ τὸν Δία εἶναι ἐπ' αὐτοῦ ἰδεῖν αὐτὸν λέγε βασιλέα ἢ τοπάρχας ἢ ἱερέα ἢ κριτήν. καὶ εἰ μὲν τοῦ ἐνάτου ἢ τοῦ ἕκτου τόπου κύριός ἐστιν ὑποφαίνου ἰδεῖν αὐτὸν εἰκόνας ἢ ἐκκλησίας ἢ ἱερά τινα σκέλη καὶ εἴδη, καὶ ἑξῆς κατὰ τὴν δωδεκάτοπον. εἰ δὲ τύχῃ τὸν Ἄρεα ἐπὶ τοῦ τόπου τούτου ἑώρακεν αἵματα ἢ πόλεμον ἢ στάσιν ἢ ἅρματα καὶ ὅπλα ἢ κρέατα ἢ πωλία ἢ θηρία. εἰ δέ ἐστιν Ἀφροδίτη ἐπ' αὐτοῦ δὴ τοῦ ἐνάτου γυναικεῖον κόσμον ἢ λίθον τίμιον καὶ μαργαρίτας ἢ ἀρώματα καὶ μυριστικὰ ἢ γυναῖκας ἢ ἀδελφὰς ἢ χοροὺς καὶ παίγνια. εἰ δὲ Ἑρμῆς νοταρίους ἢ βιβλία καὶ γράμματα ἢ ἀργυρᾶ [καὶ] νομίσματα ἢ ποικίλματα καὶ ζωγραφίας.

80

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰ δὲ ὁ Ἥλιος ὑπηνέμιον φέρεσθαι τοῦτόν φασι καὶ ὑψοῦσθαι ἢ φῶτα ἢ ἕτερά τινα λαμπρὰ καὶ δι' αὐγῶν ἰδεῖν. εἰ δὲ ἐφεδρεύει ἡ Σελήνη ἐπὶ τοῦδε τοῦ τόπου ποταμὸν ἢ θαλάσσας ἢ πηγὴν ἢ μητέρα καὶ γυναῖκα γραΐδα. εἰ δὲ μηδεὶς τῶν ἀστέρων τὴν πορείαν ποιῶν εὑρίσκεται ἐπὶ τοῦ θʹ κατὰ τὴν πεύσεως ὥραν ὅρα τὸν ὄντα ἐπὶ τοῦ ὑπογείου, εἰ δὲ οὐδὲ ἐπὶ τούτου ἰδὲ τὸν ἐπὶ τοῦ ὡροσκόπου ἢ τοῦ μεσουρανήματος ἢ τοῦ δύνοντος ἢ τοῦ τρίτου, λάμβανε καὶ κατὰ τὴν κρίσιν τῶν ἐπὶ τοῦ ἐνάτου τυχόντων τεκμαίρου καὶ ἐπὶ τούτων. καὶ ἐπ' ἀγαθῷ μὲν τὸ ὅραμα γενέσθαι ἐπὰν οἱ κύριοι τοῦ ἐνάτου καὶ τοῦ τρίτου καλῶς ἵστανται καὶ ὑπὸ ἀγαθοποιῶν ὁρῶνται, ἐπὶ κακῷ δὲ καὶ βλάβῃ ὅταν τοὐναντίον κακῶς κείμενοι ὦσι κατὰ τὸ κοσμικὸν καὶ ὑπὸ κακοποιῶν ὁρῶνται. Χρηματιστικὰς δὲ ἡμέρας ἐν ὀνείροις οἱ παλαιοὶ Αἰγύπτιοι ἐπετήρησαν· τὴν αʹ ἡμέραν ἀπὸ συνόδου, τὴν δὲ βʹ καὶ τὴν γʹ οὐκ ἐπιτηδείους (λυπηρὰ γὰρ τὰ θεαθέντα), δʹ δὲ καὶ εʹ καὶ ςʹ ἀποβαίνειν τὰ ὀφθέντα, τῇ δὲ ζʹ ἐν δ ἡμέραις ἀποβαίνειν, ἐν δὲ τῇ ηʹ χρόνῳ, ἐν δὲ τῇ θʹ ἀνεκβάτους τοὺς ὀνείρους εἶναι, ἐν δὲ τῇ ιʹ καὶ ιαʹ εἴσω δ ἡμερῶν, ὁμοίως δωδεκαταίας οὔσης καὶ τρισκαιδεκαταίας μετὰ τοῦ καὶ αἰσίως, ἡ ιδʹ ἱλαρίας σημαντική, ἡ ιεʹ ἔμπρακτος μέν, ἐπιβλαβὴς δέ, ιςʹ, ιζʹ, ιηʹ, ιθʹ ἐπιτελοῦσι τὰ ὀφθέντα εἴσω ἡμερῶν ι , ἡ δὲ εἰκὰς 〈καὶ〉 μία καὶ εἰκὰς κοινή, ἡ δὲ δευτέρα καὶ εἰκὰς περὶ χρῆμα ἐπιτελεῖ τὰ τοῦ ὀνείρου, ἡ τρίτη καὶ εἰκὰς ἐν ἡμέραις η , ἡ δὲ δʹ καὶ εἰκὰς ἐν ιβ , ἡ εʹ καὶ εἰκὰς ἐν κδ , ἡ ςʹ καὶ εἰκὰς ἀτέλεστα, ἡ ζʹ καὶ εἰκὰς τέλος ἐπάξει, ἡ δὲ ηʹ καὶ εἰκὰς καὶ θʹ καὶ εἰκὰς ἐν τρισὶν ἡμέραις, ἡ δὲ λʹ ἀνεκβάτους. EPITOMAE II LIBER TERTIVS Ἀρχὴ τοῦ τρίτου βιβλίου ἐξ οὗ μέλλει τὸν ἐπιστήμονα ἐπιγνῶναι ἀκριβῶς πᾶσαν καταρχὴν κατάρξασθαι καὶ μάλιστα ἀπὸ τῶν παρεκβεβλημένων ἀποτελεσμάτων ἀπὸ τῆς βίβλου Ἡφαιστίωνος φιλοσόφου Θηβαίου πρὸς Ἀθανάσιον.

81 (1t) ἀρχόμεθα οὖν ἀπὸ τῶν περὶ καθολικῶν καταρχῶν καὶ περὶ ἐπιτηδείων ζῳδίων καὶ Σελήνης ἐπιτηρήσεως εἰς καταρχάς. Ἐπὶ πάσης τοίνυν καταρχῆς δέον ἀκριβῶς σκοπῆσαι τὴν ὥραν ἐν ᾗ τὴν ἔναρξιν τοῦ πράγματος μέλλεις ποιεῖσθαι διὰ τῶν ὡς ἔνι μάλιστα διηρθρωμένων ὡροσκοπιῶν, καὶ οὕτω τὰ κέντρα στῆσαι ὡς ἐπὶ γενέσεως, τῶν τε φώτων καὶ τῶν πέντε ἀστέρων τὰ μήκη καὶ τὰ πλάτη ἐπιγνόντας καὶ πῶς ἔχουσι σχήματος πρός τε ἀλλήλους καὶ τὸ πᾶν. καὶ ἐκ τούτων λοιπὸν ἁρμόσασθαι τῶν γινομένων ἑκάστῃ προγνώσει. αʹ.

82 (1t) Περὶ ἐπιτηδείων ζῳδίων καὶ Σελήνης ἐπιτηρήσεων εἰς καταρχήν Τὰ μὲν οὖν ὀρθῶς ἀνατέλλοντα ζῴδια (ἔστι δὲ τὰ ἀπὸ Καρκίνου ἕως Τοξότου) ἐπὶ τῆς ἀνατολῆς ἀκάκωτα τυχόντα ἀνεμποδίστως τὰ πραττόμενα τελέσει, τὰ δὲ λοξά (ἔστι δὲ τὰ ἀπὸ Αἰγοκέρωτος ἕως Διδύμων) ἄνευ μαρτυρίας ἀγαθοποιῶν ἀστέρων δυσκατέργαστα καὶ πολυχρόνια μηνύει τὰ ἐγχειριζόμενα, καὶ τὰ τροπικὰ δὲ ἀνατέλλοντα ὁμοίως ἀνατρέπει τὰ πραττόμενα. Βλάπτει δὲ καὶ ἡ Σελήνη συνοδεύουσα τῷ Ἡλίῳ ἤτοι ὑπὸ τὰς αὐγὰς αὐτοῦ οὖσα ἢ διαμετροῦσα αὐτὸν ἢ ἐν τοῖς ἐκλειπτικοῖς συνδέσμοις οὖσα ἢ Κρόνῳ ἢ Ἄρει συνοῦσα ἢ συσχηματιζομένη, ὁμοίως δὲ καὶ ἐν τῷ νοτίῳ οὖσα πέρατι καὶ ἐν ταῖς τελευταίαις μοίραις τῶν ζῳδίων βλαπτικὴ τυγχάνει. ἐπιτηρητέον δὲ καὶ τὸ δωδεκατημόριον αὐτῆς μὴ ἐμπέσῃ ὅπου Κρόνος ἢ Ἄρης τύχωσιν ὄντες. Ὁμοίως δὲ ἐπιτηρητέον καὶ τὸν τοῦ ὡροσκόπου δεσπότην μὴ ἐμπέσῃ εἰς τὸν ὄγδοον τόπον μήτε εἰς τὸν δεύτερον μήτε συνεῖναι τῷ τοῦ ὀγδόου τόπου δεσπότῃ μήτε τὴν Σελήνην καθυπερτερεῖν διαμέτρῳ ἢ τετραγώνῳ σχήματι μήτε τὸν τοῦ βʹ τόπου δεσπότην ἐν τῷ βʹ ἢ τῷ ηʹ τόπῳ ἐπεῖναι μήτε ἐναντιοῦσθαι ἀλλήλοις, ἔτι μὴν καὶ τοὺς οἰκοδεσπότας τοῦ σεληνιακοῦ ζῳδίου καὶ τοῦ κλήρου τῆς τύχης μὴ εἶναι ἔν τε τῷ βʹ ἢ ἐν τῷ ηʹ τόπῳ.

83 πρὸ πάντων δὲ ἐν παντὶ πράγματι ἀναγκαῖόν ἐστι ζητῆσαι τόν τε ὡροσκόπον καὶ τὴν Σελήνην ἐν ἀγαθοποιῶν τόποις εἶναι, ἀγαθοῖς δὲ συνάπτειν παροῦσιν ἢ κατὰ σχῆμα καὶ τὸν τῆς τύχης κλῆρον συμφωνεῖν ἢ τῷ Ἡλίῳ ἢ τῇ Σελήνῃ ἢ τῷ ὡροσκόπῳ. εἰ δ' ἄρα ἐπείγει τινὸς κατάρξασθαι, μὴ συντρέχει δὲ πάντα τὰ προειρημένα, χρηστέον τοῖς πλείοσι καὶ κατὰ καιρὸν δυνατοῖς. Περὶ καταρχῶν καθολικῶν καὶ παρατηρήσεων καὶ ἄλλως πλατύτερον Τὴν βασιλικὴν

τάξιν καὶ ἡγεμονικὴν δύναμιν Ἥλιος καὶ Σελήνη τοῦ παντὸς ἀνειλήφασι· διὰ γὰρ τῶν πρὸς ἀλλήλους σχηματισμῶν καὶ τῶν ἐπισήμων φάσεων ἅπαντα ἀπεργάζονται. παραλαμβάνονται δὲ καὶ τὸν τῶν πλανωμένων πρὸς αὐτοὺς σχηματισμὸν εἰς αὔξησιν καὶ ἐπίτασιν τῶν ἀποτελουμένων. ἐκ γὰρ τῆς τῶν φωστήρων κατὰ μῆνα συνόδου ἅπαντα κατά γε γῆν καὶ θάλασσαν ζωογονεῖται καὶ ἀλλοιοῦται. χρὴ οὖν ἐπὶ πάσης καταρχῆς τὴν προγενομένην σύνοδον ἤτε πανσέληνον σκοπῆσαι ὡς ἐπὶ γενέσεως, πρῶτον μὲν εἰ ἐπὶ τῶν κέντρων ἢ ἐπὶ τῆς τούτων ἐπαναφορᾶς εἴη χρηματίζουσα καὶ εἰ ἐν ἀγαθοποιοῦ ἀστέρος ζῳδίῳ ἢ μοίραις ἢ παρουσίᾳ ἢ σχήματι ἢ κακοποιοῦ, ὁμοίως καὶ εἰ μετὰ τὴν σύνοδον συνάπτει ἀγαθοποιῷ ἢ ἐναντίῳ, καὶ οὕτως καταστοχάζεσθαι τοῦ πράγματος καθὼς ἂν ἔχῃ ἡ συζυγία πρός τε τὰ κέντρα καὶ τοὺς πλανωμένους.

84 ἐπικέντρου γὰρ γενομένης τῆς συζυγίας μετὰ τῶν ἀγαθοποιῶν καὶ ἐπειγούσης πρὸς ἀγαθοποιούς, μεγίστας καὶ εὐδαιμονεστάτας δηλώσει πράξεις ἄχρι τέλους· ἐπὶ δὲ γενέσεως ἀποτελοῦνται βασιλεῖς, εὐδαίμονες, πολυχρήματοι. ἐπὰν δὲ ἀγαθοποιοῖς συνοδεύσασα φέρηται ἐπὶ κακοποιούς, ποιήσει εὐγενεῖς 〈τοὺσ〉 γεννηθέντας καὶ τὰς ἀρχὰς τῶν χρόνων ἔχοντας, ὕστερον δὲ ἐπὶ τὸ χεῖρον σφαλλομένους τῷ βίῳ· ἐὰν δὲ ἐναντίως εὑρεθῇ ἡ συζυγία, δηλονότι καὶ τοὺς τικτομένους τὴν ἀρχὴν δυστυχοῦντας, τὰ δὲ τέλη εὐτυχεῖς. ἐὰν δὲ ἀπὸ κακοποιῶν εἰς κακοποιοὺς φέρηται, ταπεινοὺς ἐκ ταπεινῶν ἀποτελεῖ καὶ ἐπιμόχθους καὶ ἐν πᾶσι δυστυχεῖς καὶ κακομόρους. περισχεθεῖσα δὲ ὑπὸ τῶν κακοποιῶν ἡ σύνοδος ταπεινοὺς καὶ ἀβίους καὶ ἐπαίτας καὶ δυστυχεῖς ἐργάζεται. εὐεπιτεύκτους δὲ καὶ ἐμπράκτους ἐν πᾶσιν ἀποτελέσει ὅταν ὁ οἰκοδεσπότης τῆς συνόδου ἀνατολὰς ἔχῃ καὶ ἐπιπαρὼν ἢ ἰδιοτοπεῖ ἢ τριγωνίζεται πρὸς τὸν τόπον· ἐὰν δὲ ἀπόστροφος εὑρεθῇ ἢ ἐναντιωθῇ, οὐ ποιήσει. ἐπὶ δὲ τῶν ἐπαναφορῶν γενομένης τῆς συζυγίας καὶ τοῦ κυρίου αὐτῆς, μετὰ χρόνον ἀποτελέσει τὰ πραττόμενα· ἐὰν δὲ ἐν τοῖς ἀποκλίμασι, ἀργὰ καὶ ἀσυντέλεστα. ἐπισκοπητέον οὖν καὶ τὰ ἐν καταρχῇ πραττόμενα πάντα ὡς ἐπὶ γενέσεως προσκεψαμένους τὴν προγενομένην σύνοδον ἤτε πανσέληνον. ταῖς δὲ τῆς Σελήνης προσεκτέον φάσεσι σπουδαίως—λέγω δὲ ἐν αἷς τὸν Ἥλιον μετὰ τὰ ἀσύνδετα σχήματα κατὰ διαμέτρους ἢ τριγώνους ἢ τετραγώνους ἀκτινοβολίας καὶ μαρτυρίας ἐφορῶσα καὶ ἐφορᾶται. Περὶ φήμης καὶ ἀγγελίας Εἴτε γὰρ φήμη τις ἢ ἄκουσμα ἢ κίνησις ἁπλῶς παντὸς πράγματος πόλει ἢ χώρᾳ ἢ τοῖς καθ’ ἕκαστον ἀνθρώποις γένηται ἢ περὶ γραμμάτων ἢ ἐντολῶν ἢ μαντειῶν πονηρῶν καὶ τὸ ἀληθὲς ἐπιζητοίη τις, φάσιν μὲν ποιουμένης τῆς Σελήνης ἀληθῆ ταῦτα καὶ βέβαια εὑρεθήσεται, καὶ μάλιστα τοῦ Ἑρμοῦ συμπαρόντος ἢ μαρτυροῦντος αὐτῇ.

85 (1t) καὶ ἐὰν ἀπῶσιν οἱ κακοποιοὶ δηλῶσιν ἐπ’ ἀγαθῷ τὸ πρᾶγμα, ἐὰν δὲ ἔμπαλιν οὐκ ἀγαθόν, ἢν δ’ ἀνακεκραμένοι τύχωσιν ὁμοίως ἀναμεμιγμένως. ἐπὰν δὲ ὁ τοῦ Ἑρμοῦ μετὰ τοῦ Ἄρεως ἐπίδωσι τὴν Σελήνην μὴ ποιουμένην φάσιν ἀπατηλὰ καὶ δόλια καὶ πανοῦργα καὶ ἐπίβουλα σημαίνει τὰ πραττόμενα ἢ ἀγγελλόμενα, καὶ μάλιστα ὅταν ᾖ ἐν τοῖς τῶν ἀστέρων τούτων ζῳδίοις ἡ καταρχή. Πρὸς τούτοις δὲ καὶ τῇ φύσει τῶν ζῳδίων προσέχειν χρή. αὐτίκα ὁ Σκορπίος ἐγγὺς ὢν τοῦ Ζυγοῦ πολὺ αὐτῷ διαλλάσσει· ὁ μὲν γὰρ Ζυγὸς πρὸς τὸ δίκαιον καὶ ἀγαθὸν νένευκεν, ὁ δὲ Σκορπίος πρὸς τὰ ἐναντία καὶ βλαπτικά. τῆς οὖν Σελήνης τὴν φάσιν ἐχούσης ἐν Ζυγῷ ὁ μὲν ἀποδρὰς ῥᾳδίως ἐπανήξει, ὁ δὲ τὴν ἄδικον δίκην εἰσάγων ἡττηθήσεται ὑπὸ τοῦ τὴν δικαίαν ἔχοντος, τὸ δὲ ἀπολωλὸς εὑρεθήσεται· καὶ λήψεις καὶ δόσεις καὶ κοινωνίας ποιεῖσθαι συνοίσει. Περὶ δανείων Δανείζειν τε καὶ δανείζεσθαι καὶ εὔχεσθαι καὶ αἰτεῖσθαι ἀμοιβὰς καὶ χάριτας, ἀσύμφορον δὲ καὶ οὐκ ἐπ’ ἀγαθῷ κλέπτειν, ἁρπάζειν, ἐπιορκεῖν, ψεύδεσθαι ἢ ὅλως ἄδικόν τι πράττειν. ἐν δὲ τῷ Σκορπίῳ τῆς Σελήνης γενομένης τοὐναντίον· ἄδικα καὶ βίαια τοῖς ἐγχειροῦσι συνοίσει, ἀσύμφορον δὲ καὶ γάμον συντελεῖν. Περὶ χρησμῶν Καλῶς δὲ κειμένης μετὰ τοῦ Ἑρμοῦ ἐν τοῖς ἀνθρωποειδέσι ζῳδίοις, καλὸν χρησμοὺς λαβεῖν, ὀνειροπολεῖσθαι, περὶ προγνώσεις ἔχειν· ἐν δὲ τοῖς αἰνιγματώδεσι καὶ ἀφώνοις καὶ μάλιστα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μετὰ Κρόνου φαντασίας κατοιχομένων καὶ θηρίων ἢ δεσμωτῶν ἀποδείκνυνται· τοῦ δὲ Διὸς ὁρῶντος αὐτήν, διὰ προφητῶν ἢ βασιλέων ἢ ἱερῶν ζῴων, ἐπισήμων ἀνδρῶν καὶ ἀληθευόντων· τοῦ δὲ τοῦ Ἄρεως διὰ τῶν οἰκείων ὅπλων καὶ στρατιῶν, σφαγῶν, ἁρπαγῶν καὶ δεισιδαιμονιῶν· τοῦ δὲ τῆς Ἀφροδίτης διὰ λίθων πολυτελῶν καὶ γυναικείων κόσμων καὶ προσώπων.

86 (1t) Ὑδραγώγια κατασκευάζειν καὶ φρεάτων ὀρυγὰς ποιεῖσθαι Οὔσης δὲ τῆς Σελήνης ἐν καθύγροις ζῳδίοις, ὑδραγώγια κατασκευάζειν καὶ φρεάτων ὀρυγὰς ποιεῖσθαι μαρτυροῦντος Κρόνου ἢ καὶ Ἑρμοῦ· τοῦ δὲ τοῦ Ἄρεως μετὰ τῆς Ἀφροδίτης, παραληπτέον ἐπὶ τῶν βαλανείων καὶ πλοίων τίθεσθαι τροπὴν ἢ νεολκεῖν ἢ καθέλκειν εἰς θάλασσαν καὶ τὰ πλευστικὰ ἅρματα ὠνεῖσθαι. τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, Αἰγοκέρωτι, Ὑδροχόῳ, Ἰχθύσι, Καρκίνῳ, Ἀφροδίτης καὶ Ἑρμοῦ συμπαρόντων ἢ μεσουρανούντων ἢ ἐπιθεωρούντων, ἀπόντων τῶν κακοποιῶν, συνοίσει γῆν πρίασθαι. Περὶ φυτείας Καὶ φυτεύειν ἐν Τοξότῃ καὶ Παρθένῳ, κήπους δὲ καὶ ἀμπελῶνας ἐν Καρκίνῳ καὶ Ἰχθύσι καὶ Ὑδροχόῳ, καὶ μάλιστα ἐν ἀνατολῇ οὔσης τῆς [Σελήνης] θεοῦ, ἐφορῶντος Ἑρμοῦ καὶ Ἀφροδίτης. Περὶ σωμάτων ἀγορασίας Σώματα δὲ ἀγοράζειν καὶ πωλεῖν ἐν τοῖς ἀνθρωποειδέσιν οὔσης αὐτῆς μετὰ τῶν ἀγαθοποιῶν καὶ Ἑρμοῦ· καὶ ἀπέστωσαν δὲ οἱ κακοποιοί.

87 (1t) Περὶ κτηνῶν Ἐν δὲ τοῖς κτηνώδεσι καλὸν κτήνη καθιστᾶν, Κριῷ, Ταύρῳ, Λέοντι, Τοξότῃ· ἀγέλας δὲ Κριῷ, Αἰγοκέρωτι. Περὶ ἵππων καὶ βοοτροφῆς Ἐν δὲ Διδύμοις ἱπποτροφεῖν, βοοτροφεῖν δὲ ἐν Καρκίνῳ καὶ Ταύρῳ. Γυναικὶ ὁμιλεῖν Σύμφορον δὲ γυναικὶ πρώτως ὁμιλεῖν ἐν Ζυγῷ οὔσης τῆς θεοῦ· προσφιλεῖς γὰρ καὶ ἡνωμέναι γίνονται. τοὐναντίον δὲ ἐν Σκορπίῳ, Τοξότῃ, Λέοντι· ταχὺ γὰρ διαλύονται. Γυναιξὶ ὁμιλεῖν ξέναις Ξέναις καὶ ἀλλοτρίαις γυναιξὶ μίγνυσθαι ἐν Αἰγοκέρωτι καὶ Διδύμοις καὶ Ἰχθύσι· παραμένουσιν ἀβλαβεῖς αἱ μίξεις, μάλιστα δὲ καὶ Σκορπίῳ. ἀσύμφορον δὲ χωρίζεσθαι εἰς ἑτέρους τόπους ἐν Τοξότῃ. Πότε χρὴ ποιεῖσθαι ἐξόδους χερσαίους καὶ θαλαττίους Ποιεῖσθαι δὲ χρὴ τὰς ἐξόδους τῆς Σελήνης οὔσης ἐν τοῖς χερσαίοις, ἐν δὲ τοῖς ἐνύγροις τὰς ἀναγωγὰς τοῦ πλοῦ, ἐν δὲ τοῖς ἀμφιβίοις, τουτέστιν Καρκίνῳ καὶ Αἰγοκέρωτι, πρὸς ἀμφότερα χρηστέον. οὐδὲν δὲ κωλύει καὶ ἐν τοῖς ἀνθρωποειδέσι καὶ χερσαίοις χωρὶς τῶν κακοποιῶν ὁδοῦ ἢ πλοὸς κατάρχεσθαι. Πότε χρὴ ὀρύσσειν Ἐν δὲ τοῖς χερσαίοις καὶ στερεοῖς καθεστώσης αὐτῆς ὀρύσσειν χρὴ ὅσα κατὰ γῆν προσήκει μέταλλα, θεμελίους, θησαυρούς, μάλιστα δὲ καὶ Σκορπίῳ ἐπεὶ καὶ φωλεύει.

88 (1t) Πότε χρὴ οἰκοδομεῖν Οἰκοδομεῖν δὲ ἐν τοῖς αὐτοῖς ζῳδίοις πλὴν τῶν τροπικῶν. Πότε μνημεῖα καὶ τάφους κτίζειν Μνημεῖα καὶ τάφους κτίζειν χρὴ σχηματιζομένου Κρόνου καὶ Ἑρμοῦ. Πότε εὐχὰς θεοῖς διδόναι Εὐχὰς δὲ θεοῖς ἀποδιδόναι ἐν τοῖς τροπικοῖς οὔσης καὶ ἐπὶ φάσεως ἀγαθῆς τῆς Σελήνης ὡς μᾶλλον ὑπακούειν. Παρακαταθήκην λαμβάνειν Παρακαταθήκας λαμβάνειν οὔσης ἐν Ὑδροχόῳ ἀσύμφορον καὶ ἀχαριστίας αἴτιον. Πότε κτηνοτροφεῖν Κτηνοτροφεῖν δὲ ἐν Ταύρῳ καὶ ἐν Λέοντι ἵππους, Σκορπίῳ δὲ κύνας καὶ ὄνους. Πότε διδάσκειν καὶ παλαιστρεῖν Εἰς διδασκαλίαν καὶ εἰς παλαίστραν συνιστάναι Διδύμοις καὶ ζυγῷ καὶ Ὑδροχόῳ καὶ Παρθένῳ, καὶ παντὶ δὲ εἴδει μαντικῆς χρηστέον. Πότε θηρεύειν Θηρεύειν δὲ ἐν τοῖς θηριώδεσι ζῳδίοις τὴν διὰ κυνῶν θήραν, ἐν δὲ τοῖς πτερωτοῖς τὰ πτηνά, ἁλιεύειν δὲ ἐν τοῖς καθύγροις. Πότε κατατίθεσθαι χρήματα Κατατίθεσθαι δὲ χρήματα κατὰ γῆν συνοίσει ἐν Σκορπίῳ καὶ Λέοντι 〈καὶ〉 Παρθένῳ.

89 (1t) Πότε ἐργαστήρια ἀνοίγειν Ἐργαστήρια δὲ ἀνοίγειν καὶ βίον συλλέγειν καὶ ὅσα σταθμοῖς καὶ μέτροις χρῆται ἄμεινον ἐν Ζυγῷ οὔσης τῆς Σελήνης, κατὰ τὴν τάξιν δευτέραν ἐν Καρκίνῳ, κατὰ τὴν τρίτην ἐν Κριῷ. ἀγοράζειν δὲ Ἰχθύσι καὶ Ὑδροχόῳ πᾶν ἔνυδρον. Πότε μετοικίζειν Μετοικίζεσθαι δὲ δεῖ καὶ μεταβαίνειν ἐν τοῖς ἀνθρωποειδέσι ζῳδίοις, καὶ ἐν Καρκίνῳ δὲ ἄμεινον διὰ τὸ οἶκον αὐτῆς εἶναι. Πότε ποιεῖν κοινωνίας πρὸς φίλους Κοινωνίας δὲ πρὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φίλους ποιεῖν ἐν τοῖς ἀνθρωποειδέσι ζῳδίοις. Πότε ὠνεῖσθαι σώματα Σώματα δὲ ἀγοράζειν, ἐν μὲν τοῖς στερεοῖς παράμονα μὲν σημαίνει, αὐθάδη δέ· ἐν τοῖς ἀνθρωποειδέσιν ἐπιεικῆ καὶ ὑποτακτικά, ἐν δὲ τοῖς τροπικοῖς εἰς μετάπρασιν. Πότε ὠνεῖσθαι σύγκοιτον ἤτοι παλλακήν Ὠνεῖσθαι δὲ σύγκοιτον ἤτοι παλλακὴν ἐν Παρθένῳ, Ζυγῷ, Ταύρῳ. Περὶ γάμων συγγραφῆς Τὰς δὲ τῶν γάμων συγγραφὰς ποιεῖσθαι Παρθένῳ, Ζυγῷ, Ὑδροχόῳ, Τοξότῃ· παράμονοι γὰρ οὕτως ἔσονται αἱ συμβιώσεις, τοὐναντίον δὲ Ταύρῳ, Ἰχθύσιν, Κριῷ. Θανάτῳ χωρισμός Θανάτῳ δὲ ὁ χωρισμὸς γίνεται ἐν Σκορπίῳ, καὶ μάλιστα ὅταν ἡ Σελήνη τὸ κέντρον αὐτοῦ διαπορεύηται, ἐὰν δὲ καὶ τῶν κακοποιῶν τις ἐπίδῃ, ἀδηρίτως τὸ τοιοῦτον συμβήσεται.

90 (1t) Ἀμπελῶνας καὶ κήπους σπείρειν Ἀμπελῶνας δὲ καὶ κήπους ἐν Ἰχθύσι καὶ Καρκίνῳ καὶ ἐν τοῖς ἐσχάτοις τοῦ Αἰγοκέρωτος, σπείρειν δὲ ἐν Τοξότῃ καὶ Παρθένῳ, τρυγᾶν δὲ ἐν τοῖς καθύγροις Ἀφροδίτης καὶ Ἄρεως καὶ Ἑρμοῦ ὁρώντων. Περὶ μασθοδοσίας Παρατηρεῖν δὲ ἐν ταῖς κτίσεσι κενοδρομοῦσαν τὴν Σελήνην καὶ ἐν ταῖς ἄλλαις καταρχαῖς, καὶ λειψίφωτα. ἐν ταῖς μασθοδοσίαις τῶν βρεφῶν τὸν Κριὸν φυλάττεσθαι χρή· νόσων γὰρ καὶ λειπογαλαξίας αἴτιος ἔσται. Περὶ ἀποκυήσεως Ἐὰν ἐπὶ τῆς ἀποκυήσεως εὑρεθῇ ἡ Σελήνη φερομένη πρὸς τοὺς κακοποιοὺς χωρὶς τῶν ἀγαθοποιῶν, κακῶς τὸ τικτόμενον ἀπόλλυται εἴσω ἡμερῶν ἑπτά. Θεωρήματα νόσων Ἐν δὲ ταῖς κρισίμαις τῶν νόσων ἐὰν εὑρεθῇ συνοῦσα τῷ Κρόνῳ λειψίφεγγος, θάνατον ὑπονοητέον· ἡ δὲ τοῦ θανάτου ποιότης προεγνωσμένη κατὰ τὴν γένεσιν. καὶ εἰ ἐπιταθῇ αὐτὴ τοῖς νοσοῦσι καταστοχαστέον τούτου. ὅταν δέ τις δοκῶν εὐημερεῖν καὶ ἐν ἀγαθῇ ἡμέρᾳ ἄρξηται νοσεῖν, ἐν δὲ τῇ κρισίμῳ ἡμέρᾳ μὴ ἀπαλλαγῇ ἀλλὰ παρολκὴν ἔχει κινδυνῶδες καὶ τέλους ἐπακτικὸν τὸ τοιοῦτον νοείσθω, καὶ μάλιστα ὅταν ἀστέρος οἰκοδεσπότου ἢ τοῦ ζῳδίου ἀναφορὰ συμπληροῦται, ὁμοίως δὲ ἐπὰν ᾖ ἡ Σελήνη καὶ πρὸς τοὺς ἀγαθοποιοὺς ἢ μοίρας αὐτῶν ἐν τῷ η′ ἢ τῷ ς′ (τὸ μὲν θανατικὸν ἀπέστη, τὸ δὲ τοῦ σίνους), οὐ καλή.

91 παρετηρήθη δὲ πολλάκις ἐπὶ τῶν πολυχρονίως καμνόντων ἢ καὶ αἱρουμένων τὸ ἀποθανεῖν τοῦ ζῆν διά τινας ὑπερβαλλούσας κακίας τῶν νόσων καὶ παθῶν ἢ καὶ ἑτέρας συμφορὰς πρὸς τοὺς ἀγαθοποιοὺς συνάπτουσα ἢ καὶ τῶν ἀγαθοποιῶν καλῶς σχηματισάντων πρὸς τὴν γένεσιν ἐν τῇ παρόδῳ τὰ τοιαῦτα τὴν ἀπαλλαγὴν τοῦ βίου ποιοῦνται. ὅταν δὲ ὁ τὸ σίνος σημαίνων ἀστὴρ εὑρεθῇ ἐν τῷ δυτικῷ κέντρῳ ἢ ἐν τῷ η′ (τουτέστι τῷ θανατικῷ τόπῳ) ἐξ ἐκείνου τοῦ πάθους τὴν τελευτὴν ἔσεσθαι ὁριστέον, ἐπὰν δὲ καὶ ὑπὸ ἀγαθοποιῶν μὴ θεωρῆται ὁ τοῦ σίνους καὶ πάθους σημαντικὸς ἀστήρ, ἐξ ἐκείνου τοῦ πάθους ἡ τελευτὴ ἔσται. παρεφυλάχθη δὲ καὶ τοῦτο· ταῖς μὲν εὐτυχέσι καὶ ἐν ὑπεροχαῖς γενεαῖς τὰ κακὰ μέτρια γίνεσθαι ὥσπερ ἐπὶ πόλεως τὰ ἀγαθὰ ταῖς δυστυχίαις. Πότε δεῖ καὶ τὰς ἐπεμβάσεις τῶν ἀστέρων παρατηρεῖν Παρατηρητέον δὲ ἐπὶ τῶν καταρχῶν ὡς ἐπὶ γενέσεως καὶ τὰς ἐπεμβάσεις τῶν ἀστέρων. ἑνὸς δὲ ἑκάστου εἴδους καὶ πράγματος κατὰ τὴν καταρχὴν τοὺς δοτῆρας καὶ κυρίους ἐφορατέον συσχηματιζομένους τῇ Σελήνῃ ὅπως συμφώνως καὶ τελείως ἕκαστον τῶν πραττομένων ἀποβῇ. ὅταν γὰρ ζητῶμεν περὶ ἐγγαίων ἢ ἐπιτροπῆς ἢ κληρονομιῶν, Κρόνον καλῶς κείμενον παραλαμβάνομεν, 〈περὶ βασιλειῶν δὲ καὶ ἡγεμονιῶν δηλον〉 ότι Δία, καὶ πολεμικῶν Ἄρην, ἐρωτικῶν δὲ Ἀφροδίτην, φιλιῶν καὶ πραγματειῶν Ἑρμῆν ἀκάκωτον. ἰστέον δὲ ὅτι ὅταν συνῇ τῷ Ἡλίῳ ὁ τοῦ Ἑρμοῦ, ἐμφανῆ τὰ λαθραίως πραττόμενα καθίστησιν. Λεπτομερέστερον δὲ καὶ οἱ ἀρχαῖοι ἀνέγραψαν περὶ τῶν τῆς Σελήνης μόνης ἐπεμβάσεων, ἃ καὶ αὐτὰ παρατιθέμεθα. 〈Σελήνη Κριῷ〉 Ἐν Κριῷ αὐτῆς οὔσης ὑπὲρ γῆν μετὰ μοίρας θ ἐπιτήδειον εἰς ἀποδημίαν καὶ ἀγορασίας εὐσχήμονας ποιεῖσθαι, ἀγρούς τε γεωργεῖν καὶ κουρὰν τετραπόδων καὶ θεμελίων ἀρχὰς καὶ συνθήκας καὶ δανείσματα καὶ ἱστουργίας, ἁρμόζει δὲ καὶ ταῖς φθείρειν προειρημέναις, ἐν δὲ τῇ β′ πεντεκαιδεκαμοιρίᾳ τοῖς κατὰ τὴν ἔξω ἐξουσίαν καὶ ἀρχὴν παραλαμβάνουσιν αἴσιον, ἀνάρμοστον γάμους ποιεῖν καὶ πατρῴων κτημάτων παραλήψεις ποιεῖσθαι ἐπιζήμιον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

92 (1t) Σελήνη Ταύρῳ Ἐν δὲ τῷ Ταύρῳ περὶ τὴν α′ πεντεκαιδεκαμοιρίαν αἴσιον ὁδοιπορεῖν, γεωργεῖν, σπείρειν, φυτεύειν, ὠνεῖσθαι δούλους, τετράποδα, οἰκοδομάς τε καὶ φρέατα ἐργάζεσθαι, ἀγαθόν τε ἱδρύειν βωμούς τε καὶ ἱερά, ἀρχάς τε καὶ ἐξουσίας λαβεῖν περὶ τὰ νότια κλίματα, ἐν δὲ τῇ ἄλλῃ πεντεκαιδεκαμοιρίᾳ ταῖς ἐκτιτρωσκούσαις σύμφορον, ἀβέβαιόν τε καὶ γαμεῖν καὶ τέκνα τρέφειν (τὰ γὰρ τέκνα ἐν πλάνῃ καὶ κοπιότητι ἔσται), καὶ τὸ μισθοῦσθαί τι ζημιῶδες. Σελήνη Διδύμοις Τῶν δὲ Διδύμων ἕως τοῦ ἥμισυ ἀπότρεπτον πράγματος κατάρχεσθαι, κατὰ δὲ τὸ ἄλλο ἥμισυ πράσσειν συνοίσει καὶ γαμεῖν καὶ τέκνα τρέφειν, ὠνεῖσθαί τε οἰκίας καὶ ἀγρούς, ὅρκους καὶ πίστεις ποιεῖσθαι, ἐπί τε παλαιοῖς καὶ τεθεμελιωμένοις οἰκοδομεῖν καὶ γεωργεῖν καὶ φυτεύειν, τέχνας παραδοῦναι μαθητάς, παρακαταθήκας γῇ, τιθέναι δὲ οἰκητὰς καθιστᾶν, ἀρχὴν ὑποδέχεσθαι καὶ ἐπίταγμα ἀνύειν, ἐπικίνδυνον δὲ ἐκτιτρώσκειν, ἔχθρας κατασκευάζειν, πλεῖν ἢ τόπων ἀναχωρεῖν ἢ προσώπων. Σελήνη Καρκίνῳ Ἐν Καρκίνῳ κατὰ τὸ α′ ἥμισυ αἴσιον γαμεῖν, τέκνα τρέφειν, συνωνεῖσθαι, καὶ μάλιστα δι᾽ ὑγρῶν πλεῖν ἀσφαλὲς πλὴν βραδυτῆτα ἔχον, ἐν δὲ τῷ ἄλλῳ ἡμίσει ἐχθροῖς ἐπιτίθεσθαι, δολοποιεῖν, ἁλιεύειν, κηπωρεῖν, φυτεύειν, σπείρειν, μέταλλα ὀρύγειν, ποταμοὺς καὶ φρέατα καὶ κολυμβήθρας διορύσσειν, παρακαταθήκας γῇ διδόναι, χρέη λαμβάνειν ἢ διδόναι, παραφυλάσσεσθαι δὲ τὰς ἀπὸ ξηρῶν ἐργασίας συνισταμένας, ἄρρενα δὲ σώματα πρίασθαι, ἔχθρας δὲ ἀποφυγεῖν καὶ μάχας (ἀδιάλυτοι γὰρ ἔσονται).

93 (1t) Σελήνη Λέοντι Ἐν δὲ Λέοντι ἀπὸ τῆς ι′ μοίρας τετράποδα πάντα καὶ μάλιστα τὰ μείζονα συνωνεῖσθαι καὶ διοικεῖν καλὸν καὶ ἐπιβαλέσθαι ἀρχαῖς καὶ ἐξουσίαις καὶ δανείζεσθαι, ἐπιβλαβῆ δὲ ὁδοῦ ἄρξεσθαι ἢ πλοός, οἰκέτας παραφυλάσσεσθαι καὶ ἐχθρῶν ἐπιθέσεις (τὰ δὲ ἀπολλόμενα δυσανακόμιστα ἔσται), γαμεῖν οὐκ αἴσιον οὐδὲ γυναικὶ ἐκτιτρώσκειν. Σελήνη Παρθένῳ Ἐν δὲ τῇ Παρθένῳ κάλλιστον σῖτον, χρυσόν, ἀργύριον, ἱμάτια, σώματα καὶ ὅσα πρὸς κόσμον χρήσιμα ἀγοράζειν, οἰκοδομάς τε ποιεῖσθαι παντοίας, καινοῖς τε χρῆσθαι σκεύεσι καὶ ἱματίοις, μετάλλων τε ἐνάρχεσθαι καὶ φυτεύειν καὶ σπείρειν καὶ γεωργεῖν πλὴν ἀμπέλου, γαμεῖν τε ἀπὸ χηρείας (αἱ γὰρ παρθένοι ἀσύμφοροι), καὶ τὸ μετοικίζεσθαι δὲ καὶ μισθοῦσθαι καὶ δανείζεσθαι καὶ ἐκτιτρώσκειν, πατρῷα παραλαμβάνειν, πλοῦ τε ἐνάρχεσθαι, οἶνόν τε καὶ ἔλαιον διοικεῖν οὐ συνοίσει, ἱστουργεῖν τε καὶ τίκτειν σύμφορον. Σελήνη Ζυγῷ Ἐν δὲ Ζυγῷ πάντα τὰ ἐκ δικαίου καὶ ἀγοράζειν καὶ πωλεῖν καὶ ὅσα διὰ μέτρων καὶ σταθμῶν, χρέος τε λαμβάνειν, ὁδεύειν, ἀρχὴν καὶ ἐξουσίαν λαμβάνειν καὶ μάλιστα τῶν πρὸς βορ〈ρ〉ᾶν τόπων, θεμελίους τιθέναι οἰκοδομὰς ἄνευ τοῦ στεγάζειν, ποταμοὺς δὲ αἱρεῖν, φρέατα ὀρύσσειν καὶ ἱστουργεῖν καὶ γαμεῖν καὶ φιλίας καὶ ἱλαρίας μετέχειν, ἐναντία δὲ ἀγοράζειν, οἰκίας ἢ χώρας μισθοῦσθαι ἢ μετοικίζεσθαι ὅσα τε ἀπὸ ξηρῶν συνέστηκεν ἀνάρμοστον, ἐκτιτρώσκειν δὲ ἐπικίνδυνον καὶ ταῖς αὐτομάτως τοῦτο παθούσαις.

94 (1t) Σελήνη Σκορπίῳ Ἐν δὲ τῷ Σκορπίῳ χρήσιμον ὁδοιπορεῖν, πλεῖν, ἐν δὲ ταῖς ἀγορασίαις καὶ πράσεσιν ἐπίβουλον ἐχθροῖς ἐπιτίθεσθαι, πύλας καθιστᾶν, ἱερὰ ἱδρύειν καὶ βωμόν, ἐπὶ πόλεων οἰκονομεῖν, ἀγεώργητον χώραν γεωργεῖν, φρέατα ὀρύσσειν καὶ μεταμπελεύειν καὶ παρακατατίθεσθαι γῇ, τόπους τε διαιρεῖν, τῶν δὲ σκευῶν ποτῶν κενῶν χρῆσιν ποιεῖσθαι, ὕδωρ τε ἄγειν καὶ ποταμόν. ἅπαντα δὲ ταῦτα περὶ τὴν 〈α′〉 πεντεκαιδεκαμοιρίαν συνοίσει, ἄχρηστα δὲ τὰ περὶ τὴν β′· γάμος ἐὰν γένηται ἡ νύμφη δούλοις μιχθήσεται, ἀσύμφορον δὲ κοινωνίας ποιεῖν καὶ ἰατρὸν κάμνοντι ἐπεισάγειν καὶ ἐκτιτρώσκειν ἐπισφαλές. Σελήνη Τοξότῃ Ἐν δὲ τῷ Τοξότῃ ἁρμόζει πλεῖν τοῖς ἐπὶ τὰ οἰκεῖα, εἴτε ἱπποτροφεῖα καὶ βουκολεῖα καὶ κτηνοτροφεῖα ἐπωφελές, κιχρᾶσθαί τε ἀλλότρια καὶ δανείζεσθαι καὶ τὰ ἐκτὸς ὄντα εἰς τὴν οἰκίαν ἀπολαβεῖν, ἐχθροῖς τε ἐπιτίθεσθαι ἐναργές, πατρῷα δὲ ἀπολαμβάνειν καὶ ἀλλότρια, οἰκοδομεῖν καὶ θεμελίους τιθέναι καὶ κύνας ἀγοράζειν καὶ ἁλιεύειν καὶ κυνηγεῖν καὶ ἱστουργεῖν, ἐπὶ βλάβῃ δὲ πιστεύεσθαι, δανείζειν, κιχρᾶν, ἀποδημεῖν, ὁδοῦ ἐπανέρχεσθαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(χρόνιος γὰρ ἔσται ἡ ὁδός), οὐ συμφέρει δὲ ἰατρὸν εἰσάγειν οὔτε καθαίρεσθαι οὔτε ἐκτιτρώσκειν.

95 Σελήνη Αἰγοκέρωτι Ἐν δὲ Αἰγοκέρωτι ἁρμόζει θρέμματα συνωνεῖσθαι καὶ πιπράσκειν καὶ ἐμπορεύεσθαι καὶ πλεῖν καὶ πετεινὰ ὠνεῖσθαι καὶ θηρᾶν καὶ φρέατα ὀρύσσειν καὶ τὰ ἐμπεφραγμένα διανοίγειν καὶ τοίχους ἀνεγείρειν, τά τε κατὰ τὴν οἰκίαν ἐνάρχεσθαι καλόν, φιλίᾳ τε κοινωνεῖν καὶ ἐξ ἀποδημίας εἰς τὰ οἰκεῖα ἐπανέρχεσθαι κατά τε γῆν καὶ θάλατταν, τέχνην τε διδάσκειν καὶ μουσικά, κοινοῖς τε ἀφροδισίοις χρῆσθαι καὶ ἱστουργεῖν, ἐπικίνδυνον δὲ ταῖς ἐκτιτρωσκούσαις καὶ ὁδοῦ ἐνάρχεσθαι ἐπισφαλές. Σελήνη Ὑδροχόῳ Ἐν δὲ Ὑδροχόῳ πλοῦ καὶ ὁδοιπορίας καὶ ὅσα δι’ ὑγρῶν καὶ σταθμῶν συνωνεῖσθαι, οἰκοδομεῖν καὶ κοσμεῖν οἰκίας καὶ τὰ ἐμπεφραγμένα ἀνοίγειν, κοινοῖς χρῆσθαι, γεωργεῖν, φυτεύειν, σπείρειν, ὀρύσσειν φρέατα καὶ ποταμὸν καὶ κολυμβήθρας καὶ ὅσα ἐν γῇ κατετέθη, ἱστουργεῖν, ἀκίνδυνόν τε ταῖς ἐκτιτρωσκούσαις· ὀμνύναι ἢ πράσσειν τι ἄδικον οὐκ ἐπιτήδειον, ὁρκίζειν δὲ καὶ πᾶν ὅπερ τοῦ δικαίου ἔχεται πράττειν ἀκώλυτον. Σελήνη Ἰχθύσιν Ἐν δὲ τοῖς Ἰχθύσιν οὔσης τῆς Σελήνης καὶ πλοῦ κατάρχεσθαι καὶ ὁδοῦ καὶ συνωνεῖσθαι καὶ ἐμπορεύεσθαι κατά τε γῆν καὶ θάλατταν καὶ ὅσα ἐξ ὑγρῶν καὶ μάλιστα ὅσα ἐκ θαλασσίας παρασκευῆς παιδὶ ἑκάστῳ κτᾶσθαι καὶ τὰ πρὸς ἁλείαν καὶ θήραν καὶ στρατείαν ἑτοιμάζεσθαι, ἐπιτίθεσθαί τε καὶ μάχεσθαι καὶ ἰξεύειν καὶ κοινωνίας κατάρχεσθαι καὶ φιλίας, γαμεῖν τε καὶ ὅσα πρὸς ἰσότητα συμφέρει εἰ καὶ ἡ γαμηθεῖσα λοίδορός τις καὶ λάλος καὶ μοιχάς, φυλάσσεσθαι δὲ δεῖ οἰκοδομεῖν.

96 τὰ δὲ προειρημένα πάντα ἐναργέστερα γίνεται πρός τε ὠφέλειαν ἢ κάκωσιν ἀπὸ τῆς κοινωνίας τῶν ἄλλων ἀστέρων· οὐ γὰρ μόνον χρὴ τὴν τοπικὴν στάσιν τῆς Σελήνης διακρίνειν, ἀλλὰ καὶ τὰς μαρτυρίας Ἡλίου τε καὶ τῶν πέντε ἀστέρων. Ἔμπρακτοι δὲ ἡμέραι νοοῦνται ὅταν γένηται ἡ Σελήνη ἐν τῷ κατὰ γένεσιν ζῳδίῳ ἢ κατὰ τρίγωνον αὐτοῦ σὺν ἀγαθοποιοῖς ἢ καὶ ἐν παντὶ ζῳδίῳ μετὰ τῶν ἀγαθοποιῶν ἀπόντων τῶν φθοροποιῶν πλὴν πανσελήνου καὶ συνόδου· καὶ αἱ ὧραι δὲ ἔμπρακτοι γίνονται ὁπόταν ὡροσκοπῇ τὸ τῆς γενέσεως ζῴδιον ἢ καὶ κατὰ τρίγωνον σχηματίζηται ἢ καὶ συναναφέρηται τῷ ὡροσκόπῳ, τουτέστιν ἵνα ᾖ ἐν τῷ βίῳ. β′. Περὶ τοῦ ποταπὸν ἕξει τέλος ἕκαστον τῶν πραττομένων Ἐπισκέπτου τῆς Σελήνης τὰ φῶτα καὶ τὸν δεσπότην τοῦ οἴκου ἐν ᾧ ἐστιν, ἔτι μὴν καὶ τὸν ὡροσκόπον τῆς καταρχῆς καὶ τὸ μεσουράνημα. ἐὰν οὖν ἡ Σελήνη τύχῃ ἐπί τινος τούτων τῶν κέντρων διοδεύουσα, ὁ δὲ οἰκοδέκτωρ αὐτῆς ἐν τοῖς ἀποκλίμασιν, ἔσται τὰ κατ’ ἀρχὴν τοῦ πράγματος λαμπρά, τὰ δὲ τέλη σκοτεινὰ καὶ ἄχρηστα, ἐὰν δὲ πάλιν ἡ Σελήνη μὲν ἐν τοῖς ἀποκλίμασιν ᾖ, ὁ δὲ κύριος τοῦ αὐτῆς οἴκου ἐν τοῖς κέντροις, τὰ κατ’ ἀρχὴν οὐδαμινὰ καὶ ἄχρηστα, τὰ δὲ τελευταῖα λαμπρά. εἰ δὲ καὶ ἄμφω εἶεν ἐν τοῖς κέντροις καὶ τὰ πρῶτα καὶ τὰ τελευταῖα καλά, εἰ δὲ ἄμφω ἐν τοῖς ἀποκλίμασιν ὁμοίως ἡ ἀρχὴ καὶ τὸ τέλος ἄχρηστον. καὶ ἐπὶ τοῦ Ἡλίου δὲ καὶ τοῦ οἰκοδεσπότου αὐτοῦ ὁμοίως τῇ Σελήνῃ σκέπτου, καὶ μάλιστα ἐπὶ τῶν ἡμερινῶν γενέσεων.

97 Χρὴ δὲ καὶ τὰς συναφὰς τῆς Σελήνης ὁρᾶν τὰς πρὸς τοὺς ἀστέρας γινομένας. [ἐὰν γὰρ πρώτοις μὲν τοῖς ἀγαθοποιοῖς συνάπτῃ, ὕστερον δὲ τοῖς κακοποιοῖς, τὰ μὲν πρῶτα ἔργα ἀγαθὰ ἐκβήσεται, τὰ δὲ τελευταῖα οὐκ ἀγαθά, ἐὰν δὲ πάλιν ᾖ αἱ μὲν ἀρχαὶ ἀγαθαί, τὰ δὲ τέλη φαῦλα. ἐὰν δὲ ἥ τε πρώτη συναφὴ καὶ ἡ δευτέρα πρὸς ἀγαθοποιοὺς γένηται πάντα ἔσται τά τε πρῶτα καὶ τὰ τελευταῖα ἀγαθά, ἐὰν δὲ πρὸς κακοποιούς, ἀμφότεραι δηλονότι, πάντα κακά. ἐὰν δὲ οἱ ἀγαθοποιοὶ ὦσιν μετὰ τῆς Σελήνης, οἱ δὲ κακοποιοὶ μετὰ τοῦ ὡροσκόπου, αἱ μὲν καταρχαὶ τοῦ ἔργου κακαί, τὰ δὲ τέλη ἀγαθά, ἐὰν δὲ ἔμπαλιν ᾖ αἱ μὲν ἀρχαὶ ἀγαθαί, τὰ δὲ τέλη φαῦλα. ἐὰν δὲ ἐπί τινος κέντρου γένηται ἡ πρὸ τῆς καταρχῆς συζυγία ἢ ἐν ἀγαθοποιοῦ ἀστέρος ζῳδίῳ ἢ μοίραις ἢ παρουσίᾳ ἢ σχήματι μεγίστας καὶ εὐδαιμονεστάτας δηλώσει τὰς πράξεις ἄχρι τέλους.] παρατηρητέον δὲ καὶ τὸν κλῆρον τῆς τύχης ἐν πάσῃ καταρχῇ καὶ τοὺς ἀγαθοποιοὺς θετέον σὺν αὐτῷ ἢ ἐποπτεύοντας αὐτόν. γ′. Περὶ κτίσεως καὶ οἰκοδομιῶν Ἐὰν βουληθῇ τις εὐδαίμονα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πόλιν κτίσαι καὶ παράμονον, ὁμοίως δὲ ναῶν τε καὶ οἴκων καὶ τειχῶν οἰκοδομίας καταβαλέσθαι, ἐπιτηρείτω τὴν Σελήνην ἐν τῷ βασιλικῷ τριγώνῳ παροδεύουσαν κατὰ τὸν καιρὸν καὶ τὴν καταρχὴν τῆς περιγραφῆς ἤτοι θεμελιώσεως καὶ ὑπὸ πάντων τῶν ἀστέρων καλῶς μαρτυρουμένην· οὕτω γὰρ τυχοῦσα ὑπὸ μεγίστων βασιλέων ἤτοι ἀρχόντων τὸ κτίσμα καὶ τὴν τούτου ἐπιμέλειαν καὶ φροντίδα ἔσεσθαι μηνύει καὶ ἐνδιαίτημα βασιλέων καὶ θεοῖς προσφιλές, ἐπίσημόν τε καὶ ἔνδοξον καὶ πολυχρόνιον.

98 ἢν τύχῃ δ' ἀπολειπόμενός τις τῶν ἀστέρων τῆς προσφόρου μαρτυρίας, τὸ ἐνδεὲς περὶ τὴν πόλιν ἐσόμενον ἐντεῦθεν συνοραθήσεται· τοῦ μὲν γὰρ Ἄρεως ἀποκεκλικότος καὶ ἀποστρόφου τυγχάνοντος τῇ καταρχῇ ἐνδεὴς ἔσται ὅπλων καὶ ἀσθενήσει περὶ τὰ πολεμικά, τῆς δὲ Ἀφροδίτης ὁμοίως ἀσυνδέτου τυχούσης χαρίτων καὶ τρυφῆς καὶ ἀστειότητος ἐκτὸς ἔσται καὶ τοῦ φιλεῖσθαι, ἢν δὲ ἀπὸ Διὸς ἀθεώρητος ἡ καταρχὴ γένηται εὐεπηρέαστος ἔσται, οὐδεμιᾶς [ἐκβάσεως] φροντίδος ἢ κηδεμονίας μετέχουσα, τοῦ δὲ Ἑρμοῦ ἀσυσχηματίστου ὄντος οὐ φρόνησις, οὐ λόγων ἄσκησις ἐν αὐτῇ ἔσται. Εἰ δὲ συμβαίη ἐναντιοῦσθαι τὸν τοῦ Ἄρεως ἢ τὸν τοῦ Διὸς τοῖς φωστῆρσι καὶ πολέμων πειραθήσεται ἡ πόλις, καὶ μάλιστα ὅταν κατὰ τῶν τετραγώνων γένηται ἡ Σελήνη κατὰ τὸν τοῦ διαστήματος πρὸς ἀναφορὰν χρόνον (τουτέστι τοῦ ζῳδιακοῦ μοίρας ϙ ), συμβαίνει δὲ μὴ πάντας τοὺς ἐνοικοῦντας θανάτῳ ἢ λαφυραγωγίᾳ καὶ δουλείᾳ ὑποπίπτειν τῷ μὴ πάντα τὰ κατασκευάσματα αὐτῆς καὶ τὴν κτίσιν ὑπὸ μίαν καιροῦ ῥοπὴν τὴν καταρχὴν λαμβάνειν. ὥσπερ δὲ ἐπὶ τῶν γενέσεων ἡ τετράγωνος πλευρὰ τὸ τέλος τῆς ζωῆς ἐπιτίθησιν, τότε εἴωθε συμπληροῦσθαι τὰ χρονικὰ καὶ ἀπόλλυσθαι παντελῶς ἡ κατασκευασθεῖσα πόλις ὁπηνίκα σύμπαντες οἱ κακοποιοὶ κατὰ τὸ τετράγωνον τῆς Σελήνης βιαιότερον τὰς ἀκτῖνας ἐπιφέρωσιν· συμβαίνει γὰρ οὕτως ἐπαύξεσθαι τὰ τῆς συμφορᾶς κατὰ δύο τρόπους συμπίπτοντα, ἔκ τε τῆς κακώσεως τοῦ τετραγώνου καὶ τῆς κατὰ πῆξιν τῆς Σελήνης στάσεως.

99 τὰ δ' αὐτὰ ἀποτελεσθείη καὶ τῶν ρπ μοιρῶν τῆς ἀναφορᾶς συμπληρουμένης ἢ καὶ ἕως τετραγώνου ἢ συμπληρουμένου παντὸς τοῦ κύκλου, ἢν δὲ καὶ ἀκάκωτα τύχῃ τὰ τετράγωνα ὑπὸ τῆς τῶν κακοποιῶν παρόδου καὶ δευτέρου κύκλου καὶ τρίτου ἐφάψεται μερικῶς τὰ συμπτώματα τῶν κακώσεων ὑπομένουσα. Ἔστι δὲ καὶ ἑτέρα κάκωσις ὁπόταν ἔκλειψιν ὑπόγειον ἡ Σελήνη τύχῃ πεποιημένη τῆς καταρχῆς καὶ τῆς κατασκευῆς ἐν τῷ μεταξὺ τῆς ἐπιούσης συνόδου γεγενημένης καὶ τῆς Σελήνης κατὰ τοῦτον τὸν χρόνον πρὸς τοὺς κακοποιοὺς σχηματιζομένης ἢ κατὰ τὸν χρόνον τῆς πανσελήνου. συμβαίνει γὰρ κατὰ τὴν τοιαύτην καταρχὴν σεισμοῖς ἀπόλλυσθαι, συνεχέστερον δὲ τὰς οὕτω γινομένας πόλεις βλάπτεσθαι· ἐπὶ μὲν τοῦ διὰ Κριοῦ τριγώνου πυρώδους ὄντος ἀπὸ πυρός, ἐπὶ δὲ τοῦ διὰ Ταύρου γεώδους ὄντος ὑπονοητέον τὰς ἀπὸ γῆς καὶ γεωργίας βλάβας ἢ ὠφελείας κατὰ τοὺς τῶν σχηματισμῶν ὅρους, ἐπὶ δὲ τοῦ διὰ Διδύμων τριγώνου ἀερώδους ὄντος τὰς ἐξ ἀέρων ὠφελείας ἢ βλάβας, ἐπὶ δὲ τοῦ διὰ Καρκίνου ὑδατώδους ὄντος τὰς ἐξ ὑγρῶν ὠφελείας ἢ βλάβας. καὶ οἱ κτίζοντες δὲ καὶ τὴν φροντίδα τῆς κατασκευῆς ἀνειληφότες κατὰ τὴν τῶν οἰκοδεσποτῶν φύσιν τῆς ἀξίας καὶ τῶν ἠθῶν μεθέξουσιν. δʹ.

100 (1t) Περὶ μετοικισμῶν Μετοικίζεσθαι δὲ δεῖ καὶ μεταβαίνειν τῆς Σελήνης οὔσης μετὰ τῆς τῶν ἀγαθοποιῶν μαρτυρίας ἐν τοῖς ἀνθρωποειδέσι ζῳδίοις, καὶ ἐν Καρκίνῳ δὲ ἄμεινον διὰ τὸ οἶκον αὐτῆς εἶναι. [Εἰ δὲ καὶ βούλεσαι διαγνῶναι εἰ συμφέρει σοι οἰκίσαι ἐν τόπῳ ᾧ ἂν ἐθέλῃς, ὅταν καταλάβῃς ἐκεῖσε σκόπει τὸ μεσουράνημα ὁποῖον ζῴδιόν ἐστιν. καὶ ἐάν ἐστι τῶν φωτεινῶν ζῳδίων καὶ τῶν ἡμερινῶν, ἐστὶ δὲ εἰς τὸ αὐτὸ μεσουράνημα καὶ κακοποιός, γνῶθι ὅτι καταντᾷ σοι ἐκεῖσε καλά. εἰ δέ ἐστιν εἰς τὸ μεσουράνημα κακοποιὸς καὶ καλοποιός, καταντᾷ σοι ἐκ τῆς γῆς ἐκείνης χρῆμα, κἀκεῖ ἐκβαλεὶς αὐτὸ ἐξέρχῃ [δὲ] ἐκεῖθεν ἔχων τὸ αὔταρκες.] 〈εʹ〉 Περὶ ναυπηγίας Περὶ δὲ πλοίου συνωνῆς ἢ ναυπηγίας τὴν μὲν πρύμναν τῇ ἀνατολῇ μεριστέον, τὸν

δὲ ἱστὸν καὶ τὰ μέσα τοῦ πλοίου τῷ μεσουρανήματι, τὴν δὲ πρῷραν τῇ δύσει, τὴν δὲ τρόπην καὶ τὰ περὶ αὐτὴν τῷ ὑπογείῳ· καθ' ὃ δὲ εὑρεθεῖεν οἱ κακοποιοὶ τοῦ διαθέματος τιθέντος, κατ' ἐκεῖνο τὸ μέρος δεῖ λογίζεσθαι συνωθήσεσθαι τὸ πλοῖον. ἐπιτηρεῖν δὲ χρὴ τοὺς ἀγαθοποιοὺς ἐν τῷ ὑπογείῳ ἢ μαρτυροῦντας τῷ τόπῳ, ἔστω δὲ τὸ ὑπόγειον ἐν τοῖς ζῳδίοις τοῖς δυναμένοις νήχεσθαι—οἷον Ταύρῳ, Διδύμοις, Καρκίνῳ, Παρθένῳ, Τοξότῃ, Ἰχθύσιν, καὶ Αἰγόκερω ταῖς ἐσχάταις μοίραις· ὁ δὲ Ταῦρος κρεῖττον πάντων, μετ' αὐτὸν δὲ οἱ Ἰχθύες, εἶτα οἱ Δίδυμοι. τὸν δὲ Ἥλιον λάμβανε τρίγωνον τῇ ὥρᾳ, τὴν δὲ Σελήνην αὔξουσαν τοῖς φωσὶ καὶ τοῖς ἀριθμοῖς καὶ τῷ πλάτει καὶ μαρτυρουμένην ὑπὸ ἀγαθοποιῶν, φυλάττου δὲ τῶν κακοποιῶν τὰς πρὸς αὐτήν τε καὶ τὸν Ἥλιον παρουσίας ἢ ἀκτινοβολίας.

101 〈ϛ'〉 Περὶ ἀποδημίας Ὁ μέλλων ἀποδημεῖν ἐκ τοῦ ὡροσκόπου κριθήσεται, ὁ δὲ τόπος ἔνθα μέλλει ἀπέρχεσθαι ἐκ τοῦ δύνοντος, ἡ δὲ πρᾶξις ἐκ τοῦ μεσουρανήματος, τὸ δὲ συμπέρασμα τῆς ἀποδημίας ἐκ τοῦ ὑπογείου. σκόπει τοίνυν εἰ οἱ ἀγαθοποιοὶ ἀστέρες σὺν τῷ Ἑρμῇ ἐπὶ τοῦ ὡροσκόπου ἢ ἐπὶ τοῦ δυτικοῦ κέντρου εἶεν καλὰ καὶ ἐπίδοξα τὰ τοῦ ἀποδημοῦντος σημαίνουσιν, οἱ δὲ κακοποιοὶ τοὐναντίον. ἐπισκέπτου δὲ καὶ τὸν κύριον τῆς Σελήνης καὶ τὸν κύριον τοῦ ὡροσκόπου ἵνα μὴ κακὰς φάσεις ἔχωσιν οἷον στηριγμούς, ἀναποδισμούς, δύσεις· οἱ γὰρ στηρίζοντες ἢ ἀναποδίζοντες ἢ δύνοντες χρονίας καὶ ἀμαυρὰς καθόλου ποιοῦσι τὰς πράξεις. Συμφορώτατον δὲ ἀποδημεῖν τῆς Σελήνης αὐξιφωτούσης καὶ προσθετικῆς οὔσης τῷ τε φωτὶ καὶ τοῖς ἀριθμοῖς κατά τε μῆκος ἢ πλάτος, ἀπεστραμμένων τῶν φθοροποιῶν καὶ συνόντων ἢ μαρτυρούντων τῶν ἀγαθοποιῶν τῇ τε Σελήνῃ καὶ τῷ ὡροσκόπῳ· οὕτω γὰρ τυχόντες ἥδιστα τὰ τῆς ὁδοῦ καὶ τοῦ πλοῦ γίνεται, καὶ μάλιστα καὶ Ἑρμοῦ συμπαρόντος ἀκακώτου ἐπὶ ἑῴας ἀνατολῆς. καθόλου γὰρ ἐπὶ ἀποδημίας τὸν τοῦ Ἑρμοῦ δεῖ σκοπεῖν. κυρίως δὲ τοῖς πλέουσι κοινῶς ὅ τε ὡροσκόπος καὶ ἡ Σελήνη χωρὶς τῶν πέντε πλανητῶν, οὕτω τυχοῦσα σύμφορος.

102 καὶ ἐν Διδύμοις συνοίσει (εἰ καὶ βραδυνὰ τὰ κατὰ τὸν πλοῦν) καὶ ἐν Καρκίνῳ δὲ καὶ ἐν Αἰγοκέρῳ καὶ ἐν Ὑδροχόῳ. ἐν δὲ Ἰχθύσι σύμφορον τοῖς εἰς πόλεμον ἐξιοῦσιν. χρὴ δὲ ἐπιλεξάμενον τὸ ἁρμόζον ζῴδιον τῇ ἀποδημίᾳ ἐφαρμόζειν αὐτὸ τῇ τῶν ἀγαθοποιῶν μαρτυρίᾳ πρὸς αὐτό τε καὶ τὰ κέντρα, καὶ οὕτω κατάρχεσθαι. ζ'. Περὶ ἀποδημίας καὶ ἄλλως πλατύτερον Ὁ μέλλων ἀποδημεῖν ἐκ τοῦ ὡροσκόπου κριθήσεται, ὁ δὲ τόπος ἔνθα μέλλει ἀπέρχεσθαι ἐκ τοῦ δύνοντος, ἐκ δὲ τοῦ μεσουρανήματος ἡ πρᾶξις, τὸ 〈δὲ〉 συμπέρασμα τῆς ἀποδημίας ἐκ τοῦ ὑπογείου. ἐπιζητοῦ οὖν τοὺς ἀγαθοποιοὺς τῶν ἀστέρων ποίαν στάσιν ἔχουσι καὶ ποῖα σχήματα· ἀγαθὸν γὰρ καθολικῶς μηδενὸς τῶν ἀστέρων στηρίζοντος καὶ συσχηματιζομένου τῇ Σελήνῃ τὰς ἐκδημίας ποιεῖσθαι, συμφορώτατον δὲ ἀποδημεῖν τῆς Σελήνης αὐξιφωτούσης καὶ προσθετικῆς τοῖς ἀριθμοῖς κατά τε μῆκος καὶ πλάτος. Παραφυλάσσειν δὲ τὰ κέντρα χρή. καὶ ἐν μὲν τῷ ὡροσκόπῳ ἀγαθοποιῶν ἀστέρων ὄντων ἢ καὶ μαρτυρούντων αὐτῷ ἥδιστα τὰ τῆς ὁδοῦ ἢ τὰ τοῦ πλοῦ ἔσται, συνόντος δὲ τοῦ Ἑρμοῦ αὐτοῖς καὶ ἐπὶ ἑῴας ἀνατολῆς ταχέως καὶ εὐθυδρόμως πράξει τις ὑπὲρ ὧν τὴν ἐκδημίαν ποιεῖται. καθόλου γὰρ ἐπὶ ἀποδημίας τὸν Ἑρμῆν δεῖ σκοπεῖν μὴ ἀφαιρῇ ἢ ὕπαυγος ᾖ ἢ ὑπὸ κακοποιῶν βλάπτηται καθ' οἱονδήποτε σχῆμα, καὶ ὅτε δέ τις μέλλει εἰς πόλιν εἰσιέναι ἢ εἰς πλοῖον τὸν Ἑρμῆν δεῖ παρατηρεῖσθαι, καὶ ὅταν μέλλῃ ἐκ πλοίου ἐξιέναι καταγόμενος τὸ αὐτὸ δεῖ παρατηρεῖν.

103 ἐν δὲ τῷ δυτικῷ τυχόντος τοῦ Ἑρμοῦ καὶ μαρτυρουμένου ὑπὸ Διὸς ἢ Ἀφροδίτης βελτίω καὶ ἐπικερδῆ ταῦτα ἔσται καὶ ἀξιόλογα, Ἄρεως δὲ καὶ Κρόνου ἐπὶ τοῦ δύνοντος ὄντων ἢ μαρτυρούντων αὐτῷ τῷ ζ' τόπῳ ἀσθένειαι σωματικαὶ καὶ ἐποχαὶ καὶ ζημίαι γενήσονται. Ἐκ δὲ τῶν θεωρούντων ἀστέρων τὸ μεσουράνημα ἢ καὶ ἐπόντων τὸ πρᾶγμα οὗ χάριν ἡ ἐκδημία γίνεται γνωσθήσεται, τὸ δὲ τέλος ἐκ τοῦ ὑποχθονίου, τὸ κῦρος δὲ πάντων ἐκ τῶν συσχηματισμῶν, μάλιστα τῆς Σελήνης, τελειοῦται, ἣν ἀπογραφευτέον πρὸς τὰς ἐξόδους

κακοδαιμονοῦσαν ἢ κακοτυχοῦσαν· οὐ μόνον γὰρ δυσπραξίας αἰτία, ἀλλὰ καὶ πημάτων ὑπουργός. οἱ οὖν ἀγαθοποιοὶ ὡροσκοποῦντες ἐν πᾶσι τὴν καταρχὴν κακὴν ποιοῦσιν, οἱ ἀγαθοποιοὶ ἐν τῷ ζʹ τόπῳ ὄντες ἐν ταῖς ἀποδημίαις ἐπικερδῆ καὶ ἐπίδοξον τὴν ἀποδημίαν μαντεύονται εἶναι. σκοπεῖν δὲ δεῖ καὶ τὸν κύριον τῆς Σελήνης καὶ τὸν κύριον τοῦ ὡροσκόπου ἵνα μὴ κακὰς φάσεις ἔχωσιν οἷον στηριγμούς, ἀναποδισμούς, δύσεις· οἱ γὰρ στηρίζοντες χρόνου πολλοῦ καὶ βραδυτῆτος αἴτιοι γίνονται, οἱ δὲ ὕπαυγοι ἀμαυρὰς τὰς πράξεις ποιοῦσιν. καθολικῶς δὲ ἐκ παρατηρήσεως ἐν τῷ δυτικῷ κέντρῳ τυχοῦσα ἡ Σελήνη 〈ἢ〉 ἐν τῷ ἀποκλίματι μακρὰς τὰς ἀποδημίας παρέχει, τοῖς δὲ ἀποξένοις εἰς τὰ οἰκεῖα ἐρχομένοις τὸ αὐτὸ τοῦτο τὸ σχῆμα τῆς Σελήνης ταχείας τὰς ἀναστροφὰς δηλοῖ. παραφυλάσσεσθαι δὲ καὶ τετραγωνίζοντας ἢ διαμετροῦντας τὴν Σελήνην τοὺς κακοποιοὺς δεῖ, τῶν δὲ ἀγαθοποιῶν ἀνακραθέντων αὐτοῖς ἀνώμαλον καὶ ἀναμφήριστον τὸ τῆς ἀποδημίας δηλοῖ. Ἐπισκοπήσαντας δὲ τὰ κέντρα ἐφορᾶν χρὴ τοὺς μέλλοντας τῶν ἀστέρων ἐκβαίνειν ἐν οἷς εἰσι ζῳδίοις· οὕτω γὰρ αἵ τε ἔξοδοι καὶ ἀποδημίαι μηνυθήσονται, καὶ αἱ ἐπανελεύσεις ἐκ τοῦ ἐπισκοπεῖν πότερον ἐξ ἀλλοτρίου εἰς ἴδιον οἶκον ἢ ὕψωμα μεταβαίνουσιν ἢ ἔμπαλιν· ἐκ τούτου γὰρ καταφανὲς ἔσται τὸ τῆς ἐπιδημίας καὶ τῆς ἐπανελεύσεως.

104 καὶ οἱ μὲν στηριγμοὶ τὰς ἐπιμονὰς δηλοῦσι καὶ ἐπιστροφὰς ὥσπερ ἡ δύσις θανάτους ἢ πάντῃ ἀπραγίας, αἱ δὲ ἀνατολαὶ ταχυτάτας τὰς ἀποδημίας ποιοῦσιν, δηλαδὴ τῶν τῆς Σελήνης σχηματισμῶν καὶ τῶν κέντρων τῆς καταρχῆς ἐχόντων μαρτυρίαν καὶ λόγον πρὸς τοὺς προειρημένους. Ἐπιτηρητέον δὲ μάλιστα τὴν Σελήνην διαμετροῦσαν τὰ κάθυγρα τῶν ζῳδίων ἢ καὶ ἐποῦσαν ἢ καὶ ὑπὸ κακοποιῶν θεωρουμένην κατὰ τὰ κραταιὰ σχήματα, τουτέστι τετράγωνα καὶ διάμετρα· χαλεπώταται γὰρ αἱ τοιαῦται καταρχαὶ ταῖς ναυσὶ καὶ τοῖς πλέουσιν. ἐπὰν δὲ ἡ Σελήνη μὲν κακωθῇ, τὰ δὲ κάθυγρα τῶν ζῳδίων ὑπὸ τῶν ἀγαθοποιῶν μαρτυροῦνται, αὔτανδρον μὲν τὸ σκάφος οὐ φθαρήσεται, οἱ πολλοὶ δὲ τῶν ναυτῶν σωθήσονται διαλυθέντος τοῦ σκάφους, καὶ τακτοῖς ἕκαστος ἐπανελεύσεται χρόνοις εἰς τὰ οἰκεῖα κατὰ τὴν τῆς ἐπιβάσεως εἰς τὴν ναῦ〈ν〉 σύγκρισιν. ἡ μὲν γὰρ ἀναγωγὴ τὰ κατὰ τὴν θάλασσαν καὶ τὸν πλοῦν σημαίνει, ἡ δὲ ἐπίβασις εἰς τὴν ναῦ〈ν〉 τὰ καθ’ ἕνα ἕκαστον τῷ τάχει τῆς μεταπτώσεως τῶν κέντρων ἀλλοιοῦσα τὰ πράγματα· ἐπὶ δὲ τῶν ὁδευόντων ὁμοίως τὰ χερσαῖα καὶ τὰ τετράποδα τῶν ζῳδίων ἐπισκοπεῖν χρή. ἐπίμονα δ’ ἔσται πολλῷ μᾶλλον τὰ κακὰ ὁπόταν οἱ κακοποιοὶ ἐν αὐτοῖς στηρίξωσι μετὰ καὶ τοῦ παλινδρομιῶν τινων ἢ νόσων ποιῆσαι πειραθῆναι. Κυρίως δὲ τοῖς πλέουσι κοινώσῃ ὅ τε ὡροσκόπος καὶ ἡ Σελήνη χωρὶς τῶν ε πλανητῶν, οὕτω τυχοῦσα σύμφορος. ἐν Διδύμοις συνοίσει (εἰ καὶ βραδυνὰ τὰ κατὰ τὸν πλοῦν) καὶ ἐν Καρκίνῳ καὶ ἐν Αἰγόκερῳ καὶ Ὑδροχόῳ καὶ Ἰχθύσιν. ἀσύμφορον δὲ ἐν Κριῷ· οὐ μόνον πλοῦ, ἀλλὰ καὶ ἐμπορίας κατάρχεσθαι ἀηδές (ὁ δὲ Δωρόθεος οὐ δέχεται τοῦτο), παρατηρητέον δὲ καὶ ἐν Τοξότῃ καὶ Λέοντι τοῖς μὴ ἐκ τῆς ἰδίας ἐκδημοῦσιν. μὴ ἔστω καὶ ἡ Σελήνη λείψηφος μηδὲ ἐν συνόδῳ μετὰ Κρόνου ἢ ἐν πανσελήνῳ μετὰ Ἄρεως. Τὰς δὲ πορείας ποιεῖσθαι αὐτῆς ἐν Κριῷ σύμφορον (ταχέως γὰρ ὑποστροφὴ γίνεται), συνοίσει δὲ καὶ ἐξ ἀποδημίας εἰς τὰ οἰκεῖα ἐπανιέναι.

105 καὶ ἐν Ταύρῳ δὲ καλὸν ὁδοῦ κατάρχεσθαι καὶ ἐπανιέναι οἴκοι. ἐν Διδύμοις χρόνιος ἡ ἀποδημία ἔσται. ἀπὸ ξένης εἰς τὰ οἰκεῖα κατάρχεσθαι συνοίσει ἐν Καρκίνῳ ὁμοίως τοῖς Διδύμοις. φυλάσσεσθαι δὲ ἐν Λέοντι τὸ ἀποδημεῖν εἴσω τῶν ιε ἡμερῶν, ἀπὸ δὲ μοιρῶν ιε ἕως τριάκοντα ἧττον κακόν. ἐν Παρθένῳ καλὸν εἰς τὰ οἰκεῖα ἐπανιέναι. ἐν Ζυγῷ μετὰ τὰς πρώτας μοίρας καλόν. ἐν Σκορπίῳ τὸ ὁδοιπορεῖν καὶ εἰς τὰ ἴδια ἐπανιέναι σύμφορον. ἀνάρμοστον δὲ ἐν Τοξότῃ (πλάνη γάρ τις ἔσται), ἐπανελθεῖν δὲ εἰς τὰ οἰκεῖα καλὸν ὁμοίως ἐν Αἰγόκερῳ καὶ Ὑδροχόῳ. ἐν δὲ Ἰχθύσι σύμφορον τοῖς εἰς πόλεμον ἐξιοῦσιν. χρὴ δὲ ἐπιλεξάμενον τὸ ἁρμόζον ζῴδιον τῇ ἀποδημίᾳ ἐφαρμόζειν αὐτὸ τῇ τῶν ἀγαθοποιῶν μαρτυρίᾳ πρὸς αὐτό τε καὶ τὰ κέντρα καὶ οὕτω κατάρχεσθαι. Ἐπετήρησαν δὲ μερικῶς τὰ κατὰ τὸν πλοῦν ἢ τὴν ὁδὸν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπέγνωσαν οὕτως· συνάγοντες γὰρ τὰ σημεῖα τῆς πορείας ἢ τοῦ πλοῦ τὰ στάδια καὶ μερίσαντες εἰς ἓξ μερίδας, ὡς ἑκάστῳ τῶν ζῳδίων ἀπὸ τοῦ ἀνατέλλοντος μέχρι τοῦ δύνοντος ἐπιβάλλει 〈ν〉 μερίδα μίαν, ἀπονέμουσι τῷ ὡροσκόπῳ τὴν πρώτην ἵνα σημαίνῃ τὸ πρῶτον ἑκτημόριον τοῦ διαστήματος τῆς ὁδοῦ, τὴν δὲ δευτέραν μερίδα τῷ κακοδαιμονήματι, καὶ ἑξῆς ἐπὶ τὰ προηγούμενα ἕκαστον ἑκτημόριον διδόασιν, τὴν δὲ τελευταίαν ὁμοίως τῷ δύνοντι δηλοῦντι τὸ κατάλυμα καὶ τὰ τελευταῖα τῆς ὁδοῦ. ἔπειτα τὴν τῶν ἀστέρων κοινωνίαν πρὸς ἕκαστον τόπον ἐπιτηροῦσιν· τῶν μὲν γὰρ ἀγαθοποιῶν μαρτυρούντων ἀγαθὰ καὶ εὐοδίαν μηνυτέον, τῶν δὲ κακοποιῶν ὁμοίως τοὐναντίον, τῶν στηριγμῶν δηλούντων κατοχὴν καὶ ἀναποδισμὸν καὶ δυσχερείας ἐν τοῖς τόποις ἐν οἷς ἀναλόγως πρὸς τὰ ἑκτημόρια συμβαίνει τοῦ πλοῦ ἢ τῆς ὁδοιπορίας ἀπὸ τῆς τῶν ζῳδίων διαστάσεως, τοῦ δὲ τοῦ Ἄρεως ναυαγίου αἰτίου τυγχάνοντος, καὶ μάλιστα τοῦ κατὰ κορυφὴν τόπου παρ’ αὐτοῦ βλαπτομένου.

106 Καὶ ταῦτα μὲν ὁ Νικαεὺς Πρωταγόρας, ὁ δὲ Δωρόθεος ἐν τοῖς ἔπεσι περὶ ἀναγωγῆς καὶ πλοῦ οὕτω λέγει. Σελήνη ὑπὸ γῆν οὖσα ἀμαρτύρητος ὑπό τινος τῶν πέντε πλανωμένων καθ’ ἑαυτὴν ὁρωμένη ἐν μὲν Κριῷ οὖσα ἀπὸ μοίρας ια′ ἕως τοῦ πέρατος εὔπλοιαν δηλοῖ. Σελήνη Ταύρῳ μεγάλους χειμῶνας ποιεῖ τοῖς ἀναχθεῖσιν, ἐὰν δὲ καὶ ὑπὸ κακοποιῶν μαρτυρῆται χεῖρον· εἰς κακὸν γὰρ τέλος καταντήσουσιν. Σελήνη ἐν Διδύμοις ἀπὸ μοίρας η′ ἕως λ′, ὁ ἀναχθεὶς χρονίσει μὲν ἐν τῷ πλεῖν, ἀλλ’ ἐπιχαρῶς διάξει. Σελήνη Καρκίνῳ, ὁ ἀναχθεὶς γαλήναις μὲν πολλαῖς συσχεθήσεται, ἀλλὰ διασωθήσεται. Σελήνη Λέοντι, ὁ ἀναχθεὶς κινδυνεύσει ἐν τῇ θαλάσσῃ, ἐὰν δὲ καὶ ὑπὸ κακοποιῶν μαρτυρῆται πολλαπλασιασθήσεται τὰ κακά. Σελήνη ἐν Παρθένῳ, ὁ ἀναχθεὶς χρονίσει ἐν τῇ δυσπλοΐᾳ. Σελήνη Ζυγῷ μετὰ τὰς πρώτας δέκα μοίρας, ὁ ἀναχθεὶς καὶ εὐπλοήσει καὶ καλῶς εἰς πάντα διάξει. Σελήνη Σκορπίῳ, ὁ ἀναχθεὶς ἀσφαλὴς μὲν ἔσται κατὰ τὸν πλοῦν, τὴν δὲ ψυχὴν ταραχθήσεται. Σελήνη Τοξότῃ, ὁ ἀναχθεὶς δυσπλοήσει διὰ χειμῶνας καὶ φόβοις συμπεσεῖται. Σελήνη Αἰγοκέρωτι μετὰ μοίρας θ , ὁ ἀναχθεὶς εὐπλοήσει μέν, ταραχθήσεται δὲ τὴν ψυχήν. Σελήνη Ὑδροχόῳ, ὁ ἀναχθεὶς βραδυπλοήσει μέν, σωθήσεται δέ. Σελήνη Ἰχθύσιν, ὁ ἀναχθεὶς κινδυνεύσει, καὶ μάλιστα θεωροῦντος Ἄρεως. Τὸν δὲ ἱστὸν τῆς νεὼς σκέπτου. Σελήνη ὑπὲρ γῆν οὖσα μετὰ Κρόνου στηριγμὸν ἔχοντος τοῖς ἀναγομένοις πολλῶν κακῶν αἰτία γίνεται· ὑπὸ γὰρ χειμώνων δυσπλοήσουσι χαλεπῶς, ὅσοι δὲ τὴν κατὰ γένεσιν εἱμαρμένην ἔλαχον ἐν ὕδασι διαφθαρῆναι καὶ τὰ ἔτη συμπεραίνουσι πνιγήσονται ἐν τῇ θαλάσσῃ. Σελήνης ὑπὲρ γῆν τριγωνιζομένης ὑπὸ Κρόνου στηρίζοντος οἱ ἀναχθέντες διὰ χειμῶνας μεγάλους τῶν ἀγωγίων τινὰ ἀποβαλλόμενοι μόλις σωθήσονται, ἐὰν δὲ τῶν ἄλλων οὕτως ὄντων καὶ ὁ Ἑρμῆς τὴν Σελήνην συγκακώσῃ μείζονα τὰ κακὰ γίνεται, ἔσθ’ ὅτε καὶ λῃσταῖς περιπίπτο〈υσι〉ν, ἀγαθοποιὸς δὲ ὁρῶν τὰ τοιαῦτα σχήματα, καὶ μάλιστα δεξιός, ἐπικουφίζει τὰ κακά.

107 Κρόνος ὡροσκοπῶν καὶ ἄνευ Σελήνης τοσαῦτα κακὰ τοῖς ἀναγομένοις ἐπάγει ὁπόσα καὶ ὧν μετὰ Σελήνης ἐπάγειν εἴρηται, ἐὰν δὲ τύχῃ ὁ Κρόνος τούτου ἀναγομένου ὁ κατὰ πάροδον τῷ κατὰ πῆξιν Κρόνῳ ἢ συνών, τρίγωνος ἢ τετράγωνος ἢ διάμετρος, τότε χείρω γίνεται τὰ κακά. ὅσα δὲ εἴρηται συμβαίνειν ἀπὸ Κρόνου τοῖς ἀναγομένοις κακὰ τοσαῦτα καὶ ἀπὸ Ἄρεως γίνεται, τῆς Σελήνης δηλονότι ὑπὲρ γῆν ὑποκειμένης, καὶ οὐ μόνον ταῦτα ἀλλὰ καὶ μάχαι καὶ μίση καὶ θόρυβοι ἐν τοῖς ἀναγομένοις γίνονται ὥστε καὶ ἕως αἱμαγμῶν φθάσαι τὴν κάκωσιν. ἐὰν δὲ ὁ Ἑρμῆς συγκακώσῃ χείρονα γίνεται, ἐὰν δὲ ἀγαθοποιοὶ ὁρῶσιν ἐλαττοῦνται τὰ κακά. Ἐὰν τὴν Σελήνην ὁ Κρόνος καὶ ὁ Ἄρης καὶ ὁ Ἑρμῆς βλάπτωσιν ἤτοι συνοδεύοντες ἀλλήλοις καὶ τῇ Σελήνῃ ἢ ἄλλος ἄλλοθεν ὁρῶν αὐτὴν βλάπτῃ, κάκιστον σημεῖον τοῖς ἀναγομένοις καὶ ὁ θάνατος αὐτῶν πάντως ἐλεύσεται πλεόντων· τὸ δὲ αὐτὸ γίνεται καὶ ὅταν ὁ Ἑρμῆς συνοδεύῃ τῷ Ἄρει. Κρόνος καὶ Ἄρης ὁ μὲν Ἥλιον βλάπτων, ὁ δὲ Σελήνην κίνδυνον τοῖς ἀναγομένοις ἐπάγει. Σελήνης ὑπὲρ γῆν τετραγωνιζομένης ὑπὸ Διὸς ἀγαθὸν τοῖς ἀναχθεῖσιν· καὶ γὰρ

εὐπλοήσουσι καὶ εὖ πράξουσιν ὅσα δ’ ἂν ἐλπίσωσιν, ἐὰν δὲ καὶ Ἀφροδίτη μετὰ τοῦ Διὸς τὴν Σελήνην οὕτως ἴδῃ ἤτοι ἐκ τοῦ αὐτοῦ ζῳδίου ἢ ἐκ διαφέροντος κρεῖσσον. ὁ δὲ Ἑρμῆς τὰς τῶν ἀστέρων δόσεις ἤτοι ἀγαθὰς ἤτοι κακὰς ἐπιτείνει καὶ ἐπαύξει οἷς συνοικειωθῇ. ἀλλὰ καὶ Ἀφροδίτη μόνη τὴν Σελήνην ὁρῶσα ὠφελεῖ τοὺς ἀναγομένους εἴ〈σ〉 τε εὔπλοι〈αν〉 καὶ εἰς γυναικῶν μίξεις, ἀλλὰ χωρὶς Διὸς ἧττον ὠφελεῖ, μετὰ δὲ Διὸς βεβαιότερον μᾶλλον ὠφελεῖ.

108 Ἀφροδίτη ὕπαυγος ὑπὸ γῆν οὖσα μετὰ Σελήνης εὐδίας καὶ νηνεμίας παρέχει, καὶ χρονίζουσιν οἱ ἀναγόμενοι ἐν τῷ πλῷ. ἐὰν δὲ οἱ δύο ἀγαθοποιοὶ μετὰ τοῦ Ἑρμοῦ μαρτυρήσωσι τῷ Ἡλίῳ καὶ τῇ Σελήνῃ καλλίστην καταρχὴν τοῖς ἀναγομένοις σημαίνει καὶ εὐπλοήσουσι μάλιστα. ἐὰν οἱ μὲν κακοποιοὶ τὸν ὡροσκόπον βλάπτωσιν, οἱ δὲ ἀγαθοποιοὶ τὴν Σελήνην, ἢ καὶ ἔμπαλιν, δυσπλοήσουσι μὲν οἱ ἀναχθέντες, σωθήσονται δέ. Σελήνη ἀμαρτύρητος οὖσα ὑπὸ πάντων τῶν ἀστέρων καὶ κενοδρομοῦσα, ὁ δὲ ὡροσκόπος ἔχων τι ζῴδιον τῶν ἐπιτηδείων πρὸς τὸ πλεῖν (οἷον Ταῦρον, Ἰχθύας, Διδύμους, Αἰγοκέρωτα, Καρκίνον, Παρθένον, Τοξότην) μετά τινος τῶν ἀγαθοποιῶν, ἀγαθὸν τοῖς ἀναγομένοις· Σελήνη καὶ ὁ ὡροσκόπος ἀμαρτύρητοι ὑπὸ πάντων τῶν ἀστέρων κενοδρομοῦντες ἐὰν ἐπέχωσιν ἐκ τῶν προλελεγμένων ἐπιτηδείων ζῳδίων πρὸς τὸ πλεῖν οὐκ ἔστι κακὸν τοῖς ἀναχθεῖσιν. ἐξαιρέτως δὲ χρὴ τὴν Σελήνην ὁρᾶν ἵνα μὴ βλάπτηται καθ’ οἱονδήποτε τῶν ἐγκειμένων τρόπων ἐν τῷ β′ κεφαλαίῳ τούτου τοῦ βιβλίου. τότε δὲ λογίζου τὴν τοῦ πλοῦ καταρχὴν ὅταν οἱ ναῦται ἄγκυραν ἐκ τῆς ψάμμου ἑλκύσωσιν, τοῦ δὲ πλέοντος ἐν τῇ νηῒ ἑκάστου ἀνθρώπου ἡ καταρχὴ τότε ἐστὶν ἡνίκα τὸν πόδα εἴσω τῆς νηὸς θήσει. Σκέπτου δὲ καὶ τὸν Ἥλιον τῆς ἐξόδου καὶ τὰ τούτου τετράγωνα καὶ διάμετρα· εἰ μὲν ἀγαθοποιοὶ εἶεν ἐπὶ τούτοις ἡ ἐπάνοδος καλὴ καὶ ταχεῖα, εἰ δὲ κακοποιοὶ σκόπει πότε ἀλλάξουσι τοὺς τόπους καὶ ἀντ’ αὐτῶν ἀγαθοποιοὶ εἰσέλθουσιν· τότε γὰρ τὴν ἐπάνοδον ὑπονοητέον ἢ ὅτε ἀποκαθίσταται ὁ Ἥλιος καὶ ἔλθῃ εἰς τὰ ἴδια τετράγωνα ἢ διάμετρα, ἀλλὰ καὶ τὴν Σελήνην ὁμοίως τῷ Ἡλίῳ σκέπτου. θ′.

109 (1t) Περὶ ἐπιστολῶν Πέμπων ἐπιστολὰς ἐπιτήρει τὴν Σελήνην συνοῦσαν τῷ Ἑρμῇ ἢ ἐφορῶσαν αὐτὸν ἄνευ τῆς τῶν κακοποιῶν θεωρίας, ἔστω δὲ ὁ Ἑρμῆς ἐλεύθερος ἀπὸ τῶν αὐγῶν τοῦ Ἡλίου καὶ μὴ ἀναποδίζων ἢ στηρίζων· οὕτω γὰρ ἐὰν ἐπιστείλῃς οὐκ ἀποτεύξει τοῦ σκοποῦ. ι′. Περὶ αἰτήσεως χάριτος Τοὺς δὲ αἰτοῦντας χάριτας ἐπιτηρεῖν δεῖ τὴν Σελήνην οὖσαν ἐν τῷ ὡροσκόπῳ ἢ ἐν τῷ τούτου τριγώνῳ (ἄμεινον δὲ ὅταν ᾖ ἐν Ταύρῳ καὶ Καρκίνῳ), προστιθεῖσα τοῖς φωσὶ καὶ τοῖς ἀριθμοῖς καὶ συσχηματιζομένη Ἑρμῇ, Διί, Ἀφροδίτῃ καὶ αὐτοῖς καλῶς κειμένοις, ἀπέστω δὲ ἡ τῶν κακοποιῶν μαρτυρία. καλὸν δὲ ἐπὶ τοῦ αὐτοῦ σχήματος τὰς ἐντεύξεις ποιεῖσθαι καὶ ἀνδρῶν πρὸς γυναῖκας. ια′. Περὶ καινῶν σκευῶν χρήσεως Σκεύεσι δὲ ἢ ἱματίοις πρώτως χρηστέον τῆς Σελήνης οὔσης ἔν τε Κριῷ καὶ Ταύρῳ καὶ Καρκίνῳ καὶ Παρθένῳ καὶ Σκορπίῳ καὶ Ἰχθύσιν, τῷ τε φωτὶ αὐξανομένης καὶ μετὰ τῶν ἀγαθοποιῶν οὔσης ἢ τούτοις κατὰ σχῆμα ἢ σῶμα συναπτούσης ἢ καὶ ὡροσκοπούντων τῶν ἀγαθοποιῶν ἄνευ τῆς τῶν φθοροποιῶν κοινωνίας. ιβ′.

110 (1t) Περὶ φρεάτων ὀρυγῆς καὶ λάκκων Ὀρύττων δὲ λάκκους ἢ καὶ εἰσαγωγὰς ὑδάτων ποιούμενος ἐπιτήρει τὸν κλῆρον τῆς τύχης καὶ τὸν κύριον αὐτοῦ εἰς ὑδατῶδες ζῴδιον ἐμπεσεῖν καὶ ἐπὶ κέντροις ποιῆσαι τοὺς οἰκοδεσπότας τοῦ τε β′ τόπου καὶ τοῦ η′. ἀγαθὸν γὰρ τούτους ἐπαναφέρεσθαι τῷ τε ὑπὲρ γῆν κέντρῳ καὶ τῷ ὑπὸ γῆν, καὶ ἀποκλίναντες δὲ οὐ φαῦλοι, καὶ μάλιστα ὅταν πόρρωθεν τὰ ὕδατα ᾖ μεταγόμενα ἢ ἀποστρεφόμενα. καὶ τὸν τοῦ κλήρου δὲ κύριον παραφυλάττειν, καὶ μάλιστα κατὰ τὸ ὑπόγειον, ἐξαιρέτως δὲ μήτε τὸν κύριον τῆς τύχης μήτε τὸν κύριον αὐτοῦ εἶναι ἐν τῇ ἐπιδύσει μήτε ἐν τῷ ταύτης διαμέτρῳ, τουτέστιν ἐν τῷ β′ τόπῳ· οὕτω γὰρ ἂν ἀσφαλῶς καὶ ἀβλαβῶς διαπραχθείη τὸ ἔργον. ιγ′. Περὶ χειρουργίας Τὰς δὲ χειρουργίας τῶν μελῶν ποιεῖσθαι χρὴ τῆς Σελήνης ληγούσης καὶ πρὸς τοὺς ἀγαθοποιοὺς φερομένης ἢ αὐτοῖς συνούσης. παρατηρητέον δὲ αὐτὴν οὖσαν ἐν Ταύρῳ καὶ Παρθένῳ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Αἰγοκέρωτι καὶ Ἰχθύσιν· ταῦτα γὰρ τὰ ζῴδια σπασμῶν αἴτια γίνονται. ἔτι δὲ παρατηρητέον αὐτὴν οὖσαν ἐν τοῖς τροπικοῖς καὶ ἐν συνόδῳ τοῦ Ἡλίου καὶ ἐν τοῖς ἐκλειπτικοῖς συνδέσμοις. καὶ ἔτι ἐκεῖνο τὸ μέλος οὐ δεῖ χειρουργεῖν ὅπερ ἔλαχε κατὰ φύσιν ἐκεῖνο τὸ ζῴδιον ἔνθα ἐστὶν ἡ Σελήνη, νοουμένου δηλαδὴ Κριοῦ μὲν κεφαλῆς, Ταύρου δὲ τραχήλου, Διδύμων δὲ χειρῶν ἀπὸ ὤμων ἕως δακτύλων, Καρκίνου δὲ στέρνων καὶ πλευρῶν, Λέοντος δὲ θώρακος, Παρθένου δὲ γαστρὸς καὶ σπλάγχνων, Ζυγοῦ δὲ γλουτῶν, Σκορπίου δὲ αἰδοίων, Τοξότου δὲ μηρῶν, Αἰγοκέρωτος δὲ γονάτων, Ὑδροχόου δὲ κνημῶν, καὶ Ἰχθύων ποδῶν ἄκρων.

111 τοὺς δὲ ὀφθαλμοὺς χρὴ χειρουργεῖν καὶ θεραπεύειν Σελήνης πληθούσης τῷ τε φωτὶ καὶ τοῖς ἀριθμοῖς καὶ συναπτούσης τοῖς ἀγαθοποιοῖς χωρὶς τῆς τῶν κακοποιῶν μαρτυρίας. Ὁ δὲ Δωρόθεος ἐν τοῖς περὶ χειρουργίας τὰ αὐτὰ λέγει ὅσα καὶ νῦν ὁ μεταφράζων αὐτὸν ὁ Ἡφαιστίων. ἔτι δὲ ἐκεῖνος κελεύει οὐ μόνον τὴν Σελήνην ἀλλὰ καὶ τὸν ὡροσκόπον ἀκάκωτον φυλάσσειν, ἔτι δὲ καὶ ἐὰν κακοποιὸς ἐπίκεντρος ὢν ἀναποδίζῃ ἀποδοκιμάζει καὶ τοῦτο. Σελήνης δέ, φησίν, οὔσης ἐν τροπικῷ ζῳδίῳ ἢ δισώμῳ εἰ μὲν συνάπτει αὐτῇ ἀγαθοποιὸς δεῖ χειρουργεῖν, ἄνευ δὲ ἀγαθοποιοῦ οὐ δεῖ· ὑποτροπιασμὸς γὰρ γίνεται καὶ πάλιν ἐκ δευτέρου χειρουργία ἐν τοῖς τοιούτοις ζῳδίοις ἄνευ τῶν ἀγαθοποιῶν. ιδʹ. Περὶ ἐμέτου καὶ καθάρσεως Τοὺς δὲ ἐμέτους καὶ τὰς καθάρσεις συνοίσει ποιεῖσθαι τῆς Σελήνης ληγούσης καὶ πρὸς τοὺς ἀγαθοποιοὺς συσχηματιζομένης ἢ συναπτούσης. παραφυλάσσεσθαι δὲ δεῖ ἵνα μήτε ἐν Κριῷ μήτε ἐν Ταύρῳ ἔχῃ τὴν στάσιν· βλαβερὸν γὰρ διότι μαρυκᾶται ταῦτα.

112 ἁρμόζει δὲ ἐμεῖν οὔσης αὐτῆς ἐν τῷ Ἀναβιβάζοντι, τὴν δὲ κοιλίαν καθαίρειν ἁρμόζει ἐν τῷ Καταβιβάζοντι συνδέσμῳ. ιεʹ. Περὶ συνελεύσεως καὶ περὶ ἀρρενογονίας καὶ θηλυγονίας Μέλλων δὲ συγγίνεσθαι ὁ γαμῶν ἔστω μὲν ἱλαρὸς καὶ ἀπὸ ἱλαρῶν καὶ ἄλυπος μήτε ἄγαν βεβαρημένος τροφῇ καὶ μέθῃ. φυλασσέσθω δὲ τὸν Ἥλιον καὶ τὴν Σελήνην καὶ τὸν κλῆρον ἐν τῷ ηʹ ἢ ἐν τῷ βʹ τῷ τούτου διαμέτρῳ, ἐπιτηρείτω δὲ καὶ τὸν τῆς ὥρας κύριον ἀκάκωτον εἶναι. ὁ δὲ κλῆρος ἔστω ἐν τῷ περὶ φιλίας ἢ ἐν τῷ περὶ τέκνων ἢ ἐν τῷ μεσουρανήματι, ἔστω δὲ καὶ ἡ Σελήνη ἀκάκωτος καὶ σύμφωνος τῷ ὡροσκόπῳ. ὁ δὲ Ἑρμῆς ἐπ᾽ ἀνατολῆς τυγχάνων ὑπὸ Διὸς καὶ Ἀφροδίτης μαρτυρούμενος ἐν τῇ ὥρᾳ τῆς καταβολῆς ποιήσει τὰ τικτόμενα εὐτυχῆ καὶ εὐπαίδευτα καὶ εὐδαίμονα.

113 λέγουσι δὲ οἱ περὶ Πετόσιριν ὅτι ἐν ᾧ ζῳδίῳ εὑρίσκεται ἡ Σελήνη ἐν τῇ σπορᾷ τοῦτο ὡροσκοπήσει ἐν τῇ ἐκτέξει, ὅπου δὲ ἐν τῇ ἐκτέξει παροδεύει τοῦτο ὡροσκόπησεν ἐν τῇ σπορᾷ. τοσαῦτα τοίνυν καὶ περὶ συνελεύσεως. Περὶ δὲ ἀρρενογονίας οὕτω δεῖ σκοπεῖν. ὁπόταν ὁ Ἥλιος καὶ ἡ Σελήνη καὶ ὁ ὡροσκόπος καὶ οἱ τούτων οἰκοδεσπόται τυγχάνωσιν ἠρρενωμένοι τῷ τηνικάδε τὸ συλληφθὲν ἄρρεν γίνεται, καὶ μάλιστα ἐὰν ὦσιν ἄρρενες καὶ ἑῷοι. καὶ ἀρρενοῦνται μὲν ἡνίκα ἐν ἀρρενικοῖς ὦσι ζῳδίοις (λέγω δὴ Κριῷ, Διδύμοις, Λέοντι, Ζυγῷ, Τοξότῃ, Ὑδροχόῳ) ἢ ὁπόταν ἐν τῷ ἀπηλιωτικῷ ὦσι τεταρτημορίῳ ἢ ἐν τῷ τούτου διαμέτρῳ. Περὶ δὲ θηλυγονίας οὕτως· ὁπόταν οἱ προειρημένοι τρεῖς τόποι καὶ οἱ τούτων οἰκοδεσπόται ἑσπέριοι καὶ ἐν τοῖς ἐφεξῆς ζῳδίοις ὦσιν (οἷον Ταύρῳ, Καρκίνῳ, Παρθένῳ, Σκορπίῳ, Αἰγοκέρωτι, Ἰχθύσιν) ἢ ἐν τῷ λιβυκῷ τεταρτημορίῳ ἢ τῷ τούτου διαμέτρῳ τότε τὸ συλληφθὲν θῆλυ γίνεται. Ἐὰν δὲ καὶ ἡ προγενομένη συζυγία ἐπίκεντρος γένηται μετὰ ἀγαθοποιῶν ἢ καὶ πρὸς ἀγαθοποιοὺς συνάπτῃ εὐδαίμονας καὶ πολυχρημάτους ἢ καὶ βασιλεῖς τοὺς τικτομένους σημαίνουσιν. ιζʹ.

114 (1t) Περὶ διαθηκῶν καὶ ἄλλως Ὅταν τις θελήσῃ τὴν ἤδη γεγραμμένην αὐτοῦ διαθήκην σφραγίσαι πρὸς ἀξιοπιστίαν παρατηρείσθω τόν τε ὡροσκόπον καὶ τὴν Σελήνην ἐν τροπικοῖς εἶναι ζῳδίοις· τούτου γὰρ γενομένου παλιντροπία ἔσται τῆς καταρχῆς ὕστερον, διὸ καὶ πάλιν ἄλλως διαθήσεται καὶ οὐ μὴ δηλονότι τελευτήσει ἐπὶ τῇ πρώτῃ διαθήκῃ. ἔστω δὲ πρὸς τούτοις ἡ Σελήνη καὶ αὐξιφωτοῦσα καὶ τῷ πλάτει ὑψουμένη καὶ τοῖς κατὰ μῆκος ἀριθμοῖς ἀφαιροῦσα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καί τινι ἀστέρι συνάπτουσα στηριγμὸν ἔχοντι καὶ μηδὲ ὕπαυγος ἔστω· καὶ γὰρ ὑπαύγου αὐτῆς οὔσης ὁ διαθέμενος ταχέως τελευτήσει. τὸν δὲ Ἄρεα δεῖ παραφυλάττεσθαι ἀναγκαίως ἵνα μήτε ὡροσκοπῇ μήτε σὺν τῇ Σελήνῃ μήτε τετραγωνίζῃ αὐτὴν μήτε διαμετρῇ· οὕτω γὰρ οὐ μόνον ὁ διαθέμενος τελευτήσει, ἀλλὰ καὶ ἡ διαθήκη ἀφανισθήσεται ἤτοι κλαπεῖσα ἢ ἑτέρας ψευδοῦς ἀντ' αὐτῆς ὑποληφθείσης. ὁ δὲ Ἑρμῆς κακωθεὶς ἤτοι συνὼν τοῖς κακοποιοῖς ἢ σχηματιζόμενος ὑπ' αὐτῶν δόλων αἴτιος γίνεται καὶ ἀμφισβητήσεων. ἐὰν δὲ Κρόνος ὡροσκοπῇ ὁ μὲν θάνατος μετὰ χρόνον συμβήσεται, ἡ δὲ διαθήκη κυρωθήσεται. ἐὰν δὲ Ζεὺς ἢ Ἀφροδίτη ὡροσκοπῇ ποιήσει τὸν διαθέμενον μὴ τελευτήσαντα διαθέσθαι πάλιν. Σημαίνει δὲ ὁ μὲν ὡροσκόπος τὴν δύναμιν τῆς γραφῆς τῆς διαθήκης καὶ τὸν διαθέμενον, τὸ δὲ μεσουράνημα τὸ ἀποτέλεσμα αὐτῆς, τὸ δὲ δῦνον πότερον ἔνδοξος ἢ ἄδοξος, ἀληθὴς ἢ ὑπόβλητος, τὸ δὲ ὑπόγειον ὁποῖοί τινες οἱ τὰς κληρονομίας παραλήψονται. ἐὰν οὖν ὡροσκοπῇ Κρόνος τῇ καταρχῇ ὁ διαθέμενος γέρων ἔσται, κακοῦργος καὶ [ὁ διαθέμενος] ἄδικος καὶ ἐνέδραν ἕξει καὶ ψεύσματα, ὅ τε ποιῶν ἀγενής τις ἔσται καὶ ῥυπαρὸς ἢ ἀπελεύθερος. ἐὰν δὲ Ἄρης ἐξ ὀργῆς ἔσται ἡ διαθήκη προπετῶς ἄνευ λογισμοῦ ὡς ἀπὸ κληρονομίας ποιῆσαι τοὺς προσήκοντας, ὅ τε ποιῶν νέος, ὀργίλος, στρατιωτικός.

115 ἐὰν δὲ Ζεὺς δικαίαν καὶ πλουσίαν δηλοῖ τὴν διαθήκην καὶ τὸν διαθέμενον τοιοῦτον. ἐὰν δὲ Ἀφροδίτη, καὶ μάλιστα ἐν τροπικοῖς οὖσα, ἔσται ἡ διαθήκη ἀγαθὴ καὶ ποικίλη, ὅ τε ποιῶν ὁμοίως ἀγαθὸς καὶ ποικίλος τὸ ἦθος. ἐὰν δὲ οἱ πλείονες τῶν ἀστέρων ὦσιν ἐν θηλυκοῖς ζῳδίοις γυνὴ ἔσται ἡ διατιθεμένη. ἐὰν δὲ Ἑρμῆς ποικίλη ἡ διαθήκη ἔσται καὶ πολύλογος καὶ κούφη, ὅ τε ποιῶν ἐν λόγοις ἔσται ἢ διοικήσεσιν. ἐὰν δὲ Ἥλιος ἢ Σελήνη μεγίστη καὶ ἐπίσημος καθ' ὃν ἂν τρόπον μαρτυρούμενοι τύχωσιν. ἐν δὲ τῷ μεσουρανήματι Κρόνος τυχὼν παλαιὰν τὴν διαθήκην σημαίνει, τὸ δὲ τέλος τοῦ διατιθεμένου ὁποῖαι αἱ μαρτυρίαι τῶν ἐπιθεωρούντων τὸ μεσουράνημα. Ἄρης δὲ κενὴν τὴν διαθήκην καὶ ὀξεῖαν [τὴν διαθήκην] δηλοῖ. Ζεὺς δὲ ἀλλαγῆναι πάλιν αὐτὴν μηνύσει ἐπ' ἀγαθῶν προσθήκαις καὶ ζήσεσθαι τὸν διαθέμενον, ὁμοίως δὲ καὶ Ἀφροδίτη. Ἑρμῆς δὲ ταχεῖαν τὴν ἄνοιξιν προαγορεύει καὶ πρόθεσιν πολυλογίας, κατὰ ταὐτὸν δὲ τὰς μαρτυρίας χρὴ σκοπεῖν τὸν αὐτὸν τρόπον. Ἥλιος δὲ καὶ Σελήνη μετὰ τοῦ σημαίνειν εὐγενῆ καὶ μεγάλα τὰ πρόσωπα δηλοῖ. Κρόνος δὲ δύνων ἐπηρείας καὶ κατηγορίας καὶ κακουργίας μεστὴν δείκνυσι τὴν διαθήκην. Ἄρης δὲ οὐ βεβαιωθήσεσθαι δηλοῖ καὶ μετὰ βίας ἁρπαγήσεσθαι τὴν οὐσίαν. Ζεὺς δὲ μετὰ καλῆς πίστεως ἐνδόξως διατηρηθήσεσθαι, ὁμοίως δὲ καὶ Ἀφροδίτη. Ἑρμῆς δέ, ὑποβολιμαία καὶ πλαστὴ ἡ διαθήκη ἀναφανεῖται καὶ ἀγαθῶν μὲν μαρτυρούντων λαθοῦσα διαμένει, κακοποιῶν δὲ σὺν κινδύνῳ φανερωθήσεται καὶ ἄκυρος ἔσται. τὸ δ' αὐτὸ Ἥλιος καὶ Σελήνη ἀπεργάζεται κατὰ τὴν τῶν σχημάτων σύγκρασιν. ἐν δὲ τῷ ὑπογείῳ Κρόνος εὑρεθεὶς δούλοις καὶ ἀπελευθέροις ἢ ἐγγόνοις αὐτῶν τὴν κατάληψιν σημαίνει, Ἄρης δὲ ἀπελευθέρων υἱοῖς, στρατιώταις, Ζεὺς δὲ φίλοις καὶ συγγενέσιν, Ἀφροδίτη δὲ γυναικὶ ἢ παλλακῇ ἢ φίλῳ μετέχοντι μυστηρίων, Ἑρμῆς δὲ τέκνοις, ἐγγόνοις, τροφοῖς, ἀξίοις λόγου, Ἥλιος δὲ ἢ Σελήνη ἐπισήμοις καὶ μεγίστοις.

116 καὶ ἐὰν μὲν ὑπὸ ἀγαθοποιῶν μαρτυρῆται ἐπικερδεῖς ἔσονται αἱ κληρονομίαι, ἐὰν δὲ ὑπὸ κακοποιῶν ἐπιζήμιοι. ιθʹ. Περὶ τοῦ πότε δεῖ λαμβάνειν γυναῖκα Δεῖ σε πρωτοτύπως φροντίσαι τὸ ὡροσκοποῦν ζῴδιον εἶναι στερεὸν ἢ δίσωμον, ὁ δὲ κύριος αὐτοῦ ἀγαθοπεποιημένος ἔξω πάσης κακώσεως, ἵνα δὲ τετραγωνίζῃ καὶ ἡ Ἀφροδίτη τὸν Δία καὶ ἵνα ὁρῶσι τὸν ὡροσκόπον, ἵνα δὲ αὐξιφωτῇ καὶ ἡ Σελήνη, οὔσης αὐτῆς ἀγαθοπεποιημένης ἐν τόπῳ καλῷ. εἰ δ' ἴσως ταῦτα πάντα οὐχ εὑρήσεις ὡς εἴρηται ἴδε τὴν Σελήνην καὶ ποίησον ἵνα ἀγαθοποιῆται καί ἐστιν ἐν τόπῳ καλῷ. Ἄλλως περὶ γάμου Τὸν μὲν ἄνδρα ἀπὸ τοῦ Ἡλίου καὶ τοῦ ὡροσκόπου, τὴν δὲ νύμφην ἀπὸ τῆς Ἀφροδίτης καὶ τοῦ δύνοντος, ὃν δὲ μέλλουσι βίον μετ' ἀλλήλων διάξειν ἐκ τοῦ μεσουρανήματος, ἐκ δὲ τοῦ ὑπογείου ἡ προὶξ νοείσθω. ὁ Ἥλιος ὑπὸ κακοποιῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βλαπτόμενος ἢ ὡροσκοπῶν τὸν ἄνδρα βεβλαμμένον δείκνυσιν, ὑπὸ δὲ ἀγαθοποιῶν μαρτυρούμενος, ἀγαθὰ τῷ ἀνδρὶ μαντεύονται· ἡ Ἀφροδίτη καὶ τὸ δῦνον ὑπὸ Διὸς μαρτυρούμενοι ἀγαθὰ τῇ γυναικὶ σημαίνουσιν, ὑπὸ δὲ τῶν κακοποιῶν ἀπαισία καὶ οὐκ ἔσται παράμονος ὁ γάμος, ἐὰν δὲ καὶ ἡ Σελήνη συγκακωθῇ ἀμφοτέροις κακὸν σημεῖον. Ἑρμῆς ὑπὸ τῶν ἀγαθοποιῶν μαρτυρούμενος παιδοποιίαν τῷ γάμῳ δίδωσιν. Σελήνη ἢ καὶ Ἀφροδίτη ἐν τροπικῷ ζῳδίῳ οὖσα, κακὸν τὸν γάμον λέγε· ἡ μὲν γὰρ Ἀφροδίτη, καὶ μοιχαλίδα καὶ ῥυπαρὴν λέγε τὴν τοιαύτην νύμφην, ἡ δὲ Σελήνη παλιντροπίας καὶ διαστάσεως γίνεται παραιτία. Σελήνη ἐν Κριῷ, οὐ δεῖ γαμεῖν· χωρισμὸς γὰρ ἐν τάχει παρακολουθήσει.

117 Σελήνη ἐν α′ καὶ γ′ δεκαμοιρίᾳ τοῦ Ταύρου παραιτητός, ἐν δὲ τῇ β′ δεκαμοιρίᾳ τοῦ Ταύρου Σελήνης οὔσης καλόν. καὶ ἐν Διδύμοις ἀπὸ ἀρχῆς ἕως ιε′ μοίρας ἀπαίσιον, ἀπὸ δὲ μοίρας ις′ ἕως τέλους ἀγαθόν. Σελήνη ἐν Καρκίνῳ, οὐ δεῖ γαμεῖν ὅλως. Σελήνη ἐν Λέοντι, οὐ καλὸν τὸ γῆμαι, ποιήσει δὲ κακοδάπανον τὴν γυναῖκα. Σελήνη ἐν Παρθένῳ, χήραν γῆμαι αἴσιον, παρθένον δὲ κακόν. Σελήνη ἐν Ζυγῷ, οὐ δεῖ γῆμαι, μνηστεύειν δὲ δεῖ. Σελήνη ἐν Σκορπίῳ, ἐν μὲν ταῖς πρώταις μοίραις ἀγαθόν, ἐν δὲ ταῖς ὑστάταις οὐ καλόν· ταχὺ γὰρ διαζυγήσονται. Σελήνη ἐν Τοξότῃ, οὐ δεῖ γῆμαι δι’ ὀλιγοτεκνίας. Σελήνη ἐν Αἰγοκέρωτι, τῷ μὲν δευτερογαμοῦντι ἢ τριτογαμοῦντι καλόν, τῷ δὲ πρωτογαμοῦντι οὐ καλόν. Σελήνη ἐν Ὑδροχόῳ, ἀνεπιτήδειον. Σελήνη ἐν Ἰχθύσιν, καλὸν μὲν γαμεῖν, ποιεῖ δὲ τὴν γυναῖκα φλύαρον καὶ μαχίμην. Παρατηρητέον δὲ τὴν Ἀφροδίτην μάλιστα ἐν ταῖς τοιαύταις σκέψεσι μὴ εἴη μετὰ τῶν κακοποιῶν ἤτοι ἐν ταῖς τούτων μαρτυρίαις, ἀλλὰ μᾶλλον ἐν ὁρίοις καὶ ζῳδίοις ἀγαθοποιῶν. τυχοῦσα τοίνυν ἡ Ἀφροδίτη ἐν ὁρίοις ἢ ζῳδίοις ἀγαθοποιῶν καὶ εἰ ἐπιδεκατεύσει τῇ Σελήνῃ, ὑπὸ δὲ τοῦ Διὸς ἐπιδεκατεύηται (τουτέστι δεκάτη μὲν ἀπὸ Σελήνης, τετάρτη δὲ ἀπὸ Διός), κάλλιστον τὸν γάμον, θυμήρη τε καὶ τεκνοποιὸν ἀποτελέσει, καὶ μάλιστα ὅταν εἷς τῶν ἀγαθοποιῶν ἐπὶ τῶν πολυσπέρμων ζῳδίων τύχῃ· οὕτω γὰρ τάχιστα συλλήψεις ποιήσει. τὸ δὲ αὐτὸ καὶ τὰ τρίγωνα σχήματα ἀποτελέσει πολυσπέρμων ὄντων τῶν ζῳδίων, ἀλλὰ καὶ οἱ κακοποιοὶ ἐν τῷ τριγώνῳ σχήματι ἐπὶ τῶν πολυσπέρμων ζῳδίων μαρτυρούμενοι ὑπὸ τῶν ἀγαθοποιῶν τεκνοποιίαν δίδουσιν. Ἐπισκοπεῖν δὲ χρὴ τὰ δύο θεμάτια τῶν γαμουμένων καὶ ἐπεὶ πάντες οἱ ἀγαθοποιοὶ ἐν τοῖς ἀγαθοῖς τόποις (τουτέστι διπλοῖ) κατὰ τὸν καιρὸν τοῦ γάμου γίνονται ἢ συσχηματίζονται.

118 εἰ δὲ κατὰ γένεσιν καὶ κατὰ πάροδον τὸ μεσουράνημα κοσμούμενον εἴη καὶ ἀγαθοποιοῦ τόπος τοῦ θέματος τῆς γυναικὸς ἐμπέσῃ εἰς τὸ τοῦ ἀνδρὸς μεσουράνημα εἰδέναι χρὴ ἐν αὐτῷ τῷ ἔτει τὴν παιδοποιίαν ποιήσασθαι, εὐάρμοστόν τε τὴν συμβίωσιν μηκυνθῆναι, καὶ μάλιστα ὅταν οἱ ἐπίκαιροι τόποι τῶν γεννήσεων (τουτέστι Σελήνη καὶ Ἥλιος καὶ ὁ ὡροσκόπος) σύμφωνοι ὑπάρχωσιν. ἐπὰν δὲ καὶ πολύσπερμον ᾖ τὸ κατὰ κορυφὴν ζῴδιον κατὰ τὴν πρώτην συνέλευσιν τὰ τῆς συλλήψεως ἀσφαλῆ ἔσται. ἐπὰν δὲ τύχῃ ἐπὶ τοῦ κατὰ κορυφὴν τόπου ἀγαθοποιὸς ὑπὸ τὰς αὐγὰς ὢν κατὰ τὸν καιρὸν τοῦ γάμου σκοτεινὴν τὴν σύλληψιν καὶ τεκνοποιίαν σημαίνει, καὶ μάλιστα ἐπὶ τῶν γυναικῶν αἷς καὶ τὸ θέμα αὐτὸ συμβέβηκεν ἔχειν· τῆς γὰρ Ἀφροδίτης ὑπὸ τὰς αὐγὰς οὔσης μετὰ Ἄρεως λαθραίως παρθενεύονται, καὶ Διὸς μαρτυροῦντος οἱ βιωσάμενοι. 〈...〉 κατὰ τὸν καιρὸν τῆς καταρχῆς τῶν τῆς Ἀφροδίτης ὑπὸ δύσιν τοῦ Ἡλίου. Ἐὰν ἐν τῷ κακοδαιμονήματι τοῦ ἀνδρὸς ἡ τῆς γυναικὸς Σελήνη κατὰ γένεσιν ᾖ ἄρξει ἡ γυνὴ τοῦ ἀνδρός, ἐὰν δὲ ἐν τῷ ιβ′ τῆς γυναικὸς εὑρεθῇ ἡ τοῦ ἀνδρὸς Σελήνη ἀνάπαλιν γίνεται, τουτέστιν ὁ ἀνὴρ ἄρξει τῆς γυναικός. αἱ δὲ τῶν γάμων καταρχαὶ ἐν πανσελήνῳ ἐκπεσοῦσαι κάκισται τοῖς γαμοῦσιν. ἀλλὰ καὶ αἱ Σελῆναι τῶν δύο γενέσεων διαμετροῦσαι ἀλλήλαις ἀπαίσιοί εἰσιν· διχονοίας γὰρ παραίτιαι. κρατήσει δὲ ὅμως ἐν ταῖς φιλονεικίαις ὁ ἔχων ὑπὲρ γῆν τὴν Σελήνην. Ἀφροδίτη ἐν ἀρρενικῷ ζῳδίῳ οὖσα, ὁ δὲ Ζεὺς ἐν θηλυκῷ, καλὸν τὸ τοιοῦτον σχῆμα τοῖς ἀνδράσιν ὑπάρχει, ἔμπαλιν δὲ ταῖς θηλείαις ἄμεινον ὅταν ἡ μὲν Ἀφροδίτη ἐν θηλυκῷ, ὁ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ζεὺς ἐν ἀρρενικῷ. Καὶ ταῦτα μὲν ἐν τοῖς ἔπεσι Δωροθέου, ἐκ δὲ ἄλλων ἀρχαίων καὶ πείρᾳ κατειλημμένων τὰ ἐφεξῆς. μάλιστα προσέχειν χρὴ περὶ συνελεύσεως καὶ ἁρμογῆς γάμου τῷ τε κυρίῳ τοῦ κλήρου καὶ τῆς ὥρας, ἔτι τε καὶ τῷ τῆς προγενομένης συνόδου καὶ τῇ πρὸς ἀλλήλους τε καὶ τὰ φῶτα καὶ τὸν θανατικὸν ἀστέρα σχηματοθέσει.

119 τυχὼν γὰρ ὁ κλῆρος τῆς τύχης εἰς τὸ δυτικὸν ἢ ὁ τούτου κύριος ἢ ὁ τοῦ δυτικοῦ κέντρου κύριος ἐπ' αὐτοῦ τυχὼν σὺν τῷ κληρικῷ ἀστέρι ἢ ἐπὶ τοῦ κληρικοῦ ἀστέρος ἢ ἐπὶ τοῦ κληρικοῦ ζῳδίου ὁμοίως τυχών (δηλονότι σὺν τῷ κλήρου ἀστέρι) τῆς Σελήνης ἐπιμαρτυρούσης γάμον καὶ συνέλευσιν σημαίνει. Ἐπιφυλακτέον οὖν τὴν Ἀφροδίτην ἑῴαν ἀναποδίζουσαν καὶ ἐπὶ τὸν Δία ἐρχομένην· οὕτω γὰρ ἀνάρμοστοι καὶ ἀβέβαιοι οἱ γάμοι ἔρχονται τῶν συνερχομένων τυγχανόντων κούφων τὰ ἤθη. καὶ ἣν μὲν ἐν θηλυκῷ ζῳδίῳ τύχῃ τοῦτο τοὺς ἄνδρας, ἣν δὲ ἐν ἀρσενικῷ τὰς γυναῖκας τοιαύτας νομιστέον. εἰ δὲ οὕτως ἐχούσης τῆς Ἀφροδίτης ἀπόζευξις γένοιτο ἐπανήξει αὖθις ἡ γυνὴ προστιθείσης τῆς Ἀφροδίτης τοῖς ἀριθμοῖς, εἰ δὲ Ἄρης ἀναποδίζει ἐν τῇ καταρχῇ τοῦ χωρισμοῦ ἐπιστρέψαντος αὐτοῦ καὶ προστιθέντος ὁ ἀνὴρ διαλλαγήσεται καὶ μετελεύσεται τὴν γυναῖκα. Ἣν δὲ ὁ κύριος τοῦ γάμου ἐν τῇ καταρχῇ μεσουρανῶν τύχῃ ἐν θηλυκῷ ζῳδίῳ πολύκοινον δείξει τὴν γυναῖκα, εἰ δὲ ἀρσενικῷ τὸν ἄνδρα. τετραγωνίζων δὲ ὁ Ζεὺς τῷ γαμικῷ ἀστέρι τυχὼν στάσεως τῆς ἐν τῷ γάμῳ δηλωτικός· κακὴ καὶ ἡ Σελήνη καὶ ἐν ἀρσενικῷ ζῳδίῳ τυχοῦσα. ὡροσκοπῶν δὲ ὁ τοῦ γάμου κύριος ἐπίμεμπτον τὸν γάμον δηλοῖ, καὶ μάλιστα ὁ Ζεὺς ἐν θηλυκῷ ζῳδίῳ ἄπροικον ἢ ψευδοπλουσίαν ἢ ὑπόδικον, ἐν δὲ ἀρσενικῷ τὸν ἄνδρα τοιοῦτον. Ἐπειδὴ προείρηται ὅτι ὁ μὲν ὡροσκόπος ὁ γαμῶν, τὸ δὲ δῦνον ἡ γαμουμένη, τὸ μεσουράνημα ἡ ἀμφοτέρων ὁμόνοια καὶ παραμονή, τὸ δὲ ὑπόγειον ἡ προὶξ καὶ τὸ τοῦ γάμου ἀποτέλεσμα, δῆλον μὲν οὖν ὅτι τοῦ Κρόνου μὲν ὡροσκοποῦντος ὁ γαμῶν ἔσται πρεσβύτης καὶ ῥυπαρός, Ἄρεως δὲ καὶ νεώτερος καὶ ὀργίλος, τοῦ δὲ Διὸς πλούσιος καὶ ἀγαθός, μέσης ἡλικίας, Ἀφροδίτης ἱλαρός, καθάριος, ἡδύβιος, κατωφερὴς εἰς γυναῖκας, Ἑρμοῦ δὲ εὐπαίδευτος, συνετὸς καὶ ἐρωτικὸς εἰς παῖδας, Ἡλίου δὲ καὶ Σελήνης εὐγενὴς καὶ ἐπίσημος.

120 Κρόνου δὲ μεσουρανοῦντος διάλυσις ἔσται τοῦ γάμου διὰ ῥυπαρὰν καὶ σμικρολόγον, Ἄρεως δὲ διὰ ἀκαταστασίαν καὶ ζηλοτυπίαν (ἐπὰν δὲ καὶ ὁ τῆς Ἀφροδίτης συνῇ αὐτῷ ἢ μαρτυρῇ διὰ μοιχείαν, ἐὰν δὲ Ἑρμοῦ διὰ παιδὸς ἔρωτα), Διὸς δὲ καὶ Ἀφροδίτης ὁμόνοια αὐτοῖς ἔσται καὶ τεκνοποιία, Ἡλίου δὲ καὶ Σελήνης ἐπισήμους αὐτοὺς ἔσεσθαι. ἐπὶ δὲ τοῦ δύνοντος τυχόντες ὅμοια ἀποδεικνύουσι περὶ τὴν γυναῖκα οἷα καὶ ἐπὶ τοῦ ἀνδρὸς ἐν τῷ ὡροσκόπῳ. ἂν δὲ Ἄρης ἢ Κρόνος ἢ ἀμφότεροι ὑπὸ γῆν εὑρεθῶσιν ἰδίων ἀποβολὴν καὶ τέκνων καὶ τῆς προικὸς καὶ προτελευτὴν τοῦ ἀνδρὸς σημαίνουσιν, ἂν δὲ Ζεὺς καὶ Ἀφροδίτη ὑπόγειοι ὦσι πολὺν χρόνον σὺν ἀλλήλοις καὶ τέκνα ἔσεσθαι, καὶ ἐὰν μὲν ἐν ἀρσενικῷ ζῳδίῳ ὁ ἀνὴρ ἐπιζήσεται, ἐὰν δὲ ἐν θηλυκῷ ἡ γυνή, ὁ δὲ Ἑρμῆς καθὼς μαρτυρίαν δέξεται ἕκαστα ἐμφαίνει. Τοῦ Ἡλίου κεκακωμένου, τῆς δὲ Ἀφροδίτης ὑπὸ ἀγαθοποιῶν μαρτυρουμένης ἐπὶ τῇ καταρχῇ, ἄρχειν τὴν γυναῖκα τοῦ ἀνδρὸς δηλωτέον, ἔμπαλιν δὲ τυχόντων ἔμπαλιν ἔσται. τῆς δὲ Σελήνης κεκακωμένης ἀμφοτέροις ἀσύμφορον καὶ τῇ προικί. ὁ ὡροσκόπος καὶ τὸ μεσουράνημα ἔχοντες ἀγαθοποιοὺς σημαίνουσι τεκνοποιίαν ἐπὶ συμφέροντι, κακοποιοὺς δὲ ἀποβολήν. φυλάσσεσθαι δὲ τοῦ κυρίου τῆς τύχης κακωθέντος ἀγαγέσθαι γυναῖκα. χαλεπὸς δὲ καὶ ὁ κατὰ γένεσιν οὕτως ἔχων γαμικὸς ἀστήρ. κενοδρομοῦσα δὲ ἡ Σελήνη πολυκοίνους μηνύει, ἀγαθὴ δὲ ὑπόγειος ἐν θηλυκῷ ζῳδίῳ· τοῦ Ἡλίου ὄντος ἐν ἀρσενικῷ ὑποτεταγμένην αὐτὴν ποιεῖ. κʹ.

121 (1t) Περὶ χωρισμοῦ γάμου Τοὺς δὲ χωρισμοὺς αὐτῶν καὶ ἐπανελεύσεις ἐπιβλέπειν δεῖ οὕτως. τὴν καταρχὴν ἐν ᾗ γένηται ὁ χωρισμὸς ἢ καὶ ἐν ᾗ ὥρᾳ πείθεταί σου ὅρα γοῦν τὴν Ἀφροδίτην καὶ τὸν Ἥλιον, καὶ ἐὰν εὕρῃς τὸν μὲν Ἥλιον ἢ ἐν μεσουρανήματι ἢ ἐν ιαʹ τόπῳ, τὴν δὲ Ἀφροδίτην ἑσπερίαν ἀναποδίζουσαν, λέγε αὖθις τὴν γυναῖκα ἐπανελεύσεσθαι θυμήρως. ἐὰν δὲ γυνὴ

ἐκβληθῇ ὑπὸ τοῦ ἰδίου ἀνδρός, εἰ μὲν αὐξιφωτεῖ ἡ Σελήνη δυσκόλως εἰς τὸν ἑαυτῆς ἄνδρα ἐπανήξει, ἐὰν δὲ ἀποκρούῃ ἡ Σελήνη εὐκόλως ἐπάνεισιν, ἐπ’ αὐτῆς δὲ τῆς συνόδου δυσχερῶς ἐπανήξει. ἐὰν δὲ ἐν ὅσῳ ἡ Σελήνη τὸν ἴδιον κύκλον ἀπαρτίζει ὁ Ἥλιος μεταβῇ εἰς ἕτερον ζῴδιον θηλυκὸν Ἀφροδίτης σὺν αὐτῷ οὔσης, διαλυθέντος τοῦ γάμου ὁ ἀνὴρ ἑτέραν γαμήσει. ἐπιτηρητέον δὲ καὶ τὸν ὡροσκόπον καὶ τὴν Σελήνην ἐπειδὴ τυχόντες οὗτοι ἐπὶ στερεῶν ζῳδίων ἐν τῇ καταρχῇ βέβαια ποιοῦσιν, ἐπὶ δὲ τροπικῶν τρεπτὰ καὶ ἀβέβαια, ἐπὶ δὲ δισώμων ἀμφισβητήσιμα. κα′. Περὶ διαφορᾶς κυουμένων Ἐπὰν δὲ κατὰ γαστρὸς αἱ γυναῖκες ἔχουσαι βούλοιντο ἐκτιτρώσκειν μὴ δυνάμεναι τελεσφορεῖν ἁρμόζει τῆς Σελήνης οὔσης ἐν τοῖς ὀρθοῖς ζῳδίοις καὶ ἀποκρουούσης καὶ νότον κατιούσης, μαρτυρουμένης τετραγώνως ἢ τριγώνως ὑπὸ Ἀφροδίτης καὶ Ἄρεως ἢ συνόντων αὐτῇ καὶ ἐν θηλυκοῖς ζῳδίοις ὄντων. ὅσα δὲ δεῖ ἐν τούτοις παρατηρεῖν τὴν Σελήνην τοσαῦτα καὶ τὸν ὡροσκόπον δεῖ ἔχειν κατά τε τὰ ὀρθὰ ζῴδια καὶ κατὰ τὰς μαρτυρίας Ἄρεως καὶ Ἀφροδίτης. κβ′.

122 (1t) Περὶ ἐκτιτρωσκουσῶν Φασὶν ἐπικινδύνως ἐκτιτρώσκειν Κριοῦ μὲν ἀπὸ πρώτης μοίρας ἕως ια′, Διδύμων δὲ ἀπὸ πρώτης ἕως τριακοστῆς, Καρκίνου δὲ ἀπὸ α′ ἕως ιε′, Λέοντος δὲ ἀπὸ πρώτης ἕως ια′, Παρθένου δὲ τὰς πάσας, ἐν δὲ Ζυγῷ ἀπὸ ιβ′ ἕως τριακοστῆς καὶ ἐν Σκορπίῳ ἀπὸ ιβ′ ἕως τριακοστῆς, Τοξότου δὲ ἀπὸ πρώτης ἕως ια′, Αἰγοκέρωτος δὲ ἀπὸ α′ ἕως ιε′, Ὑδροχόου δὲ ἀπὸ εἰκοστῆς ἕως τριακοστῆς, ταῖς μοίραις πάσαις οὔσης τῆς Σελήνης ἢ τοῦ ὡροσκόπου, καὶ μάλιστα τοῦ Κρόνου συσχηματιζομένου, αἱ δὲ λοιπαὶ μοῖραι εὔκολοι καὶ ἀκίνδυνοι. κγ′. Περὶ παραδόσεως τεχνῶν Εἰσόμεθα δ’ εἰ εὐμαθεῖς ἔσονται οἱ παραδιδόμενοι εἰς μάθησιν τέχνης ἢ ἀμελεῖς ἀποβαίνουσιν, καὶ περὶ τῷδε εἴτε ἐπιμέλεια καὶ ἡ κατόρθωσις γένοιτο εἴτε ἡ ῥαθυμία. ὁ μὲν ὡροσκόπος τὰ κατὰ τὸν διδάσκαλον σημαίνει, τὸ δὲ μεσουράνημα τὸν συνιστῶντα οἷον δεσπότην ἢ πατέρα ἢ ἐπίτροπον, τὸ δὲ δῦνον τὸν μαθησόμενον, τὸ δὲ ὑπὸ γῆν τὴν τοῦ μαθήματος ἢ ἐπιστήμης ἀπόβασιν, τῆς θεωρίας κατὰ τὸν συγκριτικὸν λόγον ληφθησομένης ὁμοιοτρόπως τοῖς ἐπάνω προλελεγμένοις. εἰδότες οὖν τὸν τρόπον τοῦτον ἐπὶ τῶν παραδιδομένων εἰς μάθησιν τεχνῶν ἐπιτηρήσομεν τὴν Σελήνην πλήθουσαν καὶ καλῶς κειμένην μετὰ τοῦ Ἑρμοῦ καὶ αὐτοῦ καλῶς κειμένου καὶ ἀνατολικοῦ καὶ ἐν τοῖς ἀνθρωποειδέσι ζῳδίοις ὄντων ἢ καὶ πρὸς αὐτὰ ἐσχηματισμένων, καὶ τότε παραδώσομεν εἰς μαθήσεις. Ἄλλως περὶ τεχνῶν διδασκαλίας Σελήνης ἐν Κριῷ ἢ Παρθένῳ ἢ Ζυγῷ ὑπὸ Διὸς ἢ Ἀφροδίτης μαρτυρουμένης τριγώνως ἢ τετραγώνως ἢ διαμέτρως ποιεῖ τὸν τέχνης τινὸς καταρξάμενον κατορθῶσαι αὐτήν.

123 παρατηροῦ δὲ ἵνα μὴ ἡ Σελήνη συνοδεύῃ τῷ Ἡλίῳ ἢ διαμετρῇ. κδ′. Περὶ ἵππων καὶ κτηνῶν ἀγορασίας Καὶ περὶ μὲν ἵππων λογίζου τὸν μὲν Κριὸν εἶναι κεφαλήν, τὸν δὲ Ζυγὸν τὰ ὀπίσω, τὰ δὲ λοιπὰ ζῴδια τὰ παρ’ ἑκάτερα πλευρά, καὶ ὅπου δ’ ἂν εὑρεθῇ κακοποιὸς ἐκεῖ τὴν αἰτίαν καὶ τὸ σίνος τοῦ ἵππου λογιστέον. περὶ δὲ κτηνῶν ἀγορασίας τὰ προδεδαμασμένα ἐν Κριῷ καὶ Ταύρῳ τῆς Σελήνης καὶ τῆς ὥρας οὔσης καλὸν καὶ ἐπωφελὲς ἀγοράσαι, τὰ δὲ τοῦ δαμασθῆναι καὶ ὑποταγῆς χρῄζοντα ἔν τε Λέοντι καὶ τῇ τελευταίᾳ πεντεκαιδεκαμοιρίᾳ τοῦ Τοξότου τῆς ὥρας ἢ τῆς Σελήνης ὄντων. κε′. Περὶ αἱρέσεως καὶ συνθηκῶν Εἴ τις οὖν χρῄζων προσενέγκῃ αἵρεσιν περὶ οἱουδήτινος πράγματος ἐκεῖνον μὲν ἀπὸ τοῦ ὡροσκόπου σκέπτου, σὲ δὲ ἀπὸ τοῦ δύνοντος, τὴν δὲ πρᾶξιν ἐκ τοῦ μεσουρανήματος, τὸ δὲ τέλος ἐκ τοῦ ὑπογείου. ἐπισκόπει δὲ καὶ τὰ ἀνατέλλοντα ζῴδια εἰ ὀρθὰ εἴη ἢ πλάγια, καὶ ἐκ τούτων νοήσεις τοῦ προσιόντος τὸν σκοπὸν καὶ τὸν νοῦν. ἀγαθοποιοῦ γὰρ ὄντος ἐπὶ τῆς ὥρας μὴ φοβήσῃς δόλον. εἰ δὲ τύχωσιν οἱ κακοποιοὶ ἐν τῷ μεσουρανήματι τὸ πρᾶγμα οὐ καλόν· περὶ γὰρ τὴν αἵρεσιν προσφέρει καὶ ἀηδίαν προξενεῖ. ὁμοίως ἀπαναίνου κακοποιοῦ ὄντος ἐν τῷ δύνοντι ἢ ἐν τῷ ὑπογείῳ. ἐπισκέπτου δὲ καὶ τὴν Σελήνην πῶς κεῖται ἵνα ἐκ πάντων τὸ ἀληθὲς προμάθῃς. κϛ′.

124 (1t)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Περὶ δανείων Ἀκολούθως τοῖς προκειμένοις ἔσται ὁ μὲν δανείζων ὁ ὡροσκόπος, ὁ δὲ δανειζόμενος τὸ δῦνον, τὸ δὲ μεσουράνημα τὸ διδόμενον ἀργύριον, τὸ δὲ ὑπὸ γῆν μηνύει σοι τὴν ἔκβασιν τοῦ χρέους. ἀλλὰ καὶ ἡ τῆς Σελήνης ἀπόρροια ληφθήσεται εἰς πρόσωπον τοῦ δανείζοντος, ἡ δὲ συναφὴ τοῦ δανειζομένου, ἐκ δὲ τῶν ὠφελούντων ἢ βλαπτόντων ἀστέρων αἱ προσαγορεύσεις ἀκολούθως ἔσονται. τινὲς δὲ ἐπισκοποῦσι τὸν Ἥλιον καὶ τὴν Σελήνην, τὴν μὲν Σελήνην εἰς τὸν δανείζοντα ὅταν ᾖ αὐξίφως, τὸν δὲ Ἥλιον εἰς τὸν δανειζόμενον ἤτοι χρεώστην, ὅταν δὲ ἡ Σελήνη λειψίφως ἐστὶν ἔμπαλιν ὁ μὲν Ἥλιος εἰς τὸν δανείζοντα μετείληπται, ἡ δὲ Σελήνη εἰς τὸν ὀφειλέτην. Κακὴ δὲ ἡ Σελήνη ἐν τοῖς συνδέσμοις ἢ ἐν τῷ νοτίῳ περικαμπίῳ. φύλαττε δὲ δανείζων τὴν τοῦ Ἑρμοῦ μετὰ Κρόνου στάσιν καὶ τὴν Σελήνην οὖσαν ἐν ἀρχῇ τοῦ Λέοντος καὶ τῶν Διδύμων καὶ τοῦ Τοξότου, καὶ ὅτε τούτων αὐτῶν τῶν ζῳδίων αἱ ἀρχαὶ ὡροσκοποῦσιν. ἐὰν δὲ δανείσασθαι θέλῃς ἔστω ἡ Σελήνη ἐν Ὑδροχόῳ καὶ Σκορπίῳ καὶ Λέοντι καὶ Ἰχθύσι καὶ Τοξότῃ λειψιφωτοῦσα καὶ τοῖς ἀριθμοῖς ἀφαιροῦσα, ἡ δὲ Ἀφροδίτη καὶ ὁ Ζεὺς καὶ ὁ Ἑρμῆς ἐπιμαρτυρείτωσαν τῇ Σελήνῃ ἢ τῷ ὡροσκόπῳ. κζʹ. Περὶ ἐγγύης εἴπερ οὐ βούλεσαι ἐγγυήσασθαί τινα Εἰ δὲ βουληθῇς μὴ ἐγγυήσασθαί τινα δυσωποῦντά σε ἐπιτήρει τὴν Σελήνην μετὰ Κρόνου καὶ Ἄρεως ἢ καὶ τούτων τῶν ἀστέρων ὡροσκοπούντων καὶ τότε σύντυχε τῷ δυσωποῦντί σε· τότε γὰρ ἀσυντέλευτα γίνεται τὰ τῆς ἐγγύης.

125 κατὰ τὰ αὐτὰ δὲ σχήματα τοῦ θέλοντος δανείσασθαι παρά σου τὴν ἐνόχλησιν ἐκφεύξῃ. κθʹ. Περὶ ἐλευθερώσεων Περὶ ἐλευθερίας σκεπτόμενος ἀπόνεμε τὸν μὲν ὡροσκόπον τῷ ἐλευθεροῦντι, τὸ δὲ μεσουράνημα παρ' ᾧ γίνεται ἡ ἐλευθερία, τὸ δὲ δῦνον τῷ ἐλευθερουμένῳ, τὸ δὲ ὑπὸ γῆν ὁποία τις ἔσται ἡ ὑπομονὴ καὶ εὐχαριστία. Βεβαιότερον δὲ ἂν σκέψαιτό τις οὕτω· τὸν μὲν ὡροσκόπον κρίνων τὸν ἐλευθερούμενον, ἐκ δὲ τοῦ κυρίου τοῦ ζῳδίου καὶ τῶν πρὸς αὐτὸν σχηματισμῶν ὁποῖος τυγχάνει καταλήψεται, καὶ ἂν μὲν ἀνατολικὸς τύχῃ αὐτεξουσίως ἀφεθήσεται καὶ τὴν ἐλευθερίαν καρπώσεται, ἐὰν δὲ δυτικὸς περισκελίαν τινὰ καὶ συκοφαντίαν ἕξει. τὸ δὲ μεσουράνημα τὸν τόπον ἐν ᾧ γίγνοιτο μηνύσει, τὸ δὲ δῦνον τὸν ἐλευθεροῦντα (ὁποῖος δέ ἐστιν ἀπὸ τοῦ κυρίου τοῦ ζῳδίου), τὸ δὲ ὑπὸ γῆν τὰς ἐκβάσεις τῆς ἐλευθερίας κατὰ τὰς τῶν ἀστέρων δηλονότι ἐφοράσεις. τοῦ δὲ κυρίου τοῦ ὡροσκόπου ἐναντιουμένου τῷ δυτικῷ ἐναντίοι καὶ ἐχθροὶ ἔσονται ὁ ἐλευθερώσας καὶ 〈ὁ〉 ἐλευθερωθείς. Φυλάσσειν δὲ χρὴ ἐν πρώτοις τὴν Σελήνην ἀκάκωτον καὶ ἀγαθοῖς συνάπτουσαν ἐπεὶ τὸ ἐναντίον παθούσης ἡ δουλεία πολλῷ ἀμείνων ἔσται τῆς ἐλευθερίας ὥς φησι Δωρόθεος. ἀλλὰ καὶ τὰ ἡμισφαίρια, τὸ ὑπὸ γῆν, τὸ ὑπὲρ γῆν, ὁρατέον, οἱ δὲ ὑπὸ γῆν τὰ ἐν τῇ ἐλευθερίᾳ σημαίνουσιν. καὶ εἰ μέν τις τῶν ἀγαθοποιῶν ἐν τῷ ὑπὸ γῆν ἡμισφαιρίῳ τύχῃ πάντα καλά, τουτέστιν ἐὰν ἀγαθοποιὸς ἀστὴρ μετὰ τὴν καταρχὴν τῆς ἐλευθερώσεως πρῶτος ἀνατείλῃ. ἐὰν δὲ Σελήνη μετὰ κακοποιοῦ συνοδεύουσα ἐν τῷ δυτικῷ τύχῃ εὐθέως μετὰ τὸ ἐλευθερωθῆναι διαφέρει τὸν ἐλευθερωθέντα. ΕΡΙΤΟΜΑ III ΗΦΑΙΣΤΙΩΝΟΣ ΘΗΒΑΙΟΥ ΑΠΟΤΕΛΕΣΜΑΤΑ ΣΥΝΟΠΤΙΚΑ ΠΕΡΙ ΤΩΝ ΕΚΛΕΙΨΕΩΝ ΤΩΝ ΦΩΣΤΗΡΩΝ ΕΚ ΜΟΝΩΝ ΤΩΝ ΖΩΙΔΙΩΝ Σεληνιακῆς ἐκλείψεως γινομένης ἐν τῷ Κριῷ ἀφορίαν πάντων ἔσεσθαι σημαίνει, ἐν δὲ Ταύρῳ σίτου φθοράν, ἐν δὲ Διδύμοις καὶ Καρκίνῳ σίτου δαψίλειαν καὶ οἴνου, ἐν Λέοντι σίτου πλῆθος κατὰ τὰ πεδία, ἐν δὲ Παρθένῳ προβάτων φθορὰν καὶ δένδρων, ἐν Ζυγῷ σίτου φθορὰν ὑπὸ ἀκρίδος καὶ νόσου, ἐν δὲ Σκορπίῳ λοιμόν, ἐν Τοξότῃ ὕδωρ καὶ χάλαζαν, ἐν Αἰγοκέρωτι σῖτον ἐν τοῖς πεδίοις ἔσεσθαι καὶ ἀνέμους βιαίους, ἐν δὲ Ὑδροχόῳ εὐθηνίαν καὶ σίτου φθορὰν ἐν τοῖς πεδίοις, ἐν Ἰχθύσι πρωΐμους τοὺς σιτικοὺς καρπούς.

126 (t) Ἡλίου δὲ ἐκλείποντος ἐν Κριῷ σίτου δαψίλειαν καὶ ὑγιεινὸν τὸ ἔτος ἀποδεικνύει, ἐν δὲ Ταύρῳ σίτου φθορὰν ὑπὸ ἀκρίδος, ἐν δὲ τοῖς Διδύμοις λιμὸν ἰσχυρόν, ἐν δὲ Καρκίνῳ ὕδωρ πολὺ καὶ σίτου σπάνιν, ἐν δὲ Λέοντι σίτου σπάνιν, ἐν δὲ Παρθένῳ ἐπὶ τρίμηνον ἀπηλιώτην πνεῦσαι, ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ζυγῷ βροντὰς καὶ λιμόν, ἐν Αἰγοκέρωτι σίτου σπάνιν, ἐν Ὑδροχόῳ σίτου δαψίλειαν, καὶ ἐν τοῖς Ἰχθύσιν ὕδωρ ὀλίγον.

127 Ὡρίσαντο δὲ οἱ παλαιοὶ μερικῶς ὅτι ἐν μὲν Κριῷ ἐκλείψεως γενομένης ἔσεσθαι ἐν Αἰγύπτῳ καὶ τοῖς κατὰ Συρίαν τόποις μέγιστα κακὰ καὶ τοῖς δυνάσταις τῶν τόπων θανάτους καὶ ἐπιβουλὰς καὶ ἀναιρέσεις καὶ τῶν δοκούντων ἐκπτώσεις καὶ στρατοπέδων συγκρούσεις καὶ ἁρπαγὰς καὶ ἐμπρησμούς, ἐν δὲ τῇ Λιβύῃ ὄχλων ἐπαναστάσεις καὶ τῷ ἡγουμένῳ κίνδυνον καὶ τοῖς κατὰ ἀνατολὰς καὶ ἑσπέραν. Ἐν δὲ Ταύρῳ εὐφορίαν σίτου ἐν Αἰγύπτῳ καὶ ὄχλων ἀκαταστασίαν τῆς οὖν ἐκλείψεως γενομένης ἀπὸ τετάρτης ὥρας ἕως ἐννάτης, ἐν δὲ Μηδίᾳ καὶ τῇ Ἐλυμαΐδι πολέμους, ἐν δὲ Κύπρῳ ἐρυσίβην, ἐν δὲ τῇ Ἀσίᾳ πανηγύρεις, ἑορτάς, πολυπάθειαν, ἀπὸ ἀνατολῶν δὲ τοῦ Ἡλίου ἢ τῆς Σελήνης τῆς ἐκλείψεως γενομένης φόνους ἐν Συρίᾳ ἔσεσθαι, τὸν δὲ δυνάστην Συρίας καὶ Αἰγύπτου διενεχθέντας πρὸς ἀλλήλους μετ' ἐνιαυτὸν καὶ ἓξ μῆνας κακῶς ἀπολεῖσθαι καὶ ὑφ' ἑτέρων διαδεχθῆναι, ἀπὸ δυσμῶν δὲ γενομένης τοῖς πρὸς ἑσπέραν οἰκοῦσιν ἧτταν καὶ ταπείνωσιν ἔσεσθαι. Κατὰ δὲ τοὺς Διδύμους Ἡλίου ἐκλείποντος ἐν τῇ πρώτῃ τριώρῳ τὸν δυναστεύοντα τῆς Ἀσίας μετ' ἐνιαυτὸν τελευτήσειν ὡρίσαντο καὶ τοὺς πρωτοστατήσαντας ὑπὸ τῶν ὄχλων κακοποιήσεσθαι, περὶ δὲ τὸ τελευταῖον τρίωρον γενομένης Ἰταλίᾳ καὶ Κιλικίᾳ καὶ Λιβύῃ καὶ τοῖς πρὸς ἑσπέραν κατοικοῦσι φθορὰν καὶ ἀπώλειαν ἔσεσθαι. τῆς δὲ Σελήνης ἐν τῇ πρώτῃ τριώρῳ ἐκλειπούσης τῷ τῆς Ἀσίας βασιλεῖ βλάβην ἰσχυρὰν καὶ τοῖς οἰκοῦσι φθορὰν καὶ ἀπώλειαν ἔσεσθαι καὶ φθορὰν τετραπόδων, μάλιστα προβάτων, ἐν δὲ τῇ δευτέρᾳ τριώρῳ κατασφαγὰς ἐν Λιβύῃ καὶ Συρίᾳ καὶ Βαβυλωνίᾳ σημαίνει, ἐν δὲ τῇ τρίτῃ τριώρῳ μέρη τινὰ Αἰγύπτου καὶ Λιβύης καὶ Κιλικίας καὶ Ῥώμης θλιβήσεσθαι καὶ τοὺς ὑποτεταγμένους ὑπὸ τῶν ὑπερεχόντων μάλιστα βλαβήσεσθαι.

128 Ἐν δὲ Καρκίνῳ ἐκλείποντος Ἡλίου ἐν οἱᾳδήποτε τριώρῳ πάσῃ γῇ κάκωσιν καὶ ἀκαταστασίαν ἀπὸ ἀνατολῆς ἕως δύσεως τοῖς οἰκοῦσι σημαίνει. τῆς δὲ Σελήνης ὥρᾳ πρώτῃ, δευτέρᾳ καὶ τρίτῃ ἐκλειπούσης τὸν δυναστεύοντα τῆς Συρίας πρὸς ἄλλον δυνάστην συγκρούσειν καί τινα μέγαν ἄνδρα ἀπολέσθαι, ὑπό τε 〈τῶν ὄχλων〉 προδοθήσεσθαι τὸν ἡγούμενον καὶ τόπους ἐπιφανεῖς ἀφανισθήσεσθαι ὑπὸ σεισμῶν τε καὶ ἀστραπῶν καὶ ἀνθρώπους ἐνδόξους ἀναιρεθήσεσθαι, ἐν δὲ τῇ β′ τριώρῳ ἤτοι δ′, ε′, ϛ′ τῆς τε Βαβυλῶνος καὶ Αἰθιοπίας φθορὰν ἔσεσθαι, Ἰνδοῖς δὲ καὶ ἀφανισμὸν τοῖς ζῴοις, ζ′ δὲ καὶ η′ καὶ θ′ ἐν Περσίδι φθορὰν σημαίνει, ι′ καὶ ια′ καὶ ιβ′ ὁμοίως ἐν Βαβυλῶνι φθορὰν ἔσεσθαι ἀνθρώπων καὶ προβάτων. Ἐν δὲ τῷ Λέοντι ἐκλείποντος Ἡλίου κατὰ τὴν πρώτην τρίωρον βαρβάρων στρατιὰν πολεμῆσαι τοῖς Ἕλλησι καὶ ἑλεῖν αὐτοὺς μηνύει, κατὰ δὲ τὸ δεύτερον τρίωρον κατ' Αἴγυπτον ἄνδρα μέγιστον ἀπολέσθαι καὶ φόνους καὶ διαρπαγὰς καὶ χειροκρατησίας ἔσεσθαι, ἐν δὲ τῇ τρίτῃ τριώρῳ Φρυγίαν καὶ Κιλικίαν πολλὰ ἄτοπα καὶ Θρᾴκην ἐπισχύσειν, ἐν δὲ τῇ τετάρτῃ τριώρῳ βαρβάρων ἐπίθεσιν καὶ πτῶσιν σημαίνει. τῆς δὲ Σελήνης ἐκλειπούσης κατὰ τὴν πρώτην τρίωρον μετ' ἐνιαυτὸν ἄνδρα δυνάστην μετ' ὄχλου πολλοῦ Κύπρῳ ἐπιστρατεῦσαι καὶ μὴ καλῶς ἀπαλλάξαι πολλοῦ λαοῦ ἀπὸ τῆς Αἰγύπτου κατ' αὐτοῦ ἐλθόντος καὶ πολλῶν λαῶν ἀναιρεθέντων, ἐν Βαβυλῶνι ἡγούμενον ἄνδρα ἀποστατῆσαι καὶ Λίβυας τὸν ἑαυτῶν ἡγούμενον ἀνελεῖν καὶ ἀπὸ τῆς τοιαύτης νεωτερίσεως τὴν χώραν διαφθαρῆναι, ἐν δὲ τῇ δευτέρᾳ τριώρῳ μοχθηρὰν τὴν θάλασσαν μηνύει καὶ ὄχλων συστροφάς, ἐν δὲ τῇ τελευταίᾳ τριώρῳ Συρίας καὶ Αἰγύπτου ὄχλων συγκρούσεις καὶ τοῖς ἐν δυσμαῖς οἰκοῦσιν.

129 Ἐν δὲ Παρθένῳ τῆς Σελήνης ἐκλειπούσης δακτύλους δύο πρὸς νότον ἐν Αἰγύπτῳ μεγίστην πόλιν ἀνάστατον σημαίνει καὶ τοὺς ἐπισήμους ταπεινοὺς καὶ τὰ τέκνα αὐτῶν ἀφαιρεθήσεσθαι καὶ ὠμότητα πολλὴν γενέσθαι ὑπὸ ὀχλοκρατείας καὶ φόνους, καταφεύξεσθαι δὲ πρὸς τὸν τῆς Αἰγύπτου ἡγούμενον βοηθείας χρῄζοντας, ἐν δὲ τῇ δευτέρᾳ τριώρῳ ἐκλειπούσης τὸ ἥμισυ τοῦ κύκλου ἢ τὸ τρίτον τοῖς πρὸς βορρᾶν Αἰγυπτίοις λύπας καὶ στρατιὰν ἐπὶ τὴν Ἀσίαν σημαίνει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἔξωθεν ἐπιστρατεῦσαι δυνάστην καὶ δόλους καὶ προδοσίας γενέσθαι, ἀποστατῆσαι δὲ πολλοὺς τοῦ πρότερον ἡγεμόνος, ἐὰν δὲ ἐν τῇ τελευταίᾳ τριώρῳ τοῖς πρὸς ἑσπέραν οἰκοῦσι πολλὰ κακὰ ἀπεργάζεται. τὰ δὲ αὐτὰ καὶ ἐπὶ τῶν ἡλιακῶν ἐκλείψεων ἐσημειώσαντο. Ἐν Ζυγῷ δὲ ἤτοι χηλαῖς τοῦ Σκορπίου Ἡλίου ἐκλείποντος πρώτῃ ἢ δευτέρᾳ τριώρῳ ὕδωρ πολὺ γίνεσθαι ἐν τοῖς θαλασσίοις τόποις πρὸς βορρᾶν ὡς τὸν καρπὸν μὴ δύνασθαι συνελεῖν, τὸ δὲ σύμπτωμα Ἀρκαδίᾳ, Σουσιανῇ, Βακτριανῇ, Αἰθιοπίᾳ ἔσεσθαι καὶ τῇ περὶ τὸν Εὐφράτην χώρᾳ, ἀπὸ δὲ τετάρτης ἕως ἕκτης ἐπὰν ἐκλείπῃ καὶ περιστῇ τοῦ Σκορπίου τὸ στόμα καὶ ἀποκαθαρθῇ ἀπ’ ἄρκτου, τὸν τῆς Ἀσίας βασιλέα μετὰ ἐννέα μῆνας τοὺς προεπιβουλεύσαντας αὐτῷ δολοφονῆσαι δηλοῖ καὶ ἐν Κιλικίᾳ φόνους πολλοὺς καὶ ἐν Μακεδονίᾳ καὶ Λιβύῃ καὶ Ἰταλίᾳ, ἀπὸ δὲ τοῦ τῆς ἐκλείψεως χρόνου μετὰ τρία ἔτη τὸν τῆς Αἰγύπτου βασιλέα πόλεμον ἐξοίσειν πρὸς τὸν τῆς Συρίας καὶ ἡττηθήσεσθαι καὶ ἐν Αἰγύπτῳ στρατόπεδα συναχθήσεσθαι καὶ στάσεως γενομένης τοὺς πρώτους ἀναιρεθήσεσθαι ὑπὸ τῶν ὄχλων, ἐν δὲ τῇ τρίτῃ τριώρῳ ἐκλείποντος Ἡλίου τοῖς ἐν Φοινίκῃ καὶ Καππαδοκίᾳ νόσον ἔσεσθαι, ἐν δὲ Συρίᾳ κυνῶν θάνατον καὶ μετὰ ταῦτα ἀνθρώπων, τῇ δὲ δεκάτῃ ἢ ἑνδεκάτῃ ὥρᾳ τῆς ἐκλείψεως γενομένης θάνατον τοῖς θηρίοις καὶ τοῖς ὑποζυγίοις σημαίνεσθαι.

130 καὶ τὴν Σελήνην δὲ ἐκλείπουσαν περὶ τὰς πρώτας τρεῖς ὥρας πᾶσαν δυσαρεστίαν καὶ ἀηδίαν ἐγγεννᾶν πάσῃ χώρᾳ καὶ βάρη τοῖς ὑποτεταγμένοις ὡς τὰ κοινὰ θλιβῆναι καὶ τοὺς δυνάστας ἀποφυγὴν εὔξασθαι, ἀπὸ δὲ τῆς τρίτης ὥρας ἕως ἑβδόμης ἐκλείπουσαν τῇ Κοίλῃ Συρίᾳ καὶ Φοινίκῃ καὶ Λιβύῃ καὶ Αἰγύπτῳ ἄνεσιν ποιῆσαι, δεκάτῃ δὲ ὥρᾳ καὶ ἑνδεκάτῃ ἐκλείπουσαν τοῖς παραθαλασσίοις τόποις θόρυβον καὶ Ἰωνίᾳ πόλεμον καὶ καρπῶν ἀφορίαν σημαίνειν. Ἐν δὲ τῷ Σκορπίῳ περὶ πρώτην καὶ δευτέραν Ἥλιος ἐκλείψας Γαλάτας πρὸς Ἕλληνας πόλεμον ποιήσειν, ἐν δὲ Λιβύῃ πολλὰ θηρία τὴν γῆν τέξεσθαι, ὥρᾳ δὲ τρίτῃ ἕως πέμπτης ἐκλείψας σημαίνει Ἀρμενίᾳ, Καππαδοκίᾳ, Λυδίᾳ, Φρυγίᾳ, Ἰωνίᾳ, Ἑλλησπόντῳ ἀηδῆ τοῖς τε ἄρχουσιν αὐτῶν, τῇ δὲ τρίτῃ τριώρῳ ἐκλείψας τῇ χώρᾳ τῇ πρὸς ἑσπέραν ἐρήμωσιν δηλοῖ ὡς πόλεις εἰς πόλεις καταφυγεῖν, τῇ δὲ τελευταίᾳ τριώρῳ ἐκλείψας καὶ δὺς πρὸ τοῦ καθαρθῆναι τὴν πρὸς ἑσπέραν χώραν μετ’ ἐνιαυτὸν ἀφανισθήσεσθαι καὶ τὸν δυνάστην αὐτῶν ἀπολέσθαι μηνύει. ἡ δὲ Σελήνη πρώτῃ καὶ δευτέρᾳ ἐκλείψασα Αἰθιοπίᾳ καὶ τοῖς ἐνοικοῦσι σπάνιν γενέσθαι δηλοῖ, τρίτῃ δὲ καὶ τετάρτῃ καὶ πέμπτῃ Συρίᾳ, Κιλικίᾳ καὶ Φοινίκῃ καὶ Αἰγύπτῳ πόλεμον ἔσεσθαι καὶ ἀκρίδα πολλὴν καὶ τὰ θηρία καταδαίσασθαι τοὺς καρποὺς καὶ πολλὰ παράδοξα σημεῖα ἐπιγενήσεσθαι, ἐὰν δὲ ὀγδόῃ ἢ ἐννάτῃ ἢ ἕως δυσμῶν ἐκλείψῃ τῆς μὲν Αἰγύπτου τοὺς ὄχλους ἀπειθῆσαι τῷ ἡγουμένῳ καὶ μεγάλους ἄνδρας ἀναιρεθῆναι, Εὐβοίᾳ δέ, τῇ Περσῶν χώρᾳ συμφορὰν σημαίνει.

131 Ἐν δὲ Τοξότῃ Ἥλιος ἐκλείψας ἐν τῇ πρώτῃ τριώρῳ Κρήτῃ ἐμφύλιον πόλεμον γενέσθαι, στάσεις δὲ καὶ πόλεμον πανταχῇ, πέμπτῃ δὲ ἢ ἕκτῃ ἢ ἑβδόμῃ ὥρᾳ Ἰβηρίᾳ, Σκυθίᾳ, τοῖς Ἕλλησι πόλεμον, ἐν δὲ Συρίᾳ ἐπίλυσιν βαρβάρων καὶ πόλεμον, Βαβυλῶνος δὲ φθορὰν δηλοῖ, ἀπὸ δὲ ὀγδόης ὥρας ἕως δωδεκάτης πόλεις ἐπιθαλασσίους ἀναστάτους ἔσεσθαι καὶ τὰ κοινὰ αὐτῶν διαφθαρῆναι καὶ τοῖς τῆς Ἀσίας καὶ Αἰγύπτου δυνάσταις ἀντιλογίαν ἔσεσθαι, τήν τε Σουσιανὴν χώραν ὑπὸ τῆς παρακειμένης καταδραμηθῆναι σημαίνει. τῆς δὲ Σελήνης ἐκλειπούσης ἐν ταῖς πρώταις ὥραις κίνησιν στρατοῦ καὶ τοῖς ἔχουσι τὰ κοινὰ ταραχὰς καὶ φόβους ἔσεσθαι καὶ νόσους περὶ τοὺς ὀφθαλμοὺς κατὰ τὸ φθινόπωρον καὶ πολλοῖς τόποις ἔσεσθαι τὰ σημεῖα—Καρίᾳ, Ἰωνίᾳ, Αἰγύπτῳ, Ἀραβίᾳ, Βαβυλωνίᾳ, Μεσοποταμίᾳ καὶ τῇ περὶ τὸν Νεῖλον καὶ Εὐφράτην μέχρι τῆς Ἐρυθρᾶς θαλάσσης καὶ μέχρι Ἐλυμαΐδος—καὶ τὸ ἔτος ἀπατηλὸν καὶ περίψυχρον καὶ λυπηρὸν ὡς καὶ τοῖς ἀνθρώποις ὑποψίας μοχθηρὰς ἐγγενέσθαι καὶ ἄλλον ἄλλῳ δόλους τεκτήνασθαι καὶ τοὺς κακούργους τὰ τῶν πλησίον ἀφελέσθαι καὶ χρημάτων ἐπιγραφὰς γενέσθαι τοῖς πλουσίοις, ἀπὸ δὲ τετάρτης ἕως ἑνδεκάτης βαρβάρων στρατεύματα ἐπὶ

τοὺς Ἕλληνας καὶ περὶ Μακεδόνας θόρυβον σημαίνει καὶ τοὺς πρωτεύοντας πεσεῖν, ἐν δὲ ταῖς λοιπαῖς ὥραις τοὺς πρὸς ἑσπέραν οἰκοῦντας ἑαυτοὺς πολιορκῆσαι δηλοῖ ὡς τοὺς νεκροὺς αὐτῶν κατέδεσθαι τὰ θηρία.

132 Τοῦ Ἡλίου δὲ ἐν Αἰγοκέρωτι περὶ τὴν πρώτην τρίωρον ἐκλείποντος τοῖς πλησίον νότου οἰκοῦσι κακὰ σημαίνει, περὶ δὲ δευτέραν τρίωρον κακὰ Ἐλυμαίᾳ, Περσίδι, Μηδίᾳ, Γερμανίᾳ, Ἰνδίᾳ δηλοῖ καὶ τοῖς πρὸς ἀνατολὰς καὶ ἀπηλιώτην οἰκοῦσιν, ἐν δὲ τῇ τρίτῃ τριώρῳ τοῖς ἐν τῷ Πόντῳ πόλεμον καὶ τοῖς ἐν τῇ Ἀσίᾳ καὶ Κύπρῳ καὶ τοῖς πρὸς νότον οἰκοῦσι σημαίνει; ἔτι δὲ νόσους καὶ φθορὰς καρπῶν καὶ φυτῶν γῆς, ἐν δὲ τῇ τελευταίᾳ τριώρῳ τετραπόδων διαφθορὰν τῶν ἐν τῇ δύσει. Σελήνη δὲ ἐν Αἰγοκέρωτι ἐκλείψασα ἐν τῇ πρώτῃ τριώρῳ ἄνδρα μέγαν ἐπὶ τὴν Αἴγυπτον ἐκ τῆς Ἀσίας στρατεύσασθαι καὶ τὸν ἡγούμενον αἰχμαλωτισθῆναι καὶ τοὺς ὄχλους τοὺς μὲν διαφθαρῆναι, τοὺς δὲ ὑποχειρίους ἔχειν σημαίνει, μετὰ δὲ τὴν τούτων ἀπαλλαγὴν ἔσεσθαι ἐμφύλιον πόλεμον καὶ ὀχλοκρατίαν καὶ τοὺς πρώτους κατακοπῆναι καὶ ἀποστατῆσαι δὲ ἄλλους τοῦ ἡγουμένου καὶ ἄλλον ἄλλου ἀφελέσθαι τὰ κτήματα, τοὺς δὲ δεσπότας αὐτῶν δι' ἔνδειαν ἐπαιτεῖσθαι τροφήν, ἐν δὲ ταῖς ἑξῆς ἄχρι τῆς ὀγδόης ὥρας ἐκλειπούσης νοσήματα περιοδικὰ ἐπελεύσεται ἀπὸ ἀνατολῆς μέχρι δύσεως, καὶ Φοινίκη ὑπὸ τῶν ἔξω πολιορκηθήσεται, ὁ δὲ πολιορκῶν οὐδὲν ἀνύσει διὰ τὸ ἐπικοινωνεῖν τῷ Αἰγοκέρωτι τὸ τῆς Εἰληθυίας ζῴδιον ἀκέφαλον ὄν, ἐν δὲ ταῖς τελευταίαις ὥραις ἐκλείπουσα ἢ καὶ ἔχουσά τι μέρος τῆς ἐκλείψεως δύνει, σημαίνει στράτευμα ἔξωθεν ἐπὶ τὴν Ἀσίαν ἐλεύσεσθαι καὶ ὁ πρότερον δυναστεύων ἀπὸ τῶν ἰδίων ἐγκαταλειφθεὶς ἁλώσεται, μετὰ χρόνον δέ τινα οἱ προεπιβουλεύσαντες τῷ δυνάστῃ τίσουσι δίκας.

133 Ἐν δὲ Ὑδροχόῳ Ἥλιος ἐκλείψας τῇ πρώτῃ τριώρῳ τῷ πρὸς εὖρον μέρει σημαίνει (Μεσοποταμίᾳ, Ἀραβίᾳ, Συρίᾳ Κοίλῃ, Αἰγύπτῳ, Αἰθιοπίᾳ, Λιβύῃ) καὶ τοῖς πρὸς ἑσπέραν πᾶσιν ὄχλων ἔσεσθαι συστροφάς, ἐν δὲ τῇ δευτέρᾳ τριώρῳ ἐκλείπων τοὺς καρποὺς βλαστήσαντας ἐπισινεῖς ποιήσει καὶ ἔνυδρα πολλὰ γενόμενα ἀπολεῖται, τῇ δὲ τρίτῃ τριώρῳ ἔριν καὶ στάσιν προμηνύει ἔσεσθαι Ἰταλίᾳ, Κιλικίᾳ, Λιβύῃ, Λακωνικῇ καὶ ταῖς ἐν αὐταῖς πόλεσι πρὸς ἀλλήλας, ἐν δὲ τῇ τελευταίᾳ τριώρῳ ὁμοίως τὰ αὐτὰ σημαίνει. ἡ δὲ Σελήνη ἐκλείπουσα ἐν τῇ πρώτῃ τριώρῳ ὅλη ἢ τὸ δίμοιρον μέρος παρὰ τῶν δυναστῶν τοῖς ἐν Κιλικίᾳ πολλὰ ὀχληρὰ ἐπιταθήσεσθαι, βαρέα σημαίνει, ἐν δὲ τῇ δευτέρᾳ τριώρῳ ὁμοίως, ἐν δὲ τῇ τρίτῃ περὶ Κύπρον ἄτοπόν τι ἔσεσθαι καὶ λυπηρόν, Τυρρηνούς τε καὶ Ἰταλοὺς νόσοις περιπεσεῖσθαι χαλεπαῖς, ἐν δὲ τῇ τελευταίᾳ τριώρῳ τοὺς ἐν τῇ περιχώρῳ Λιβύης τοῖς τὰς πόλεις οἰκοῦσι πολεμήσειν σημαίνει καὶ τοὺς καρποὺς αὐτῶν ὑπ' ἄλλων τρυγηθῆναι καὶ τὰς ὁδοὺς ἀποκλεισθῆναι. Ἐν δὲ τοῖς Ἰχθύσιν ὁ Ἥλιος ἐκλείπων ἐν τῇ πρώτῃ τριώρῳ ὅλος ἢ τὸ δίμοιρον μέρος τοῦ κύκλου τὸν τῆς Ἀσίας δυνάστην ὑπὸ βαρβάρων μηνύει ταπεινωθήσεσθαι καὶ πολλὰ ἀποβαλεῖν καὶ μετὰ τριετίαν ἢ μικρῷ πλέον ἄλλον τὴν ἐξουσίαν παραλαβεῖν, δ′ δὲ καὶ ε′ ὥρᾳ ἐκλείπων ἀπὸ πολλῶν τὴν Αἴγυπτον καὶ Συρίαν ὀχληθήσεσθαι, ἑβδόμῃ δὲ καὶ ὀγδόῃ χαλεπὰ πείσεσθαι Ἀρμενίαν, Καππαδοκίαν, Φρυγίαν, Ἰωνίαν, Λυδίαν, Ἑλλήσποντον, ι′ δὲ καὶ ια′ ὥρᾳ ἐκλείψας θάνατον ἀνθρώποις ἔσεσθαι ἀπὸ τῆς βαρβάρων χώρας εἰς Ἕλληνας καὶ τοῖς παραθαλασσίοις τόποις λιμὸν σημαίνει.

134 καὶ ἡ Σελήνη ἐκλείπουσα ἐν τῇ πρώτῃ τριώρῳ Αἰγυπτίοις νόσους, φόνους, πράσεις, ἁλώσεις δηλοῖ, ἐν δὲ τῇ δευτέρᾳ τριώρῳ Αἰγυπτίων ἐπὶ τέκνα δυνάστου πένθος καὶ φθορὰν αὐτῷ τῷ δυνάστῃ καὶ νόσον χαλεπήν, Κύπρον δὲ ἀκρίδα πολλὴν λυμανεῖσθαι προμηνύει, ἐν δὲ τῇ τρίτῃ τριώρῳ λῃστὰς κατὰ θάλασσαν πανταχοῦ γενέσθαι, ἐν δὲ τῇ τελευταίᾳ μερίδι τῶν ὡρῶν ἐκλείπουσα ἰχθύων ἅλωσιν πανταχοῦ σημαίνει, Μήδοις πρὸς ἀλλήλους πόλεμον, Σελήνης δὲ ὁμοχρόου γενομένης τῷ ἀέρι ἤτοι τῆς ἐκλείψεως αὐτῆς θάνατον ἀνθρώπων ἁπανταχοῦ σημαίνει. Καθολικῶς δὲ ἐσημειώσαντο Αἰγοκέρωτι, Ὑδροχόῳ, Ἰχθύσιν, Κριῷ ἐκλείψεως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γενομένης βασιλεῦσι σημαίνειν, Ταύρῳ δὲ καὶ Διδύμοις καὶ Καρκίνῳ καὶ Λέοντι ὄχλων ἀκαταστασίας καὶ ταραχὰς καὶ ἔριδας, Παρθένῳ δὲ καὶ Ζυγῷ καὶ Σκορπίῳ καὶ Τοξότῃ ἱεροῖς τόποις καὶ κοινοῖς καὶ χώραις ἑλώδεσιν. τὰς δὲ ἐν τῷ αὐτῷ μηνὶ τῆς Σελήνης καὶ τοῦ Ἡλίου γενομένας ἐκλείψεις ἐκ διαμέτρου ἀποτελεῖν παρετηρήσαντο ἐκ τῆς συγκράσεως ἑκατέρας ἐκλείψεως τῶν προεκτεθειμένων ἀποτελεσμάτων. ἵνα δὲ μὴ μακρὸν τὸν ὑπομνηματισμὸν ποιήσωμεν ἀφήσθω τοῦτο τοῖς εὐεπιβόλοις ἀφ' ἑαυτῶν ἐπιγνῶναι. ΕΡΙΤΟΜΑ IV ΕΚ ΤΩΝ ΗΦΑΙΣΤΙΩΝΟΣ ΤΟΥ ΘΗΒΑΙΟΥ ΑΠΟΤΕΛΕΣΜΑΤΙΚΩΝ ΚΑΙ ΕΤΕΡΩΝ ΠΑΛΑΙΩΝ 〈α′〉 Περὶ τῆς τῶν δωδεκατημορίων ὀνομασίας τε καὶ δυνάμεως Τὸν ζῳδιακὸν οἱ παλαιοὶ εἰς ιβ τμήματα διεῖλον, ὀνομασίας ἐπιθέντες ἑκάστῳ ἐκ τῶν ὡς ἐπὶ τὸ πλεῖστον συμπασχόντων αὐτοῖς ζῴων ἐπὶ γῆς, ὡς ἐνεχώρει τοῖς μέρεσι τούτοις τοὺς τύπους αὐτῶν καταστερίσαντες.

135 (t) Ἀρχὴν δὲ ἐποιήσαντο ἀπὸ τοῦ ἐαρινοῦ τμήματος ὃ καὶ Κριὸν ὠνόμασαν διὰ τὸ ἐκ τοῦ νοτίου ἡμισφαιρίου τὸ βόρειον τότε τοῦ Ἡλίου μετερχομένου ὑφ' ὃ τέτακται ἡ καθ' ἡμᾶς οἰκουμένη, πρῶτον μὲν ἄρχεσθαι τὴν ἡμέραν μείζονα τῆς νυκτὸς ποιεῖν, εἶθ' ὅτι καὶ ἀρχὴν ὥσπερ αὖθις ζωῆς καὶ βλαστήσεις φυτῶν καὶ πάντων τῶν παρ' ἡμῖν ζῴων τὰς πληρώσεις γίνεσθαι. τοῦτο δὴ τὸ κατὰ τὸν Κριὸν δωδεκατημόριον κεφαλὴν τοῦ κόσμου προσαγορεύουσιν, καὶ ὕψωμα μὲν ἔθεντο Ἡλίου, μάλιστα περὶ τὴν ιθ′ μοῖραν, οἶκον δὲ Ἄρεως, τριγωνιζόμενον δὲ σὺν τῷ Λέοντι καὶ τῷ Τοξότῃ (ἡμέρας μὲν τρίγωνόν ἐστι τοῦ Ἡλίου, νυκτὸς δὲ τοῦ Διός)· τὸ δὲ ζῴδιον τοῦτό ἐστι τροπικόν, ἀρρενικόν, βασιλικόν, προστάσσον, φωνῆεν, χερσαῖον, νυκτερινόν. καὶ καθόλου μὲν βροντῶδές ἐστι καὶ χαλαζῶδες, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ ὀλιγόσπορα καὶ ὀμβρώδη καὶ ἀνεμώδη διὰ τὴν τῆς ἰσημερίας ἐπισημασίαν, τὰ δὲ ἑπόμενα καυσώδη καὶ λοιμικὰ μάλιστα τετραπόδων, καὶ τὰ μὲν πρὸς βορρᾶν καυματώδη καὶ φθαρτικά, τὰ δὲ πρὸς νότον κρυμώδη καὶ ὑπόψυχρα.

136 καὶ ἔτι οἱ μὲν πρὸς τῇ κεφαλῇ ἀστέρες κεκραμένον ἔχουσι τὸ ποιητικὸν ἔκ τε τῆς τοῦ Ἄρεως καὶ τοῦ Κρόνου δυνάμεως, οἱ δὲ ἐν τῷ στόματι ἐκ τῆς τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῆς τοῦ Κρόνου, οἱ δὲ ἐπὶ τῆς οὐρᾶς ὅμοιον ἔχουσι τῷ τῆς Ἀφροδίτης, οἱ δὲ ἐν τῷ ὀπισθίῳ ποδὶ τῷ τοῦ Ἄρεως. Ὑπόκεινται δὲ τούτῳ χῶραι· κατὰ μὲν τοὺς Αἰγυπτίους ἥ τε ἀρχαία Βαβυλών, ..., καὶ Ἀραβία ἡ τῆς Αἰγύπτου ὅμορος, κατὰ δὲ τὸν Πτολεμαῖον ἥ τε Βρετανία, Γαλατία, Βασταρνία, Κοίλη Συρία, Παλαιστίνη, Ἰδουμαία, Ἰουδαία. ὡς δ' Ἵππαρχος καὶ οἱ παλαιοὶ κατὰ μέρος διώρισαν, τῷ μὲν ἀριστερῷ ὤμῳ Βαβυλωνία, τῷ δὲ δεξιῷ Θρᾴκη, τῷ δὲ στήθει Ἀρμενία, ταῖς δὲ πλευραῖς Ἀραβία ἡ κατ' Αἴγυπτον, τῇ δὲ ῥάχει καὶ κοιλίᾳ Περσίς, Καππαδοκία, Μεσοποταμία, Συρία, θάλασσα Ἐρυθρά. Διεῖλον δὲ οἱ παλαιοὶ Αἰγύπτιοι τὸ τοιοῦτον ζῴδιον εἰς τὰ ὅρια τῶν ε πλανωμένων, οἷς ἠκολούθησε καὶ Δωρόθεος οὕτως· Διὶ μὲν ἀποδόντες μοίρας ϛ , ϛ , Ἀφροδίτῃ ϛ , ιβ , Ἑρμῇ η , κ , Ἄρει ε , κε , Κρόνῳ ε , λ . ὁ δὲ Πτολεμαῖος οὕτως· Διὶ ϛ , ϛ , Ἀφροδίτῃ η , ιδ , Ἑρμῇ ζ , κα , Ἄρει ε , κϛ , Κρόνῳ δ , λ . καὶ τούτου λαμπρὰς μοίρας εἶπον εἶναι γ′, ϛ′, ιθ′, κ′, κζ′, λ′. Διεῖλον δ' ἔτι καὶ εἰς δεκανοὺς ἤτοι δεκαμοιρίας γ ὡς καὶ τῶν λοιπῶν δωδεκατημορίων ἕκαστον, καὶ ὠνόμασαν οἱ Αἰγύπτιοι δηλαδὴ τὸν μὲν πρῶτον τούτου δεκανὸν Χονταρέ, τὸν δὲ β′ Χονταχρέ, τὸν δὲ γ′ Σικέτ.

137 καὶ παρατηρήσαντες κατὰ τὸ ὁλοσχερὲς περὶ αὐτῶν ἀνεφήναντο ὡς οἱ τὸν α′ δεκανὸν ὡροσκοποῦντα ἔχοντες ἐν τῇ γενέσει μή τινος ἑτέρας μείζονος αἰτίας ἐπικρατησάσης ἐν μὲν τῇ α′ ἡλικίᾳ δυσγαμήσουσιν, ἐν δὲ τῇ ἐσχάτῃ εὐγαμήσουσι καὶ τέλους καλοῦ τεύξονται. κλιμακτῆρες δὲ αὐτοῦ ἀνεγράφησαν ἔτος δ′, θ′, ιβ′, κα′, λγ′, μθ′, νβ′, ξδ′, οδ′. οἱ δὲ τὸν β′ δεκανὸν ἔχοντες ὡροσκοποῦντα πλουσίως μὲν τραφήσονται πλὴν μετὰ καὶ κακοπαθείας τινὸς ἐν τῇ α′ ἡλικίᾳ, φρόνιμοι δὲ ἔσονται καὶ πεπαιδευμένοι καὶ προστήσονται πολλῶν καὶ τέλους καλοῦ τεύξονται. τούτου κλιμακτῆρες ἀνεγράφησαν ἔτος β′, ζ′, ιβ′, κδ′, λγ′, λθ′, μα′, νβ′, ξδ′, οα′, πϛ′. οἱ δὲ τὸν γ′ ἔχοντες ὡροσκοποῦντα κακοπαθήσουσι καὶ ξενιτεύσουσι πολλὰ καὶ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γονέων χωρισθήσονται θανάτῳ καὶ γαμήσαντες λυπηθήσονται, ὕστερον δὲ λήψονται προεφθαρμένας γυναῖκας καὶ τεκνώσουσι μετ’ αὐτῶν, καὶ τὸ τέλος τοῦ βίου εὔθυμον ἕξουσιν. καὶ σωματικοὺς δὲ χαρακτῆρας τούσδ’ ἕξουσιν· ξανθοὶ μὲν ἔσονται γεννηθέντες, μεταπεσοῦνται δ’ εἰς ὠχρότητα καὶ εὐπρεπεῖς μὲν ἔσονται, μῶμος δέ τις ἔσται τῷ μεγέθει τοῦ μήκους αὐτῶν. καὶ τούτου δὲ κλιμακτῆρες ἀνεγράφησαν ἔτος ζʹ, ιαʹ, ιθʹ, κηʹ, λγʹ, λεʹ, μʹ, νβʹ, ξζʹ, οδʹ, πηʹ, ϙζʹ. τὸ δὲ μεταξὺ τούτου τε καὶ τοῦ ἐφεξῆς δωδεκατημορίου τοῦ Ταύρου, ὅπερ μεσεμβόλημα καλοῦσιν, εἴ τις ἔχει ὡροσκόπον, οὗτος ἄλαλος καὶ κωφὸς καὶ ἄσημος τελευτήσει. Τὸ δὲ μετὰ τὸν Κριὸν δωδεκατημόριον Ταῦρον ὠνόμασαν καὶ τράχηλον προσηγόρευσαν τοῦ κόσμου, καὶ ὕψωμα μὲν ἔθεντο τῆς Σελήνης περὶ γʹ μάλιστα μοῖραν, οἶκον δὲ Ἀφροδίτης, τριγωνιζόμενον δὲ μετὰ Παρθένου καὶ Αἰγοκέρωτος (τρίγωνον ποιεῖ νυκτὸς μὲν Σελήνης, ἡμέρας δὲ Ἀφροδίτης)· τὸ δὲ ζῴδιον τοῦτό ἐστι στερεόν, θηλυκόν, φωνῆεν, προστάσσον, χερσαῖον, γαστρῶδες.

138 καὶ καθόλου μὲν ἐπισημαντικὸν ἀμφοτέρων τῶν κράσεων (ὑπόθερμον γάρ), κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα, τὰ κατὰ τὴν Πλειάδα δηλονότι, πνευματώδη τε καὶ ὁμιχλώδη καὶ σεισμοποιά, τὰ δὲ μέσα ὑγραντικὰ καὶ ψυχρά, τὰ δὲ ἑπόμενα, τὰ κατὰ τὴν Ὑάδα, πνιγώδη καὶ κεραυνῶν καὶ ἀστραπῶν ποιητικά, καὶ τὰ βόρεια μὲν αὐτοῦ εὔκρατα, τὰ δὲ νότια κινητικὰ καὶ ἄτακτα. καὶ ἔτι οἱ μὲν ἐπὶ τῆς ἀποτομῆς τοῦ ζῳδίου ἀστέρες ὁμοίαν ἔχουσι κρᾶσιν τῷ τῆς Ἀφροδίτης καὶ ἠρέμα τῷ τοῦ Κρόνου, οἱ δὲ ἐν τῇ Πλειάδι τῇ τε Σελήνῃ καὶ τῷ τοῦ Διός, τῶν δὲ ἐν τῇ κεφαλῇ ὁ μὲν λαμπρὸς τῆς Ὑάδος καὶ ὑπόκιρρος, καλούμενος δὲ Λαμπαδίας, τῷ τοῦ Ἄρεως, οἱ δὲ λοιποὶ τῷ τοῦ Κρόνου, οἱ δὲ ἐν ἄκροις τοῖς κέρασι τῷ τοῦ Ἄρεως. Προσῳκείωνται δὲ αὐτῷ χῶραι κατ’ Αἰγυπτίους μὲν καὶ Δωρόθεον ἥ τε Μηδική, ἡ Ἀραβία καὶ ἡ Αἴγυπτος, κατὰ δὲ Πτολεμαῖον Παρθία, Μηδική, Περσίς, Κυκλάδες νῆσοι, Κύπρος νῆσος, παράλια Μικρᾶς Ἀσίας. ὡς δ’ Ἵππαρχος καὶ οἱ παλαιοὶ κατὰ μέρος διώρισαν, τοῖς μὲν κέρασι Μηδική, τοῖς δὲ πρὸς τῷ Ἡνιόχῳ δεξιοῖς Σκυθία, τοῖς δ’ ἀριστεροῖς Ἀρμενία, τοῖς δὲ κατὰ τὴν Πλειάδα Κύπρος νῆσος. Ἡ δ’ εἰς τὰ ὅρια διαίρεσις τούτου κατὰ μὲν τοὺς Αἰγυπτίους καὶ τὸν Δωρόθεον Ἀφροδίτῃ η , η , Ἑρμῇ ς , ιδ , Διὶ η , κβ , Κρόνῳ ε , κζ , Ἄρει γ , λ , κατὰ δὲ τὸν Πτολεμαῖον Ἀφροδίτῃ η , η , Ἑρμῇ ζ , ιε , Διὶ ζ , κβ , Κρόνῳ δ , κς , Ἄρει δ , λ . λαμπραὶ δὲ μοῖραι αὐτοῦ εἰσιν ἡ γʹ, ἡ εʹ, ἡ ηʹ, ἡ ιʹ, ἡ ιζʹ, ἡ κʹ καὶ ἡ λʹ. Τῶν δὲ τριῶν δεκανῶν αὐτοῦ ὁ μὲν αʹ ἐκλήθη Χώου, ὁ δὲ βʹ Ἔρω, ὁ δὲ γʹ Ῥομβρόμαρε.

139 καί φασι τὸν ἔχοντα τὸν αʹ δεκανὸν αὐτοῦ ὡροσκοποῦντα ἐπίμοχθον ἔσεσθαι, ἐπίχαριν, πολύφιλον, ἡδύβιον, καὶ μετὰ τὸ ἀποβαλεῖν τὸν αʹ γάμον γαμήσει προεφθαρμένην. οἱ δὲ κλιμακτῆρες αὐτοῦ ἔτη αʹ, δʹ, θʹ, ιαʹ, κβʹ, λγʹ, μθʹ, νςʹ, ξθʹ, οβʹ. ὁ δὲ ἔχων τὸν βʹ ὡροσκοποῦντα ἔσται πλούσιος, ἀρχοντικός, ἀγχίνους, εὔγαμος, ἐπιτροπῶν καὶ διαθηκῶν ἀξιούμενος. οἱ δὲ κλιμακτῆρες αὐτοῦ ἔτος ζʹ, ιγʹ, κβʹ, λαʹ, μγʹ, νςʹ, ξαʹ, οδʹ, πδʹ, ϙδʹ. ὁ δὲ ἔχων τὸν γʹ ὡροσκοποῦντα ἐκ μεγάλων ἔσται γονέων καὶ αὐτοὺς μὲν διαστήσει, τὰ αὐτῶν δ’ οὐ καλῶς διοικήσει, καὶ ἐκδημήσει καὶ ναυαγίοις περιπεσεῖται καὶ ἐπονείδιστος ἔσται καὶ ἐμπαθῶς διάξει καὶ κατὰ τὰ συνουσιαστικὰ μόρια σινωθήσεται ὡς μὴ δύνασθαι χρῆσθαι ἀφροδισίοις. εἰσὶ δὲ καὶ τούτου οἱ κλιμακτῆρες ἔτος θʹ, ιβʹ, κγʹ, λαʹ, μςʹ, νθʹ, ξαʹ, οδʹ. τούτου δὲ καὶ Διδύμων τὸ μεσεμβόλημα ὁ ἔχων ὡροσκοποῦν ἄσπερμος ἔσται καὶ ἀπρεπὴς καὶ τοῖς μέλεσι κακόπλαστός τε καὶ ἀειδής. Τὸ δ’ ἐφεξῆς τῷ Ταύρῳ δωδεκατημόριον Διδύμους ὠνόμασαν καὶ ὤμους τοῦ κόσμου ἔφασαν εἶναι· τοῦτο δὲ τὸ δωδεκατημόριον οὐδενὸς μὲν τῶν ἀστέρων εἶπον ὕψωμα εἶναι, οἶκος μέντοι ἐστὶν Ἑρμοῦ, τριγωνιζόμενον δὲ μετὰ Ζυγοῦ καὶ Ὑδροχόου (τρίγωνον ποιεῖ ἡμέρας μὲν Κρόνου, νυκτὸς δὲ Ἑρμοῦ)· ἔστι δὲ τὸ ζῴδιον δίσωμον, ἀρρενικόν, λογικόν, ἀνθρωποειδές, προστάσσον. καὶ καθόλου μὲν εὐκρασίας ποιητικόν, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ φθαρτικά, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα μεμιγμένα καὶ ἄτακτα, καὶ τὰ μὲν βόρεια πνευματώδη καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σινοποιά, τὰ δὲ νότια ξηρὰ καὶ καυσώδη. καὶ ἔτι οἱ μὲν ἐπὶ τῶν ποδῶν ἀστέρες τῆς ὁμοίας κεκοινωνήκασι ποιότητος τῷ τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῷ τῆς Ἀφροδίτης, οἱ δὲ περὶ τοὺς μηροὺς λαμπροὶ τῷ τοῦ Κρόνου, τῶν δὲ ἐν ταῖς κεφαλαῖς β λαμπρῶν ὁ μὲν ἐν τῇ προηγουμένῃ τῷ τοῦ Ἑρμοῦ (καλεῖται δὲ Ἀπόλλωνος), ὁ δὲ ἐν τῇ ἑπομένῃ τῷ τοῦ Ἄρεως (καλεῖται δὲ Ἡρακλέους).

140 Προσῳκείωνται δὲ αὐτῷ χῶραι πάλιν κατ' Αἰγυπτίους μὲν καὶ Δωρόθεον ἥ τε Καππαδοκία, ἡ Περρεβία καὶ ἡ Φοινίκη, κατὰ δὲ Πτολεμαῖον Ὑρκανία, Ἀρμενία, Μαντιανή, Κυρηναϊκή, Μαρμαρική, Κάτω χώρα. ὡς δὲ κατὰ μέρος οἱ παλαιοὶ διωρίσαντο, τῷ μὲν βορείῳ Διδύμῳ κατὰ τοὺς πόδας ὑπόκειται Βοιωτία, τῇ χειρὶ Θρᾴκη, ὑπὸ τὸν νῶτον Γαλατία, τῷ δὲ νοτίῳ ὑπὸ τὸν γλουτὸν Πόντος, κατὰ δὲ τὸν νῶτον Κιλικία, κατὰ τὸν ὠμοπλάτην Φοινίκη, κατὰ τὴν κορυφὴν Ἰνδική. Τὰ δὲ ὅρια κατὰ τοὺς Αἰγυπτίους καὶ τὸν Δωρόθεον Ἑρμῇ ϛ , ϛ , Διὶ ϛ , ιβ , Ἀφροδίτῃ ε , ιζ , Ἄρει ζ , κδ , Κρόνῳ ϛ , λ , κατὰ δὲ τὸν Πτολεμαῖον Ἑρμῇ ζ , 〈 ζ 〉 , Διὶ ϛ , ιγ , Ἀφροδίτῃ ζ , κ , Ἄρει ϛ , κϛ , Κρόνῳ δ , λ . λαμπραὶ δὲ μοῖραι αὐτοῦ εἰσιν ϛʹ, ιθʹ, καʹ, λʹ. Τῶν δὲ τριῶν δεκανῶν αὐτοῦ ὁ μὲν αʹ κέκληται Θοσόλβ, ὁ δὲ βʹ Οὐαρέ, ὁ δὲ γʹ Φαωρί. τούτων τὸν μὲν αʹ ὁ ἔχων ὡροσκοποῦντα ἔσται ἀγχίνους καὶ πεπαιδευμένος, φιλευφρόσυνος, ἐρωτικός, μισοπόνηρος, μισόλυπος, τὸ ζῆν ἐν παραλίοις τόποις ἔχων, ἀκαταστατήσει δὲ κατὰ τὴν γυναῖκα (ἐξ ἔρωτος γὰρ ἢ φιλίας λήψεται ταύτην) καὶ οὐρανίων μαθημάτων ἅψεται. οἱ δὲ κλιμακτῆρες αὐτοῦ ἔτος αʹ, θʹ, κδʹ, λδʹ, μγʹ, νγʹ, ξεʹ, ογʹ. ὁ δὲ τὸν βʹ ἔχων ὡροσκοποῦντα πλούσιος ἔσται, διαστήσει δὲ τοὺς γονεῖς θανάτῳ καὶ τὰ αὐτῶν μειώσει, καὶ ἔσται λαμπρότερος τῶν γονέων δι' ἑαυτοῦ κτώμενος καὶ ἐν ἱεροῖς τιμηθήσεται καὶ εὔχρηστος ἔσται καὶ λήψεται γυναῖκα ἀφ' αἵματος, καὶ μετὰ τὸ ἀκαταστατῆσαι κατὰ ταύτην τὴν ἡλικίαν τεύξεται τῶν καλῶν.

141 εἰσὶ δὲ κλιμακτῆρες αὐτοῦ ἔτος ζʹ, ιβʹ, ιθʹ, καʹ, κϛʹ, λϛʹ, μγʹ, μϛʹ, ξϛʹ, πδʹ, ϙβʹ. ὁ δὲ τὸν γʹ ἔχων κακοπαθήσας ἐπὶ τῆς νεότητος διαστήσει τοὺς γονεῖς καὶ τὰ αὐτῶν μειώσει, ἐπὶ ξένης δὲ τὰ πλεῖστα οἰκήσει καὶ ἐν ταῖς ἐπερχομέναις ζημίαις βλάσφημος ἔσται καὶ ἐν τοῖς κατὰ τὴν γυναῖκα ἐπίψογος· λήψεται γὰρ γυναῖκα ἀναξίαν ἑαυτοῦ ἢ καὶ προεσκυλμένην. οἱ δὲ κλιμακτῆρες αὐτοῦ ἔτος ζʹ, ιβʹ, καʹ, λβʹ, μγʹ, νβʹ, ξδʹ, οδʹ, πϛʹ, ϙβʹ. ὁ δὲ ἔχων τὸ μεσεμβόλημα τούτου τε καὶ τοῦ Καρκίνου περὶ τὴν ὁρατικὴν ἐνέργειαν σινωθήσεται ἢ καὶ λευκώματα ἕξει, τοῦ δὲ Διὸς ὁρῶντος τὸν τόπον περὶ τὸν ἕνα ὀφθαλμὸν τὸ σίνος ἔσται. Τὸ δὲ μετὰ τοὺς Διδύμους δωδεκατημόριον Καρκίνον ὠνόμασαν, ὃ εἰς στῆθος καὶ πλευρὰς παραλαμβάνεται· καί ἐστιν ὕψωμα τοῦ Διὸς περὶ ιεʹ μοῖραν μάλιστα, οἶκος Σελήνης, τριγωνιζόμενον δὲ σὺν τῷ Σκορπίῳ καὶ τοῖς Ἰχθύσιν (ποιεῖ τρίγωνον ὃ καὶ ἀπένειμαν τῷ Ἄρει, συνοικοδεσποτούντων αὐτῷ ἡμέρας μὲν τῆς Ἀφροδίτης, νυκτὸς δὲ τῆς Σελήνης)· ἔστι δὲ τὸ ζῴδιον θερινόν, τροπικόν, ἄφθονον, ἀμφίβιον, γόνιμον, κάθυγρον, θῆλυ, νυκτερινόν, προστάσσον, κόσμου ὡροσκόπος. καὶ καθόλου μὲν εὐδιεινὸν καὶ θερμόν, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ καὶ κατὰ τὴν Φάτνην πνιγώδη καὶ σεισμοποιὰ καὶ ἀχλυώδη, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα πνευματώδη, καὶ τὰ βόρεια δὲ καὶ τὰ νότια τούτου ἔμπυρα καὶ καυσώδη· αὐτὴ δὲ ἡ λεγομένη Φάτνη ποιεῖ λευκώματα ἐν τοῖς ὀφθαλμοῖς. καὶ ἔτι οἱ μὲν ἐπὶ τῶν ποδῶν β ἀστέρες τῆς αὐτῆς ἐνεργείας εἰσὶ ποιητικοὶ τῷ τε τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῷ τοῦ Ἄρεως, οἱ δὲ ἐν ταῖς χηλαῖς τῷ τοῦ Κρόνου καὶ τῷ τοῦ Ἑρμοῦ, ἡ δὲ ἐν τῷ στήθει νεφελοειδὴς συστροφή, καλουμένη δὲ Φάτνη, τῷ τοῦ Ἄρεως καὶ τῇ Σελήνῃ, οἱ δὲ ἑκατέρωθεν αὐτῆς β , καλούμενοι δὲ Ὄνοι, τῷ τοῦ Ἄρεως καὶ τῷ Ἡλίῳ.

142 Προσῳκείωνται δὲ αὐτῷ χῶραι κατὰ τοὺς Αἰγυπτίους καὶ τὸν Δωρόθεον Θρᾴκη καὶ Αἰθιοπία, κατὰ δὲ τὸν Πτολεμαῖον Νουμηδία, Καρχηδονία, Ἀφρική, Βιθυνία, Φρυγία, Κολχίς. ὡς δὲ κατὰ μέρος οἱ παλαιοὶ διωρίσαντο, τοῖς μὲν ἐμπροσθίοις μέρεσι Βακτριανή, τοῖς δὲ ἀριστεροῖς Σκυθία, Ἀκαρνανία, Ἑλλήσποντος, Λιβυκὸν πέλαγος, Βρετανία καὶ Θούλη νῆσος, τοῖς δὲ ποσὶν Ἀρμενία, Καππαδοκία, Ῥόδος, Κῶς, Κυκλάδες νῆσοι, τοῖς δὲ μέσοις Ἀσία Μικρά, τοῖς δεξιοῖς δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λυδία. Τὰ δὲ ὅρια κατὰ τοὺς Αἰγυπτίους καὶ τὸν Δωρόθεον οὕτως· Ἄρει ζ , ζ , Ἀφροδίτῃ ζ , ιγ , Ἑρμῇ ϛ , ιθ , Διὶ ζ , κϛ , Κρόνῳ δ , λ , κατὰ δὲ τὸν Πτολεμαῖον Ἄρει ϛ , ϛ , Διὶ ζ , ιγ , Ἑρμῇ ζ , κ , Ἀφροδίτῃ ζ , κζ , Κρόνῳ γ , λ . λαμπραὶ δὲ μοῖραι αὐτοῦ εἰσιν η′, θ′, ιε′, κ′, κβ′, κϛ′. Τῶν δὲ τριῶν αὐτοῦ δεκανῶν ὁ μὲν πρῶτος λέγεται Σωθίς, ὁ β′ Σίτων, ὁ γ′ Χνουμίς. ὁ οὖν τὸν α′ δεκανὸν ὡροσκοποῦντα ἔχων ἔσται ἀγαθός, ἥσυχος, πιστευόμενος ἐφ’ οἷς λέγει, πολυμέριμνος, πολύφιλος, ἐξ ἐπινοίας πολλὰ κτώμενος καὶ ἐχθρῶν περιγενόμενος, τὰ δὲ κατὰ τὴν γυναῖκα ἕξει ἐπίψογα, θάψει δὲ ταύτην ἐπὶ νεότητος, ὕστερον δὲ εὐνοηθήσεται καὶ καλὴν ἕξει. οἱ δὲ κλιμακτῆρες τούτου εἰσὶν ἔτος θ′, ια′, κα′, λγ′, μθ′, ν ϛ ′, ξγ′, οα′, πϛ′. ὁ δὲ τὸν β′ δεκανὸν πλούσιος ἔσται καὶ τῶν γονέων βελτίων καὶ θανάτους ἀδελφῶν ὄψεται καὶ δημοσίας ἀρχὰς πιστευθήσεται καὶ ὑπὸ ὄχλου δόξαν λήψεται καὶ νόμοις ὑπηρετήσει, ἀκαταστατήσει δὲ ἐν τοῖς κατὰ γυναῖκα καὶ ἐπὶ τοῖς τέκνοις λυπηθήσεται. οἱ δὲ κλιμακτῆρες αὐτοῦ εἰσιν ἔτος δ′, ζ′, ιβ′, κγ′, μβ′, μδ′, ξβ′, ογ′, πη′.

143 ὁ δὲ τὸν γ′ δεκανὸν ἔσται φρόνιμος καὶ τραφήσεται ἀγεννῶς καὶ διαστήσει τοὺς γονεῖς θανάτῳ καὶ μειώσει τὰ πατρῷα, ἔσται τε φίλος τῶν φίλων καὶ κακοπαθήσει ἐπὶ τῆς νεότητος, ἐν δὲ τοῖς κατὰ γυναῖκα ψόγους ἕξει καὶ στρατιωτικοῖς καταλόγοις ἐνδιάξει καὶ λήψεται σιδήρου πεῖραν καὶ ἔσχατον ἀγαθῆς τεύξεται τύχης. οἱ δὲ κλιμακτῆρες αὐτοῦ εἰσιν ἔτος δ′, ζ′, ιβ′, κδ′, λγ′, μθ′, νβ′, ξγ′, ξθ′, οβ′, πϛ′. μὴ λαθέτω δὲ ἡμᾶς ὡς εἰκότως εἰς φυλακτήριον τοῦ στομάχου παραδέχονται τὸν Χνουμὶν ὡς κύριον ὄντα τοῦ στήθους τοῦ κόσμου καθὼς ἡ διαίρεσις τῶν ζῳδίων περιέχει. τὸ δὲ μεσεμβόλημα τούτου τε τοῦ δωδεκατημορίου καὶ τοῦ ἐφεξῆς, ἤγουν τοῦ Λέοντος, ποιεῖ ἐμμανεῖς, μηδενὸς δὲ τῶν ἀγαθοποιῶν μαρτυροῦντος καὶ ὑπὸ γονέων καὶ συγγενῶν οἱ τοιοῦτοι ἐκβάλλονται καὶ μετὰ τῶν τετραπόδων ζῶσιν, εἰ δὲ οἱ ἀγαθοὶ ἐπιθεωρήσουσιν σίνος ποιοῦσι τὸ πάθος. Τὸ δ’ ἐφεξῆς τῷ Καρκίνῳ δωδεκατημόριον Λέοντα ὠνόμασαν καὶ καρδίαν τοῦ κόσμου, ἔστι δὲ οἶκος Ἡλίου, ἡμερινόν, τετράπουν, στειρῶδες, βασιλικόν, ἀρσενικόν, χερσαῖον, ἀσελγές, ἡμίφωνον, τίνι δὲ τριγώνῳ συσχηματίζεται εἴπομεν ἐν τῷ περὶ τοῦ Κριοῦ. καὶ καθόλου μὲν καυματῶδές ἐστι καὶ πνιγῶδες, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ πνιγώδη καὶ λοιμικά εἰσι τετραπόδων, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα ἔνικμα καὶ φθοροποιά, καὶ τὰ μὲν βόρεια κινητικὰ καὶ πυρώδη, τὰ δὲ νότια ὑγρά. τῶν δὲ ἐν αὐτῷ ἀστέρων οἱ μὲν ἐπὶ τῆς κεφαλῆς β τὸ ὅμοιον ποιοῦσι τῷ τε τοῦ Κρόνου καὶ ἠρέμα τῷ τοῦ Ἄρεως, οἱ δὲ ἐν τῷ τραχήλῳ τρεῖς τῷ τοῦ Κρόνου καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ, ὁ δὲ ἐπὶ τῆς καρδίας λαμπρός, καλούμενος δὲ Βασιλίσκος, τῷ τοῦ Ἄρεως καὶ τῷ τοῦ Διός, οἱ δὲ ἐπὶ τῆς ὀσφύος καὶ ἐπὶ τῆς οὐρᾶς λαμπροὶ τῷ τοῦ Κρόνου καὶ τῷ τῆς Ἀφροδίτης, οἱ δὲ ἐν τοῖς μηροῖς τῷ τε τῆς Ἀφροδίτης καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ.

144 Προσῳκείωνται δ’ αὐτῷ χῶραι κατὰ μὲν τοὺς Αἰγυπτίους καὶ τὸν Δωρόθεον Ἑλλάς, Φρυγία τε καὶ στόμα Πόντου, κατὰ δὲ τὸν Πτολεμαῖον Ἰταλία, Γαλλία, Σικελία, Ἀπουλία, Φοινίκη, Χαλδαϊκή, Ὀρχηνία. κατὰ μέρος δὲ ὡς οἱ πολλοὶ ἱστοροῦσι τῇ μὲν κεφαλῇ Προποντίς, τῷ δὲ στήθει Ἑλλάς, ὑπὸ τὴν κοιλίαν Μακεδονία, τοῖς πρὸς τῇ οὐρᾷ Μακεδονία. Τὰ δὲ ὅρια αὐτοῦ κατὰ μὲν τοὺς Αἰγυπτίους καὶ τὸν Δωρόθεον Διὶ ϛ , ϛ , Ἀφροδίτῃ ε , ια , Κρόνῳ ζ , ιη , Ἑρμῇ ζ , κδ , Ἄρει ϛ , λ , κατὰ δὲ τὸν Πτολεμαῖον Κρόνῳ ϛ , ϛ , Ἑρμῇ ζ , ιγ , Ἀφροδίτῃ ϛ , ιθ , Διὶ ϛ , κε , Ἄρει ε , λ . λαμπραὶ δὲ μοῖραι αὐτοῦ α′, δ′, ε′, ιϛ′, κ′, κϛ′, λ′. Τῶν δὲ τριῶν δεκανῶν αὐτοῦ ὁ μὲν πρῶτος καλεῖται Χάρ, ὁ δὲ β′ Χνοῦς, ὁ δὲ γ′ Μῦς. ὁ οὖν τὸν α′ δεκανὸν ὡροσκοποῦντα ἔχων εὐεργετῶν ἔσται τοὺς ὑποτασσομένους καὶ πολλοὺς σκεπάσει καὶ κτήσεται, ἐπίψεκτος δὲ διὰ γυναῖκα. οἱ δὲ τούτου κλιμακτῆρες ἔτος α′, ια′, κγ′, λβ′, μϛ′, νζ′, ξθ′, οβ′, πδ′, πη′. ὁ δὲ τὸν β′ ἔσται δυνάστης, βασιλεύς, καὶ αὐτοκράτωρ ἀναγορευθήσεται καὶ πολλοὺς ὑποτάξει καὶ κτίσει πόλεις, καὶ φόρους αὐτῷ πολλοὶ προσάξουσιν, καὶ θεογνωσία ἔσται ἐπ’ αὐτοῦ καὶ εὕρεσις χρυσοῦ καὶ ἀργύρου, καὶ ἔνθεος αὐτοῦ ἡ γνώμη καὶ ἰσόθεος αὐτῷ ἡ παρὰ πάντων τιμή. οἱ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τούτου κλιμακτῆρές εἰσιν ἔτος θʹ, καʹ, λδʹ, μϛʹ, νβʹ, οʹ· ὁ δὲ θάνατος ὀξύς. ὁ δὲ τὸν γʹ τραφήσεται πλουσίως καὶ ἔσται φρόνιμος, πεπαιδευμένος, πολύφιλος, σωματικὰς δὲ βλάβας ἕξει καὶ παρασφραγισμοὺς καὶ ἀγῶνας βασιλικοὺς καὶ ἐπιβουλὰς ἐξουσιαστικάς, ὕστερον δὲ αὐτῶν περιέσται καὶ κύριος ἔσται κτημάτων καὶ εὐχρημάτιστος ὑπὸ θεῶν καὶ ὑπὸ γυναικῶν εὐνοηθήσεται, σινωθήσεται δὲ περὶ τὰ ἄκρα.

145 οἱ δὲ κλιμακτῆρες αὐτοῦ εἰσιν ἔτος ζʹ, ιγʹ, κγʹ, μγʹ, νβʹ, ξϛʹ, οδʹ, πθʹ· τελευτήσει δὲ ἐπὶ τῆς ἰδίας κοίτης. ὁ δὲ τὸ μεσεμβόλημα τούτου τε καὶ τοῦ ἐφεξῆς ζῳδίου ὡροσκοποῦν ἔχων ἁρποκρατικὸς ἔσται, τινὲς δὲ τῶν τοιούτων καὶ ἄγαμοι τελευτήσουσιν. Τὸ δὲ μετὰ τὸν Λέοντα δωδεκατημόριον Παρθένον ὠνόμασαν καὶ γαστέρα τοῦ κόσμου, ἔστι δὲ οἶκος καὶ ὕψωμα Ἑρμοῦ περὶ μοῖραν ιεʹ, ἡμερινόν, θῆλυ, προστάσσον, λογικόν, φωνῆεν, ἀνθρωποειδές, στειρῶδες, δίσωμον, πτερωτόν. καὶ καθόλου μέν ἐστι δίυγρον καὶ βροντῶδες, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ θερμότερα καὶ φθαρτικά, τὰ δὲ ἑπόμενα ὑδατώδη, καὶ τὰ μὲν βόρεια πνευματώδη, τὰ δὲ νότια εὔκρατα. τῶν δʼ ἐν αὐτῷ ἀστέρων ὁ μὲν ἐν τῇ κεφαλῇ καὶ ὁ ἐπʼ ἄκρας τῆς νοτίου πτέρυγος ὅμοιον ἔχουσι τὸ ποιητικὸν τῷ τε τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῷ τοῦ Ἄρεως, οἱ δὲ λοιποὶ τῆς πτέρυγος λαμπροὶ καὶ οἱ κατὰ τὰ περιζώματα τῷ τε τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῷ τῆς Ἀφροδίτης, ὁ δὲ ἐν τῇ βορείᾳ πτέρυγι λαμπρός, καλούμενος δὲ Προτρυγητήρ, τῷ τοῦ Κρόνου καὶ τῷ τοῦ Ἑρμοῦ, ὁ δὲ καλούμενος Στάχυς τῷ τῆς Ἀφροδίτης καὶ ἠρέμα τῷ τοῦ Ἄρεως, ὁ δὲ ἐν ἄκροις τοῖς ποσὶ καὶ τῷ σύρματι τῷ τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῷ τοῦ Ἄρεως. τίσι δὲ τῶν ζῳδίων συσχηματίζεται τριγωνικῶς εἴρηται ἐν τῷ περὶ τῶν Διδύμων. Προσῳκείωνται δὲ αὐτῷ χῶραι κατὰ μὲν τοὺς Αἰγυπτίους καὶ τὸν Δωρόθεον Ῥόδος καὶ Κυκλάδες νῆσοι, Ἀρκαδία, Ἀχαΐα, Λακωνικὴ καὶ αἱ κατὰ τὸν Ὠκεανὸν νῆσοι, κατὰ δὲ τὸν Πτολεμαῖον Μεσοποταμία, Βαβυλωνία, Ἀσσυρία, Ἑλλάς, Ἀχαΐα, Κρήτη. ὡς δὲ οἱ παλαιότεροι κατὰ μέρος διωρίσαντο τοῖς μὲν πρὸς τῷ νώτῳ Ἰωνία, τοῖς δὲ μέσοις ἐξ ἀριστερῶν Ῥόδος καὶ Πελοπόννησος, κατὰ δὲ τὸ σύρμα ἐξ ἀριστερῶν Ἀρκαδία καὶ Κυρήνη, τοῖς δὲ πρὸς τῇ δεξιᾷ χειρὶ Δωρίς, τοῖς δὲ πρὸς τῇ εὐωνύμῳ Σικελία, τοῖς δὲ κατὰ τὸν Στάχυν Περσική.

146 Ἡ δὲ τῶν ὁρίων τάξις κατὰ μὲν τοὺς Αἰγυπτίους καὶ τὸν Δωρόθεον ἔχει οὕτως· Ἑρμῇ ζ , ζ , Ἀφροδίτῃ ι , ιζ , Διὶ δ , κα , Ἄρει ζ , κη , Κρόνῳ β , λ , κατὰ δὲ τὸν Πτολεμαῖον Ἑρμῇ ζ , ζ , Ἀφροδίτῃ ϛ , ιγ , Διὶ ε , ιη , Κρόνῳ ϛ , κδ , Ἄρει ϛ , λ . λαμπραὶ δὲ μοῖραι τούτου εἰσὶν αὗται· ιʹ, ιζʹ, κʹ, κϛʹ, κθʹ. Τῶν δὲ γ αὐτοῦ δεκανῶν ὁ μὲν πρῶτος Τῶμ καλεῖται, ὁ δὲ βʹ Οὐεστεβκώτ, ὁ δὲ γʹ Ἀφοσό. καὶ ὁ μὲν τὸν αʹ δεκανὸν ἔχων ὡροσκοποῦντα ἔσται ἀγαθός, φιλόγελως, πολύφιλος, ἐν τρυφῇ διάξει, ἀγύναιος διὰ τὸ μὴ ἐπὶ μιᾶς μένειν, ἔσται δὲ ἐπίνοσος πλὴν τεύξεται ἰατρικῶν βοηθημάτων καὶ μετὰ τὴν νεότητα εὐνοηθήσεται ὑπὸ γυναικὸς καὶ ἐσχάτης [καὶ] καλῆς τεύξεται. εἰσὶ δὲ τούτου οἱ κλιμακτῆρες ἔτος ζʹ, ιβʹ, κγʹ, μδʹ, νζʹ, ξγʹ, οβʹ, πϛʹ. ὁ δὲ τὸν βʹ ἔσται φρόνιμος, ἀγχίνους, πεπαιδευμένος, ὀξύς, χαρίεις, ἰδιοκτήμων, καταφρονῶν τῶν πατρῴων, ἐὰν δὲ Ἀφροδίτη συμπαθήσῃ τῷ τοιούτῳ δεκανῷ διὰ μουσικῆς ἁρμονίας εὐεργετεῖται καὶ φιλεῖται καὶ εὔφωνος ἔσται καὶ ἐσχάτην καλὴν ἕξει. εἰσὶ δὲ τούτου κλιμακτῆρες ἔτος δʹ, θʹ, ιϛʹ, κβʹ, λεʹ, μγʹ, νζʹ, ξγʹ, οϛʹ, πβʹ, ϙϛʹ. ὁ δὲ τὸν γʹ ἔσται πλούσιος καὶ πεπαιδευμένος, σώφρων, δίκαιος, ἰδιοπράγμων, εὐσεβής, εὐμετάδοτος, ἐπιτυχής, διὰ δὲ τὴν γυναῖκα καὶ τὰ τέκνα λυπηθήσεται, ἔσχατον δὲ καλῆς τεύξεται. οἱ δὲ τούτου κλιμακτῆρες ἔτος θʹ, ιηʹ, κδʹ, λεʹ, νβʹ, ξϛʹ, οδʹ, πϛʹ.

147 ὁ δὲ τὸ μεσεμβόλημα ὡροσκοποῦν ἔχων ἀπόκοπος ἔσται ἢ ἀρρενομανής, εἰ δὲ γυνὴ ἔσται τριβὰς καὶ γυναικὶ συνερχομένη καὶ τὰ ἀνδρῶν ἔργα σχηματίζουσα. Τὸ δὲ μετὰ τὴν Παρθένον δωδεκατημόριον ὠνόμασαν οἱ μὲν παλαιότεροι πάντες Ζυγὸν καὶ τούτου σημεῖον ποιοῦνται τόδε· ♎ , ὁ δὲ Πτολεμαῖος Χηλὰς καὶ τὸ σημεῖον αὐτοῦ τοιόνδε· ♎ʹ. τοῦτο τὸ δωδεκατημόριον εἰς τὰ ἰσχία παραλαμβάνεται καὶ ἔστιν οἶκος Ἀφροδίτης, ὕψωμα Κρόνου περὶ μοῖραν κʹ· μεθʼ ὧν

δὲ ζῳδίων τριγωνίζεται εἴρηται ἡμῖν ἐν τῷ περὶ τοῦ Καρκίνου· ἔστι δὲ ἰσημερινόν, μετοπωρινόν, ἄρρεν, τροπικόν, ὑποτακτικόν, ἀνθρωποειδὲς ὡς Ζυγὸς καὶ φωνῆεν, συριγγῶδες. καὶ καθόλου μέν ἐστι τρεπτικὸν καὶ μεταβολικόν, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ καὶ τὰ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα ὑδατώδη, καὶ τὰ μὲν βόρεια πνευματώδη, τὰ δὲ νότια ἔνικμα καὶ λοιμικά. τῶν δὲ ἐν αὐτῷ ἀστέρων ὡς Χηλαῖς καταστεριζομένῳ κατὰ τὸν Πτολεμαῖον οἱ μὲν ἐν ἄκραις αὐταῖς ὡσαύτως διατιθέασι τῷ τε τοῦ Διὸς καὶ τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ ἐν μέσαις τῷ τε τοῦ Κρόνου καὶ ἠρέμα τῷ τοῦ Ἄρεως. Προσῳκείωνται δὲ αὐτῷ χῶραι κατὰ τοὺς ἀρχαίους Κυρηναϊκὴ καὶ Ἰταλία, κατὰ δὲ τὸν Πτολεμαῖον Βακτριανή, Κασπηρία, Σηρική, Θηβαΐς, Ὄασις, Τρωγλοδυτική. ὡς δὲ οἱ ἀρχαιότεροι κατὰ μέρος διωρίσαντο τοῖς μὲν κατὰ τὸ μέτωπον Ῥώμη καὶ τὰ περὶ αὐτήν, τοῖς δὲ πρὸς τῷ μέσῳ Ἀραβία, Αἴγυπτος, Αἰθιοπία, Καρχηδών, τοῖς δὲ ὀπισθίοις Λιβύη, Κυρήνη καὶ τὰ συνεγγίζοντα ταύτῃ, τοῖς δεξιοῖς δὲ Σπάρτη τε καὶ ὄρος Σμύρνης κατὰ Λιβύην, τοῖς κατὰ τὴν κεφαλὴν Τύρος, Θακῶν νῆσος ἡ πάγκαρπος ἡ κατὰ τὴν Ἀραβίαν κειμένη, τοῖς πρὸς τὸ στῆθος Κιλικία, τοῖς κατὰ τὴν κοιλίαν Σινώπη. Ἡ δὲ τῶν ὁρίων τούτου τάξις κατὰ μὲν τοὺς Αἰγυπτίους καὶ τὸν Δωρόθεον Κρόνῳ ϛ , ϛ , Ἑρμῇ η , ιδ , Διὶ ζ , κα , Ἀφροδίτῃ ζ , κη , Ἄρει β , λ , κατὰ δὲ τὸν Πτολεμαῖον Κρόνῳ ϛ , ϛ , Ἀφροδίτῃ ε , ια , Ἑρμῇ η , ιθ , Διὶ ε , κδ , Ἄρει ϛ , λ .

148 λαμπραὶ δὲ αὐτοῦ μοῖραι β′, ιζ′, κγ′, λ′. Τῶν δὲ τριῶν αὐτοῦ δεκανῶν ὁ μὲν πρῶτος Οὐχωέ καλεῖται, ὁ δὲ β′ Πτιχώτ, ὁ δὲ γ′ Χονταρέ. καὶ τὸν μὲν α′ δεκανὸν ὁ ἔχων ὡροσκοποῦντα ..... ἔσται καὶ διαστήσει τοὺς γονεῖς καὶ ἐν ζημίαις καὶ λύπαις ἐξετασθήσεται καὶ καταλείψει τὴν πατρίδα καὶ ἔσται μετὰ ἀλλοφύλων ἀνθρώπων καὶ πολλοὺς πόνους ὑποστὰς αὖθις ἐπανελεύσεται εἰς τὴν πατρίδα καὶ βελτιωθήσεται καὶ ὄψεται τέκνων προκοπάς. οἱ δὲ κλιμακτῆρες αὐτοῦ εἰσιν ἔτος θ′, ιϛ′, κβ′, λϛ′, μθ′, νθ′, ξϛ′, οζ′. ὁ δὲ τὸν β′ λαμπρὸς ἔσται καὶ πλούσιος καὶ ἀρχοντικὸς καὶ ἐπ’ ἐλπίσι χρησταῖς ἔκδημος καὶ βασιλικαῖς δωρεαῖς τε καὶ τιμαῖς, καὶ γυναικὶ δὲ ἀγαθῇ περιπεσεῖται καὶ τέκνων γονὰς ἕξει καὶ εὑρήματα εὑρήσει καὶ τέκνων προκοπὰς θεωρήσει. κλιμακτῆρες δὲ τούτου εἰσὶν ἔτος θ′, ιβ′, ιδ′, λϛ′, μα′, νη′, ξγ′, οδ′, πη′. ὁ δὲ τὸν γ′ ἔσται σχέτλιος, εὐσχήμων, πλουσιόψυχος, πολύφιλος καὶ ἐν δημοσίαις ἀσχολίαις, γνωστὸς ἐν τόποις πολλοῖς, εὐχρημάτιστος, ἀκαταστατήσει δὲ κατὰ τὴν γυναῖκα καὶ λήψεται προειλκυσμένην καὶ τεκνώσει, ἔνιοι δὲ καὶ στεφανηφορήσουσι καὶ ἄρξουσι πόλεων. εἰσὶ δὲ οἱ κλιμακτῆρες τούτου ἔτος α′, θ′, ια′, κγ′, λϛ′, μβ′, ν′, ξη′, οϛ′. ὁ δὲ τὸ μεσεμβόλημα τούτου τε καὶ τοῦ ἐφεξῆς ζῳδίου ὡροσκοποῦν ἔχων ἕξει ἑλκώσεις ἢ σηπεδόνας ἢ ῥευματισμοὺς καὶ σύριγγας ἢ καὶ ὕδερον ἢ φακώσεις καὶ βροχοκήλας ἢ σκίρ[ρ]ους ἢ κιρσούς. Τὸ δ’ ἐφεξῆς τούτῳ δωδεκατημόριον ὠνόμασαν Σκορπίον καὶ τούτου τὴν κυρείαν τῶν αἰδοίων ἀνέθεσαν, ἔστι δὲ τὸ ζῴδιον οἶκος Ἄρεως καὶ σχηματίζεται τριγωνικῶς σὺν τῷ Καρκίνῳ καὶ τοῖς Ἰχθύσι καθάπερ εἴρηται ἡμῖν ἐν τῷ περὶ τοῦ Καρκίνου.

149 ἔστι δὲ στερεόν, θῆλυ, χέρσον, ἡμερινόν, ἄφωνον, ὑποτασσόμενον. καὶ καθόλου μέν ἐστι βροντῶδες καὶ πυρῶδες, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ νιφετώδη, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα σεισμώδη, καὶ τὰ μὲν βόρεια καυσώδη, τὰ δὲ νότια ἔνικμα. καὶ τὸ μὲν κέντρον αὐτοῦ ἄσπορον πέφυκε καὶ ὀφθαλμοὺς πηροῦν, ὑποχύσεις τε καὶ λευκώματα ποιεῖ διὰ τοὺς ἐν αὐτῷ νεφελοειδεῖς ἀστέρας οἳ καὶ παράκεινται τῷ Γαλαξίᾳ. μᾶλλον δὲ τῶν ἐν αὐτῷ ἀστέρων οἱ μὲν ἐν τῷ μετώπῳ λαμπροὶ τὸ αὐτὸ ποιοῦσι τῷ τε τοῦ Ἄρεως καὶ ἠρέμα τῷ τοῦ Κρόνου, οἱ δὲ ἐν τῷ σώματι τρεῖς ὧν ὁ μέσος ὑπόκιρρός ἐστι καὶ λαμπρός, ὃς καλεῖται Ἀντάρης, τῷ τοῦ Ἄρεως καὶ ἠρέμα τῷ τοῦ Διός, οἱ δὲ ἐν τοῖς σπονδύλοις τῷ τε τοῦ Κρόνου καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ ἐπὶ τοῦ κέντρου τῷ τε τοῦ Ἑρμοῦ καὶ τῷ τοῦ Ἄρεως, ἡ δὲ ἑπομένη νεφελοειδὴς συστροφὴ τῷ τε τοῦ Ἄρεως καὶ τῇ Σελήνῃ. Προσῳκείωνται δὲ αὐτῷ χῶραι κατὰ μὲν τοὺς ἀρχαίους Τύρος, Λιβύη, Καρχηδὼν καὶ Σικελία, κατὰ δὲ Πτολεμαῖον Μεταγωνῖτις,

Μαυριτανία, Γαιτουλία, Συρία, Κομμαγηνή, Καππαδοκία. ὡς δὲ κατὰ μέρος οἱ ἀρχαιότεροι διωρίσαντο τοῖς μὲν ἐμπροσθίοις Ἰταλία, τοῖς δὲ μέσοις Ἰκαρία καὶ οἱ συνεχεῖς ταύτῃ τόποι, τοῖς δὲ πρὸς τὸ μέτωπον Ῥώμη καὶ Βατερνία. Ἡ δὲ τάξις τῶν ὁρίων αὐτοῦ ἔχει οὕτω κατὰ μὲν τοὺς Χαλδαίους καὶ τὸν Δωρόθεον· Ἄρει ζ , ζ , Ἀφροδίτῃ δ , ια , Ἑρμῇ η , ιθ , Διὶ ε , κδ , Κρόνῳ ς , λ , κατὰ δὲ τὸν Πτολεμαῖον Ἄρει ς , ς , Διὶ η , ιδ , Ἀφροδίτῃ ζ , κα , Ἑρμῇ ς , κζ , Κρόνῳ γ , λ .

150 λαμπραὶ δὲ μοῖραι αὐτοῦ ζʹ, ιʹ, ιδʹ, κʹ, λʹ. Τῶν δὲ τριῶν αὐτοῦ δεκανῶν ὁ μὲν πρῶτος Στπχνηέ, ὁ βʹ Σεσμέ, ὁ γʹ Σισιεμέ. ὁ οὖν τὸν αʹ δεκανὸν ὡροσκοποῦντα ἔχων ἔσται ἀγχίνους, πεπαιδευμένος, δίκαιος, διαστήσει δὲ τοὺς γονεῖς καὶ ἔσται ἐν ζημίαις καὶ τόπους ἐκ τόπων ἀμείψει καὶ κτημάτων κυριεύσει καὶ πολλὰ χαρίσεται, ἐὰν δὲ καὶ ὁ τῆς Ἀφροδίτης ἐπιθεωρήσῃ χρυσοῦ καὶ ἀργύρου ἤτοι μετάλλων ἔσται τεχνίτης καὶ ὑπὸ γυναικῶν εὐνοηθήσεται, τινὲς δὲ καὶ ἀδελφαῖς συνέρχονται καὶ τεκνοῦσιν. οἱ δὲ κλιμακτῆρες τούτου εἰσὶν ἔτος θʹ, ιβʹ, κβʹ, λγʹ, μβʹ, νςʹ, ξγʹ, ξθʹ, οςʹ, πθʹ, ϙγʹ. ὁ δὲ τὸν βʹ ἔσται μέγας, πλούσιος, ἀρχοντικός τε καὶ πεπαιδευμένος, γλυκὺς τῷ λόγῳ, σώφρων, πολλὰ δι᾽ ἑαυτοῦ κτώμενος, γνωστὸς πολλοῖς καὶ ὑπὸ ἐλευθέρων δουλευθήσεται, πολλῶν τεχνῶν καὶ μάλιστα μουσικῆς εἰδήμων ἔσται καὶ παλαίστραις εὐδοκιμήσει, ἔσθ᾽ ὅτε καὶ ναύκληρος γίνεται, ἐνίοτε δὲ καὶ στρατοπεδάρχης, ἐὰν δὲ ὑπὸ Ἄρεως θεωρηθῇ τομὰς καὶ καύσεις καὶ σπάσεις καὶ σπασμοὺς περὶ τὰ ἄκρα πείσεται. οἱ δὲ τούτου κλιμακτῆρές εἰσιν ἔτος ζʹ, ιαʹ, κβʹ, λγʹ, μβʹ, νζʹ, ξαʹ, ογʹ, πδʹ, ϙθʹ. ὁ δὲ τὸν γʹ ἔσται ἐν ζημίαις καὶ ἀνωμαλίαις καὶ ξενιτείαις καὶ τύχης μετεωρισμῷ καὶ ψυχικῶς καὶ σωματικῶς ἀρρωστήσει καὶ ἐχθρῶν ἐπιβουλῆς πειραθήσεται, εἰς δὲ τὰ κατὰ τὴν γυναῖκα ἀκαταστατήσει (ἤτοι γὰρ δούλαις ἢ ὑπάνδροις καὶ σίνος ἐχούσαις μιγήσεται) καὶ ἐπὶ τέκνοις λυπηθήσεται, μετὰ δὲ τὴν πρώτην ἡλικίαν πολλὰ κτήσεται καὶ τόπων ἄρξει καὶ ἔσχατον καλῆς γυναικὸς τεύξεται, ἐὰν δὲ καὶ Ἀφροδίτη ἐπιμαρτυρήσῃ ἐπαφρόδιτος ἔσται καὶ φήμην ἕξει περὶ πράξεις διά τε μουσικῆς καὶ ῥυθμῶν, χρυσοῦ τε καὶ ἀργύρου.

151 οἱ δὲ κλιμακτῆρες αὐτοῦ ἔτος γʹ, θʹ, ιδʹ, ιηʹ, κβʹ, λαʹ, μγʹ, νεʹ, ξεʹ, οδʹ, πγʹ, πζʹ. ὁ δὲ τὸ μεσεμβόλημα τούτου τε καὶ τοῦ ἐφεξῆς ζῳδίου ἐκβολιμαῖος ἔσται ὑπὸ τῶν γονέων, ἐὰν δὲ καὶ ὑπὸ τοῦ Διὸς ἐπιθεωρηθῇ πάλιν ἀνακάμψει πρὸς τοὺς γονεῖς ἢ πρὸς ἑτέρους τινὰς οἰκείους. Τὸ δ᾽ ἐπὶ τούτῳ δωδεκατημόριον ἐκάλεσαν Τοξότην καὶ τοὺς μηροὺς τούτῳ ἀνέθεσαν, ἔστι δὲ οἶκος τοῦ Διὸς καὶ τριγωνίζεται τῷ τε Λέοντι καὶ τῷ Κριῷ καθὰ δὴ καὶ εἴρηται, ἔστι δὲ δίσωμον, ἄρρεν, χερσαῖον, τετράπουν, στειρῶδες, ὑποτασσόμενον, πτερωτόν, ἡμερινόν, ἐξ ἡμισείας ἀνθρωπόμορφον καὶ φωνῆεν, συριγγῶδες. καὶ καθόλου μέν ἐστι πνευματῶδες, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ δίυγρα, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα πυρώδη, καὶ τὰ μὲν βόρεια πνευματώδη, τὰ δὲ νότια κάθυγρα καὶ μεταβολικά. τῶν δ᾽ ἐν αὐτῷ ἀστέρων ὁ μὲν ἐπὶ τῆς ἀκίδος τοῦ βέλους ὅμοιον ἔχει τὸ ποιητικὸν τῷ τε τοῦ Ἄρεως καὶ τῇ Σελήνῃ, οἱ δὲ περὶ τὸ τόξον καὶ τὴν λαβὴν τῆς χειρὸς τῷ τε τοῦ Διὸς καὶ τῷ τοῦ Ἄρεως, ἡ δὲ ἐν τῷ προσώπῳ συστροφὴ τῷ τε Ἡλίῳ καὶ τῷ τοῦ Ἄρεως, οἱ δὲ ἐν ταῖς ἐφαπτίσι καὶ τῷ νώτῳ τῷ τοῦ Ἄρεως καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ ἐν τοῖς ποσὶ τῷ τοῦ Διὸς καὶ τῷ τοῦ Κρόνου, τὸ δὲ ἐπὶ τῆς οὐρᾶς τετράπλευρον τῷ τῆς Ἀφροδίτης καὶ ἠρέμα τῷ τοῦ Κρόνου. Προσῳκείωνται δὲ αὐτῷ χῶραι κατὰ μὲν τοὺς ἀρχαίους αἵ τε Γαλλίαι καὶ Κρήτη νῆσος, ἔτι δὲ καὶ Μυσία ἡ κατὰ τὴν Εὐρώπην, κατὰ δὲ τὸν Πτολεμαῖον Τυρρηνία, Κελτική, Ἱσπανία καὶ Ἀραβία ἡ Εὐδαίμων, κατὰ δὲ τὸν Ἵππαρχον κατὰ μὲν τὴν ῥάχιν Κρήτη, Σικελία, κατὰ δὲ τὰς πλευρὰς Ἰταλία, κατὰ δὲ τὰ μέσα καὶ τὴν κοιλίαν Ἰβηρία, ὡς δὲ καὶ ἔτι οἱ ἀρχαιότεροι τοῖς μὲν ἐμπροσθίοις Κρήτη καὶ οἱ συνεχεῖς τόποι καὶ τοῖς μὲν ἀριστεροῖς μέρεσι Σικελία, τοῖς δεξιοῖς δὲ Κύπρος νῆσος καὶ Ἐρυθρὰ θάλασσα, τοῖς δὲ ὀπισθίοις ποσὶ Τυρρηνία, τῇ ῥάχει Κασπάνιοι καὶ τὰ περὶ τὸν Εὐφράτην ἔθνη, τῇ δὲ οὐρᾷ Μεσοποταμία, Καρχηδονία καὶ θάλασσα ἡ Λιβυκή, τῇ δὲ κεφαλῇ Ἰταλία καὶ κόλπος ὁ Ἀδρίας καὶ οἱ περὶ αὐτὸν οἰκοῦντες, τῷ δὲ στήθει Συρία, τῇ δὲ φαρέτρᾳ πέλαγος τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀτλαντικόν, τῇ δὲ κοιλίᾳ Τριβαλλοί, Βακτριανή, Σικελία, τοῖς δὲ ἐμπροσθίοις ποσὶν Αἴγυπτος καὶ οἱ συνεχεῖς τόποι.

152 Ἡ δὲ τάξις τῶν ὁρίων ἔχει οὕτω κατὰ μὲν τοὺς Αἰγυπτίους καὶ τὸν Δωρόθεον· Διὶ ιβ , ιβ , Ἀφροδίτῃ ε , ιζ , Ἑρμῇ δ , κα , Κρόνῳ ε , κϛ , Ἄρει δ , λ , κατὰ δὲ τὸν Πτολεμαῖον Διὶ η , η , Ἀφροδίτῃ ϛ , ιδ , Ἑρμῇ ε , ιθ , Ἄρει ϛ , κϛ , Κρόνῳ δ , λ . λαμπραὶ δὲ μοῖραι αὐτοῦ δʹ, ϛʹ, ιʹ, ιηʹ, κϛʹ, κθʹ. Τῶν δὲ τριῶν αὐτοῦ δεκανῶν ὁ μὲν αʹ Ῥηουώ, ὁ δὲ βʹ Σισμέ, ὁ δὲ γʹ Κομμέ. καὶ τούτων τὸν μὲν πρῶτον ὁ ἔχων ὡροσκοποῦντα ἔσται καὶ ἐπικερδὴς καὶ αὖ ἀναλίσκων αὐτὰ ὡς τοξότης ἀποβάλλων ὀιστοὺς καὶ πάλιν δεχόμενος ἀπὸ τῶν ἐναντίων, θεόγνωστος, εὐχρηματιστος, συγγενῶν δ’ ὑποίσει θανάτους καὶ εἰς κίνδυνον καταστὰς ὑπὸ θεοῦ σωθήσεται καὶ πολλοὺς θρέψει δι’ ἀγαθότητα καὶ ἐγγὺς μεγιστάνων ἔσται, τινὲς δὲ τῶν τοιούτων καὶ ἱπποτροφοῦσι καὶ στρατηγοῦσι καὶ ἀγορανομοῦσι καὶ ὑπὸ γυναικῶν εὐνοοῦνται, οἱ δὲ καὶ ἀρχιερεῖς γίνονται. οἱ δὲ τούτου κλιμακτῆρές εἰσιν ἔτος ιαʹ, κβʹ, λαʹ, μϛʹ, νγʹ, ξγʹ, οζʹ, πϛʹ.

153 ὁ δὲ τὸν βʹ διαστήσει τοὺς γονεῖς καὶ ἔσται ἐν πενίᾳ καὶ κακοπαθείᾳ καὶ ξενιτεύσει ἐν τόποις οἷς οὐ προσδοκήσει, ψυχικὸν δὲ μετεωρισμὸν ἕξει, ἐὰν δέ τις τῶν ἀγαθῶν ἐπιμαρτυρήσῃ τὰ κακὰ διαλύσει καὶ προβαινούσης τῆς ἡλικίας ἔσται βελτίων, μετελεύσεται δὲ τέχνας διὰ χρυσοῦ καὶ ἀργύρου ἢ χρημάτων. οἱ δὲ τούτου κλιμακτῆρές εἰσιν ἔτος ιαʹ, ιθʹ, καʹ, λβʹ, μϛʹ, ναʹ, ξγʹ, οβʹ, πϛʹ, ϙαʹ. ὁ δὲ τὸν γʹ τραφήσεται ὡς πλούσιος (ἐκ γὰρ μεγάλων ἔσται γονέων), ὀξύς, πεπαιδευμένος καὶ δημοσιεύσει κύριος καταστὰς ζωῆς καὶ θανάτου τῶν πταιόντων καὶ ἐγγὺς βασιλέων ἔσται καὶ ἐπίτροπος ἔσται βασιλικῶν πραγμάτων καὶ στρατευμάτων, ἐὰν δὲ ὑπὸ Διὸς μαρτυρηθῇ ὁ τοιοῦτος δεκανὸς ποιεῖ ἡγεμόνας, βασιλέων διαδόχους, πόλεις ὑποτάσσοντας, ἐὰν δὲ ὑπὸ Κρόνου μαρτυρηθῇ ἢ συνανατέλλῃ αὐτῷ Κρόνου μοῖρα ἀποστάσεις ὄχλων καὶ χρημάτων ἀποβολὴν ποιεῖ καὶ ἀκαταστασίαν καὶ ἔχθρας καὶ ἐπιβουλὰς δουλικάς. εἰσὶ δὲ οἱ κλιμακτῆρες τούτου ἔτος ιαʹ, κϛʹ, λϛʹ, μβʹ, ναʹ, ξζʹ, οβʹ· ὁ δὲ θάνατος ὀξύς. ὁ δὲ τὸ μεσεμβόλημα τούτου τε καὶ τοῦ ἐφεξῆς ζῳδίου ὡροσκοποῦν ἔχων ἐν νέᾳ ἡλικίᾳ ἐπίψογος ἔσται, ἐὰν δὲ θήλεια ᾖ ἑταιρικῶς διάξει καὶ μεγάλῳ ἀνδρὶ συγκοιμηθήσεται καὶ φιληθήσεται καὶ ἔσται σὺν αὐτῷ τοῦ προτέρου ἀποστᾶσα βίου καὶ τέλους καλοῦ τεύξεται. Τὸ δ’ ἐφεξῆς δωδεκατημόριον, ὃ εἰς τὰ γόνατα παραλαμβάνεται, ὠνόμασαν Αἰγόκερω, καί ἐστιν οἶκος μὲν Κρόνου, ὕψωμα δὲ Ἄρεως περὶ μοῖραν κηʹ· σχηματίζεται δὲ τριγωνικῶς τῇ τε Παρθένῳ καὶ τῷ Ταύρῳ· τροπικόν, χειμερινόν, θηλυκόν, ἡμερινόν, στειρῶδες, ὑποτακτικόν, ἀμφίβιον, διφυές, ἡμίφωνον. καὶ καθόλου μέν ἐστι κάθυγρον, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ καυσώδη καὶ φθαρτικά, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα ὄμβρων κινητικά, καὶ ἔτι τὰ βόρεια καὶ νότια αὐτοῦ κάθυγρα καὶ φθαρτικά.

154 τῶν δὲ ἐν αὐτῷ ἀστέρων οἱ μὲν ἐπὶ τῶν κεράτων ὡσαύτως ἐνεργοῦσι τῷ τῆς Ἀφροδίτης καὶ ἠρέμα τῷ τοῦ Ἄρεως, οἱ δὲ ἐν τῷ στόματι τῷ τε τοῦ Κρόνου καὶ ἠρέμα τῷ τῆς Ἀφροδίτης, οἱ δὲ ἐν τοῖς ποσὶ καὶ τῇ κοιλίᾳ τῷ τοῦ Ἄρεως καὶ τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ ἐπὶ τῆς οὐρᾶς τῷ τοῦ Κρόνου καὶ τῷ τοῦ Διός. Προσῳκείωνται δὲ αὐτῷ χῶραι κατὰ μὲν τοὺς παλαιοὺς Κιμμέριοί τε καὶ ἡ πανέρημος, κατὰ δὲ τὸν Πτολεμαῖον Ἰνδική, Ἀρ[ρ]ιανή, Γεδρωσία, Θρᾴκη, Μακεδονία, Ἰλλυρίς. ὡς δὲ κατὰ μέρος ἄλλοι διωρίσαντο ὑπόκεινται αὐτῷ κατὰ μὲν τὰς πλευρὰς Αἰγαῖον πέλαγος καὶ οἱ περιοικοῦντες, ἔτι δὲ καὶ Κόρινθος, κατὰ δὲ τὴν ζώνην καὶ τὸν νῶτον ἡ Μεγάλη θάλασσα, κατὰ τὴν οὐρὰν Ἰβηρία, κατὰ τὴν κεφαλὴν Κυλληνία καὶ Τυρρηνία, κατὰ τὸ στῆθος Τυρρηνικὸν πέλαγος, κατὰ τὴν κοιλίαν μέση Αἴγυπτος, Συρία, Καρία. Τὰ δὲ ὅρια ἔχουσιν οὕτως· κατὰ μὲν τοὺς Αἰγυπτίους Ἑρμῇ ζ , ζ , Διὶ ζ , ιδ , Ἀφροδίτῃ η , κβ , Κρόνῳ δ , κϛ , Ἄρει δ , λ , κατὰ δὲ τὸν Πτολεμαῖον Ἀφροδίτῃ ϛ , ϛ , Ἑρμῇ ϛ , ιβ , Διὶ ζ , ιθ , Ἄρει ϛ , κε , Κρόνῳ ε , λ . λαμπραὶ δὲ αὐτοῦ μοῖραι ϛʹ, ιβʹ, ιεʹ, κδʹ, λʹ. Τῶν δὲ τριῶν αὐτοῦ δεκανῶν ὁ μὲν πρῶτος Σμάγ, ὁ βʹ Σρῶ, ὁ γʹ Ἰσρὼ κέκληνται. καὶ ὁ μὲν ἔχων τὸν αʹ ὡροσκοποῦντα ἔσται πρωτότοκος ἢ πρωτότροφος,

φρόνιμος, βαθύς, πεπαιδευμένος, ἀγαθός, εὐπαρρησίαστος, καὶ ὑποτάξει τοὺς ἐχθροὺς αὐτοῦ, ὑπὸ δὲ τῶν ἰδίων κινδυνεύσας ἀποθανεῖν σωθήσεται καὶ ἐν πολλαῖς ζημίαις ἔσται ἐν τῇ α′ ἡλικίᾳ, εἰς δὲ γυναῖκα ἀκαταστατήσει, ἐὰν δὲ ὁ τοῦ Διὸς ἐπιμαρτυρήσῃ τῷ δεκανῷ τούτῳ ἀγαθοὺς χρόνους ἕξει καὶ εὑρέματα εὑρήσει καὶ κυριεύσει πολλῶν καὶ τέλους καλοῦ τεύξεται.

155 εἰσὶ δὲ οἱ κλιμακτῆρες τούτου ἔτος α′, δ′, θ′, ια′, ιζ′, κβ′, λα′, μβ′, νς′, ξγ′, οβ′, πα′, πθ′. ὁ δὲ τὸν β′ διαστήσει τοὺς γονεῖς θανάτῳ καὶ τὰ αὐτῶν μειώσει καὶ ἐν ζημίαις καὶ ξενιτείαις ἔσται καὶ μετὰ μεγάλων ἀνδρῶν συναναστραφήσεται ποικίλος ὢν τοῖς ἤθεσι καὶ δι’ ὑγρῶν τὸ ζῆν ἔχων, ἀκαταστατήσει δὲ πρὸς γυναῖκα καὶ βραδυγαμήσει καὶ διαβληθήσεται ἐπὶ ὑπάνδροις καὶ δούλαις καὶ χήραις, μετὰ δὲ τὴν πρώτην ἡλικίαν ὠφεληθήσεται παρὰ γυναικὸς καὶ τέλους καλοῦ τεύξεται. οἱ δὲ κλιμακτῆρες αὐτοῦ ἔτος ς′, θ′, ια′, κβ′, λα′, μα′, νγ′, ξγ′, ος′, πα′. ὁ δὲ τὸν γ′ ἐκ μεγάλων καὶ εὐγενῶν γονέων γεγονὼς τραφήσεται πλουσίως καὶ πιστευθήσεται πολλὰ καὶ ἔσται πεπαιδευμένος καὶ πολύφιλος, ὀξύς, μισοπόνηρος, ἀσελγής, εὐμετάβλητος, καὶ ἀκαταστατήσει κατὰ τὴν γυναῖκα καὶ ὕστερον εὐνοηθήσεται ὑπ’ αὐτῆς καὶ πολλὰ κτήσεται καὶ κυριεύσει πολλῶν. εἰσὶ δὲ οἱ κλιμακτῆρες τούτου ἔτος δ′, ζ′, ια′, κβ′, λγ′, μς′, νβ′, ξγ′, οβ′· ὁ δὲ θάνατος αὐτῷ ὀξὺς καὶ ἐπὶ ξένης ἔσται. ὁ δὲ τὸ μεσεμβόλημα τούτου τε καὶ τοῦ ἐφεξῆς ζῳδίου ὡροσκοποῦν ἔχων ἔσται ἐκβολιμαῖος καὶ θηριόβρωτος. Τὸ δ’ ἐφεξῆς τούτῳ δωδεκατημόριον, ὃ εἰς τὰς κνήμας παραλαμβάνεται, Ὑδροχόον ὠνόμασαν, ἔστι δὲ οἶκος Κρόνου, ἀρσενικόν, στερεόν, νυκτερινόν, λογικόν, φωνῆεν, ἀνθρωπόμορφον, ὑποτακτικόν. καὶ καθόλου μέν ἐστι ψυχρῶδες καὶ ὑδατῶδες, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ κάθυγρα, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα πνευματώδη, καὶ τὰ μὲν βόρεια καυσώδη, τὰ δὲ νότια νιφετώδη. τῶν δ’ ἐν αὐτῷ ἀστέρων οἱ μὲν ἐν τοῖς ὤμοις ὁμοίως διατιθέασι τῷ τε τοῦ Κρόνου καὶ τῷ τοῦ Ἑρμοῦ σὺν τοῖς ἐν τῇ ἀριστερᾷ χειρὶ καὶ τῷ ἱματίῳ, οἱ δὲ ἐπὶ τῶν μηρῶν μᾶλλον μὲν τῷ τοῦ Ἑρμοῦ, ἧττον δὲ τῷ τοῦ Κρόνου, οἱ δὲ ἐπὶ τῆς οὐρᾶς καὶ τοῦ νοτίου λίνου τῷ τοῦ Κρόνου καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ ἐν τῇ ῥύσει τοῦ ὕδατος τῷ τε τοῦ Κρόνου καὶ ἠρέμα τῷ τοῦ Διός.

156 Προσῳκείωνται δὲ αὐτῷ χῶραι κατὰ τοὺς ἀρχαίους ἥ τε Αἴγυπτος καὶ ἡ Μεσοποταμία, κατὰ δὲ τὸν Πτολεμαῖον Σαυροματική, Ὠξιανή, Σογδιανή, Ἀραβία, Ἀζανία, μέση Αἰθιοπία. ὡς δὲ οἱ ἀρχαιότεροι διεῖλον κατὰ μέρος τῇ μὲν ἀριστερᾷ χειρὶ καὶ τῷ στήθει αὐτοῦ Συρία, τοῖς δὲ ὑπὸ τὴν δεξιὰν Εὐφράτης καὶ Τίγρις, τῇ δ’ ἐκχύσει τοῦ ὕδατος Τάναϊς καὶ οἱ πρὸς νότον καὶ ζέφυρον ῥέοντες. Τὰ δὲ ὅρια οὕτω κατὰ μὲν τοὺς Αἰγυπτίους καὶ τὸν Δωρόθεον· Ἑρμῇ ζ , ζ , Ἀφροδίτῃ ς , ιγ , Διὶ ζ , κ , Ἄρει ε , κε , Κρόνῳ ε , λ , κατὰ δὲ τὸν Πτολεμαῖον Κρόνῳ ς , ς , Ἑρμῇ ς , ιβ , Ἀφροδίτῃ η , κ , Διὶ ε , κε , Ἄρει ε , λ . λαμπραὶ δὲ μοῖραι αὐτοῦ ια′, ιζ′, κ′, κε′, κθ′. Τῶν δὲ τριῶν αὐτοῦ δεκανῶν ὁ μὲν πρῶτος Πτιαῦ καλεῖται, ὁ δὲ β′ Ἀεῦ, ὁ δὲ γ′ Πτιβιοῦ. ὁ οὖν τὸν α′ δεκανὸν ὡροσκοποῦντα ἔχων ἔσται παρρησιαστικός, μισοπόνηρος, δικαιοκρίτης, καὶ πολλοὶ ἐπ’ αὐτὸν καταφεύξονται διὰ τὸ ἀντιποιεῖσθαι τοῦ δικαίου, καὶ ὑπὸ γυναικῶν εὐνοηθήσεται, ὄψεται δὲ θανάτους τέκνων. οἱ δὲ κλιμακτῆρες αὐτοῦ εἰσιν ἔτος ζ′, ια′, ιθ′, κβ′, λα′, νζ′, ξβ′, ος′, πα′, ϙβ′. ὁ δὲ τὸν β′ κακοπαθήσει σωματικῶς καὶ εἰς τὰ κατὰ τὸν βίον, ἐγκλήματα ἕξει φαρμακοποσίας καὶ συκοφαντίας καὶ χρημάτων ἀποβολὴν καὶ ἐμπρησμοὺς καὶ ναυάγια ὑποστήσεται καὶ ἀκαταστατήσει κατὰ τὴν γυναῖκα· ταῦτα ἕξει ἐν τῇ α′ ἡλικίᾳ, ὕστερον δὲ ἐν ἀναπαύσει γίνεται πολλὰ κτησάμενος. οἱ δὲ τούτου κλιμακτῆρές εἰσιν ἔτος ιβ′, κς′, λγ′, μδ′, νς′, ξε′, ογ′, πδ′, ϙε′.

157 ὁ δὲ τὸν γ′ ἔσται μέγας καὶ ἰσοθέοις τιμαῖς τιμηθήσεται καὶ κοσμοκράτωρ ἔσται καὶ πάντα αὐτῷ ὑπακούσεται, ἔσται δὲ ταῦτα ἐὰν καὶ ἀγαθοποιοὶ ἐπιμαρτυρήσωσι τῷ τόπῳ ἄνευ κακῶν παρουσίας. οἱ δὲ κλιμακτῆρες αὐτοῦ εἰσιν ἔτος ...... ............. ὁ δὲ τὸ μεσεμβόλημα αὐτοῦ τε καὶ τοῦ ἐφεξῆς ζῳδίου ὡροσκοποῦν ἔχων ἔσται τερατώδης, ἐκβόλιμος οἷον σατυρίσκος ἢ ἑρμαφρόδιτος, δίδυμος ἢ δικέφαλος. Τὸ δ’ ἐφεξῆς τούτῳ δωδεκατημόριον, ὃ εἰς τοὺς πόδας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παραλαμβάνεται, ἔστιν οἶκος Διός, ὕψωμα Ἀφροδίτης περὶ μοῖραν κζʹ, τρίγωνον σὺν τῷ Καρκίνῳ καὶ τῷ Σκορπίῳ, δίσωμον, θηλυκόν, γόνιμον, νυκτερινόν, νηκτόν, συριγγῶδες, πτερωτόν, ἄφωνον, ὑποτακτικόν. καὶ καθόλου μέν ἐστι ψυχρὸν καὶ πνευματῶδες, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ εὔκρατα, τὰ δὲ μέσα κάθυγρα, τὰ δὲ ἑπόμενα καυσώδη, καὶ τὰ μὲν βόρεια πνευματώδη, τὰ δὲ νότια ὑδατώδη. τῶν δὲ ἐν αὐτῷ ἀστέρων οἱ μὲν ἐν τῇ κεφαλῇ τοῦ νοτιωτέρου Ἰχθύος τὸ αὐτὸ ποιοῦσι τῷ τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῷ τοῦ Κρόνου, οἱ δὲ ἐν τῷ σώματι τῷ τοῦ Διὸς καὶ τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ ἐπὶ τῆς οὐρᾶς καὶ τοῦ νοτίου λίνου τῷ τοῦ Κρόνου καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ ἐν τῷ σώματι καὶ τῇ ἀκάνθῃ τοῦ βορείου Ἰχθύος τῷ τοῦ Διὸς καὶ ἠρέμα τῷ τῆς Ἀφροδίτης, οἱ δὲ ἐν τῷ βορείῳ λίνῳ τῷ τοῦ Κρόνου καὶ τῷ τοῦ Διός, οἱ δὲ ἐπὶ τοῦ συνδέσμου λαμπροὶ τῷ τοῦ Ἄρεως καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ. Ὑπόκεινται δὲ αὐτῷ χῶραι ἥ τε Ἐρυθρὰ θάλασσα καὶ τὰ περὶ τὸν Ὠκεανόν, κατὰ δὲ τὸν Πτολεμαῖον Φαζανία, Νασαμωνῖτις, Γαραμαντική, Λυδία, Κιλικία, Παμφυλία.

158 ὡς δὲ κατὰ μέρος οἱ ἀρχαιότεροι διεῖλον τοῖς μὲν ἐμπροσθίοις Εὐφράτης καὶ Τίγρις, τοῖς δὲ μέσοις Συρία, Ἐρυθρὰ θάλασσα, Ἰνδική, μέση Περσίς, τοῖς δ' ὑπὸ τὸν νῶτον Ἀραβικὴ θάλασσα καὶ Βορυσθένης, τῷ συνδέσμῳ τοῦ βορείου Ἰχθύος Θρᾴκη, τῷ δὲ τοῦ νοτίου Ἀσία καὶ Σαρδώ. Τὰ δὲ ὅρια οὕτω κατὰ μὲν τοὺς Αἰγυπτίους· Ἀφροδίτῃ ιβ , ιβ , Διὶ δ , ις , Ἑρμῇ γ , ιθ , Ἄρει θ , κη , Κρόνῳ β , λ , κατὰ δὲ τὸν Πτολεμαῖον Ἀφροδίτῃ η , η , Διὶ ϛ , ιδ , Ἑρμῇ ϛ , κ , Ἄρει ϛ , κϛ , Κρόνῳ δ , λ . λαμπραὶ δὲ αὐτοῦ μοῖραι ηʹ, ιεʹ, κʹ, κγʹ, κεʹ, λʹ. Τῶν δὲ τριῶν αὐτοῦ δεκανῶν ὁ πρῶτος Βιοῦ, ὁ δὲ βʹ Χονταχρετπιβιοῦ, ὁ γʹ Βιοῦ. καὶ ὁ μὲν τὸν αʹ δεκανὸν ὡροσκοποῦντα ἔχων ἔσται μέγας καὶ πολὺν ὄχλον ὑφ' ἑαυτὸν ἕξει εὖ ποιῶν τοὺς ὑποτεταγμένους, λυπηθήσεταί τε ἐπὶ τέκνοις, ἔσται δὲ θεοσεβής, εὐχρημάτιστος, καὶ περὶ τὸν τράχηλον κινδυνεύσας θάνατον ὑποστῆναι ἐκφεύξεται, τινὲς δὲ τῶν τοιούτων καὶ τῶν γυναικῶν ἀποστεροῦνται, διεκδραμὼν δὲ τὰς τοιαύτας τοῦ δεκανοῦ δυσκολίας ἀγαθοὺς καιροὺς ἕξει καὶ ὑπὸ γυναικὸς εὐνοηθήσεται καὶ τεκνώσει. εἰσὶ δὲ οἱ τούτου κλιμακτῆρες ἔτος ιβʹ, κβʹ, κεʹ, κζʹ, λγʹ, μβʹ, νβʹ, ξδʹ. ὁ δὲ τὸν βʹ τραφήσεται πλουσίως καὶ διαστήσει τοὺς γονεῖς καὶ τὰ αὐτῶν μειώσει καὶ δι' ἑαυτοῦ κτήσεται ἕτερα· ἔσται γὰρ ἐμπορικός τις καὶ περίκτητος καὶ φιλάνθρωπος καὶ πεπαιδευμένος, οὐράνιά τε εἰδὼς καὶ ἡσύχια καὶ πιστεύσει καὶ πιστευθήσεται καὶ ἀποστερηθήσεται ὑπὸ φίλων καὶ γαμήσει γυναῖκα ἣν καὶ ἐκβαλεῖ ἐπιβουλευθεὶς παρ' αὐτῆς, ἕξει δὲ πολλοὺς ἐχθροὺς οὓς καὶ ἐπόψεται, εἰ δὲ ἀγαθὸς ἐπιμαρτυρήσῃ ἀστὴρ γαμήσει μετὰ ταῦτα καλὴν γυναῖκα καὶ εὐσταθὴς ἔσται καὶ καλοῦ τέλους τεύξεται.

159 εἰσὶ δὲ τούτου οἱ κλιμακτῆρες ἔτος δʹ, ζʹ, ιʹ, ιϛʹ, κʹ, λαʹ, μβʹ, ναʹ, ξαʹ, ξθʹ, οβʹ, οζʹ, οθʹ. ὁ δὲ τὸν γʹ ἔσται κεχαριτωμένος καὶ πεπαιδευμένος, πολύφιλος, τρυφητής, ἕξει δὲ σίνος ἐν τῷ σώματι καὶ ὄψεται θάνατον οἰκείων καὶ γυναικός, ἕξει δὲ διατριβὴν ἐν ποταμοῖς καὶ ἐν θαλάσσῃ καὶ τὰ τῶν γονέων μειώσει, φιλονεικήσει δὲ πρὸς ὑπερέχοντας καὶ γαμήσει προβεβηκυῖαν, εἰ δὲ ἐπιθεωρήσει ἀγαθοποιὸς πολλὰ μὲν κτήσεται, ἀναλώσει δὲ ταῦτα ὡς τρυφητής. οἱ δὲ κλιμακτῆρες τούτου εἰσὶν ἔτος βʹ, ϛʹ, θʹ, ιβʹ, καʹ, λαʹ, μβʹ, ναʹ, ξζʹ, οδʹ, πʹ· ὁ δὲ θάνατος ὀξύς. ὁ δὲ τὸ μεσεμβόλημα τούτου τε καὶ τοῦ Κριοῦ ὡροσκοποῦν ἔχων αὐτόχειρ ἑαυτοῦ ἔσται ἢ καὶ φαρμακοποσίᾳ τελευτήσει ἢ ἀπάγξεται καὶ οὐδὲ ταφῆς ἀξιωθήσεται. 〈βʹ〉 Ἐν οἷς τόποις χαίρουσιν οἱ ε ἀστέρες Ὁ μὲν Κρόνος ἐν Ὑδροχόῳ χαίρει, ὁ Ζεὺς δ' ἐν Τοξότῃ, ὁ δὲ Ἄρης ἐν Σκορπίῳ, Ἀφροδίτη 〈δ'〉 ἐν Ταύρῳ, Ἑρμῆς δ' ἐν Παρθένῳ. 〈γʹ〉 Τίνες τῶν ιβ τόπων εἰσὶ βελτίους Δώδεκα δὲ τόπων ὄντων τῶν διατιθεμένων κάλλιστος μὲν ὁ ὡροσκόπος, βʹ δὲ ὁ τοῦ μεσουρανήματος, γʹ ὁ μετ' αὐτὸν τριγωνικῶς σχηματιζόμενος τῷ ὡροσκόπῳ, δʹ ὁ προηγούμενος τοῦ μεσουρανήματος ἑξαγωνικὴν πλευρὰν τοῦ ὡροσκόπου ἀπέχων, εʹ ὁ διαμετρῶν τῷ ὡροσκόπῳ (τουτέστι τὸ δῦνον), ϛʹ τὸ ὑπόγειον μεσουράνημα, ζʹ ὁ τῷ μεσουρανήματι ἑπόμενος, καὶ ηʹ ὁ τοῦ μεσουρανήματος προηγούμενος. οἱ δὲ λοιποὶ ἔξοχα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάντων εἰσὶ στυγερώτατοι. 〈ιδʹ〉 Περὶ ἐπιτηδείων καὶ ἀνεπιτηδείων ζῳδίων ἐν καταρχαῖς Τὰ μὲν ὀρθῶς ἀνατέλλοντα ζῴδια (ἔστι δὲ τὰ ἀπὸ Καρκίνου ἕως Τοξότου) ἐπὶ τῆς ἀνατολῆς ἀκάκωτα τυχόντα ἀνεμποδίστως τὰ πραττόμενα τελέσει, τὰ δὲ λοξά (ἔστι δὲ τὰ ἀπὸ Αἰγοκέρωτος ἕως Διδύμων) ἄνευ μαρτυρίας ἀγαθοποιῶν ἀστέρων δυσκατέργαστα καὶ πολυχρόνια μηνύει, αὐτὰ δὲ τὰ τροπικὰ ἐν τῇ ἀνατολῇ ὄντα μετατρέπει ταχέως τὸ πραττόμενον.

160 (1t) διὸ ἐν μὲν ἡμεριναῖς πράξεσιν ἐπιτηρητέον τόν τε Κριόν, τὸν Καρκίνον, τὸν Λέοντα καὶ τὸν Τοξότην (ταῦτα γὰρ ἡμερινὰ ζῴδια) εἴπερ εἴη τούτων τι ἐπὶ τῆς ἀνατολῆς καὶ ἡ Σελήνη τινὶ τούτων παροδεύοι, ἐν δὲ νυκτεριναῖς ὁμοίως τὰ διάμετρα τῶν ἡμερινῶν ζῳδίων ἐπισκεπτέον, τουτέστι τὸν Ζυγόν, τὸν Αἰγοκέρωτα, τὸν Ὑδροχόον καὶ τοὺς Διδύμους (ταῦτα γὰρ νυκτερινά). Βλάπτει οὖν ἡ Σελήνη ἐκλείπουσα καὶ μάλιστα ἐν τῷ γενεθλιακῷ ζῳδίῳ τυχοῦσα ἢ τοῖς τούτῳ τριγώνοις, ἔτι δὲ καὶ συνοδικὴ οὖσα, ἧττον μέντοι. ἐπιτηρητέον δὲ καὶ τὸ δωδεκατημόριον αὐτῆς μὴ ἐμπίπτῃ ὅπου ὁ Κρόνος ἢ ὁ Ἄρης. μηδὲ μὴν αὐτὴν πανσέληνος εἴη (ἔριν γὰρ καὶ διχοστασίαν μηνύει), μήτε μὴν ἐν τοῖς κατὰ μῆκος ἢ πλάτος ἀριθμοῖς ἀφαιροῦσα μήτε ἐν τῷ νοτίῳ πέρατι μήτε ἐν ταῖς τελευταίαις μοίραις τῶν ζῳδίων. 〈ιεʹ〉 Περὶ καθολικῶν ἐπισκέψεων καὶ ἀποτελουμένων Τούτων οὕτω προεκτεθειμένων ἀκόλουθον ἂν εἴη κατὰ τὸ κεφαλαιῶδες λογικῶς ἐπελθεῖν τὰ καθόλου γινόμενα χώραις ἢ πόλεσι συμπτώματα. ταῦτα δὲ μάλιστα συμβαίνει παρὰ τὰς ἐκλειπτικὰς φαντασίας Ἡλίου τε καὶ Σελήνης τὰς εὐαισθητοτέρας καὶ τὰς ἐν αὐταῖς παρόδους τῶν ἀστέρων καὶ τοὺς τούτων στηριγμούς τε καὶ φάσεις.

161 Ἐπισκεπτόμεθα οὖν τὰ τοιαῦτα τὸν τρόπον τοῦτον. πρῶτον ὁρῶμεν ποίαις χώραις ἢ πόλεσιν αἱ κατὰ μέρος ἐκλείψεις καὶ τῶν τριῶν πλανωμένων Κρόνου, Διὸς καὶ Ἄρεως οἱ στηριγμοὶ καὶ αἱ φάσεις τὰς ἐπισημασίας ποιήσουσιν, ἔπειτα τὸν καιρὸν τῶν ἐπισημασιῶν καὶ τῆς παρατάσεως τὴν ποσότητα καὶ περὶ ποῖα τῶν γενῶν ἀποβήσεται τὸ σύμπτωμα σκοποῦμεν, τελευταῖον δὲ τὴν αὐτοῦ τοῦ τελεσθησομένου ποιότητα. Προσήκει τοίνυν πρὸς μὲν τὰς χώρας ἢ πόλεις σκοπεῖν τὸ τῆς ἐκλείψεως δωδεκατημόριον ποίᾳ τούτων συνοικειοῦται κατὰ τρίγωνον ἢ καὶ τετράγωνον σχῆμα καὶ ὁμοίως ποίων πόλεων αἱ φωσφορίαι καὶ οἱ ὡροσκόποι τῷ τόπῳ τῆς ἐκλείψεως συμφωνοῦσιν· ἐφ᾽ ὧν δὲ πόλεων οἱ χρόνοι τῶν κτίσεων ἀγνοοῦνται, τῶν κατὰ καιρὸν ἐν αὐταῖς ἀρχόντων ἢ βασιλευόντων τῷ μεσουρανήματι χρησόμεθα εἰ συμπάθειαν ἔχει πρὸς τὸν αὐτὸν τῆς ἐκλείψεως τόπον. ἐφ᾽ ὅσων δὴ οὖν χωρῶν ἢ πόλεων εὑρήσομεν τὴν συνοικείωσιν ταύτην, περὶ πάσας μὲν ὡς ἐπίπαν ὑπονοητέον ἔσεσθαι τὸ σύμπτωμα, ἐξαιρέτως περὶ τὰς πρὸς αὐτὸ τὸ τῆς ἐκλείψεως δωδεκατημόριον λόγον ἐχούσας καὶ ἐν ὅσαις αὐτῶν ὑπὲρ γῆν οὖσα ἡ ἔκλειψις ἐφαίνετο. Τοὺς δὲ χρόνους τῆς παρατάσεως τῆς ὅλης ἐκλείψεως λογισάμενοι καθ᾽ ἑκάστην οἴκησιν ἐν αἷς αἱ ἐκλείψεις φαίνονται πόσας εἶναι συμβαίνει ἰσημερινὰς ὥρας ἢ καὶ μέρη, ἐφ᾽ ἡλιακῆς μὲν ἐκλείψεως ἐπὶ τοσούτους ἐνιαυτοὺς ὑπονοήσομεν ὁλοσχερῶς τὸ ἀποτελούμενον ἔσεσθαι, ἐπὶ δὲ σεληνιακῆς ἐπὶ τοσούτους ὁμοίως μῆνας. ἡ δὲ τούτου παράτασις ἐκ τῆς σχέσεως τοῦ ἐκλειπτικοῦ τόπου συνοραθήσεται· πρὸς μὲν γὰρ τῷ ἀπηλιωτικῷ ὁρίζοντι ὁ τόπος ἐκπεσὼν κατὰ τὸ αʹ τριτημόριον τοῦ ὅλου χρόνου τῆς ἐκλείψεως τὴν παράτασιν τοῦ συμπτώματος ποιήσεται, πρὸς δὲ τῷ μεσουρανήματι κατὰ τὸ μέσον τριτημόριον, πρὸς δὲ τῷ λιβυκῷ ὁρίζοντι κατὰ τὸ τελευταῖον τριτημόριον.

162 Αἱ δὲ κατὰ μέρος ἀνέσεις καὶ ἐπιτάσεις ληφθήσονται ἀπὸ τῶν .................. ὅταν κατ᾽ αὐτῶν τῶν τὸ αἴτιον ἐμποιούντων ἢ τῶν συσχηματιζομένων αὐτοῖς συμπίπτωσιν, καὶ ἀπὸ τῶν ἄλλων παρόδων ὅταν οἱ ποιητικοὶ τοῦ ἀποτελέσματος ἀστέρες ἀνατολὰς ἢ δύσεις ἢ στηριγμοὺς ἢ ἀκρονύκτους φάσεις ποιῶνται συσχηματιζόμενοι τοῖς τὴν αἰτίαν ἔχουσι δωδεκατημορίοις, ἐπειδήπερ ἀνατέλλοντες μὲν ἢ στηρίζοντες ἐπιτάσεις ποιοῦνται τῶν συμπτωμάτων, δύνοντες δὲ καὶ ὑπὸ τὰς αὐγὰς ὄντες ἢ ἀκρονύκτους ποιούμενοι στάσεις ἄνεσιν ἐμποιοῦσι τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποτελουμένων. Περὶ ποῖα δὲ τῶν γενῶν ἀποβήσεται τὸ σύμπτωμα γνωσόμεθα ἐκ τῆς τῶν ζῳδίων ἰδιοτροπίας καὶ μορφώσεως καθ’ ὧν ἂν τύχωσιν ὄντες οἵ τε τῶν ἐκλείψεων τόποι καὶ οἱ τὴν οἰκοδεσποτίαν λαμβάνοντες ἀστέρες πλανώμενοί τε καὶ ἀπλανεῖς τοῦ τε τῆς ἐκλείψεως δωδεκατημορίου καὶ τοῦ κατὰ τὸ κέντρον τὸ πρὸ τῆς ἐκλείψεως. 〈ις′〉 Περὶ οἰκοδεσποτίας τῶν πλανωμένων Λαμβάνεται δὲ ἡ τούτων οἰκοδεσποτία ἐπὶ μὲν τῶν πλανωμένων οὕτως. ὁ γὰρ τοὺς πλείστους λόγους ἔχων πρὸς ἀμφοτέρους τοὺς ἐκκειμένους τόπους τόν τε τῆς ἐκλείψεως καὶ τὸν τοῦ ἑπομένου αὐτῷ κέντρου κατά τε τὰς ἔγγιστα φαινομένας συναφὰς ἢ ἀπορροίας καὶ συσχηματισμοὺς καὶ ἔτι κατὰ τὴν κυριότητα τῶν οἴκων καὶ τριγώνων καὶ ὑψωμάτων καὶ ὁρίων, ἐκεῖνος λέγεται μόνος ἔχειν τὴν οἰκοδεσποτίαν.

163 εἰ δὲ μὴ εὑρεθείη ὁ αὐτὸς κύριος τῆς ἐκλείψεως καὶ τοῦ κέντρου ἀλλὰ δύο, τὸν ἔχοντα πλείονας συνοικειώσεις ἑλώμεθα προκρίνοντες 〈τὸν〉 τῆς ἐκλείψεως κύριον· εἰ δὲ πλείονες εὑρίσκοιντο καθ’ ἑκάτερον τόπον ἐφάμιλλοι, τὸν ἐπικεντρότερον ἢ χρηματιστικώτερον ἢ τῆς αἱρέσεως μᾶλλον ὄντα προκρινοῦμεν εἰς τὴν οἰκοδεσποτίαν. 〈ιζ′〉 Περὶ φύσεως τῶν ζῳδίων Τῶν δὲ ἀπλανῶν ἐπιλεξόμεθα τῶν λαμπρῶν τόν τε αὐτῷ τῷ ἐκλειπτικῷ πως συγκεχρηματικότα ἐπὶ τῷ παρῳχηκότι κέντρῳ κατὰ τοὺς σχηματισμοὺς τῶν ἐννέα τρόπων καὶ τὸν ἐν τῇ ὥρᾳ τῆς ἐκλείψεως ἢ συνανατείλαντα ἢ συμμεσουρανήσαντα τῷ κατὰ τὰ ἑπόμενα κέντρῳ τοῦ τόπου τῆς ἐκλείψεως. θεωρηθέντων δὲ οὕτως τῶν εἰς τὴν αἰτίαν τοῦ συμπτώματος παραλαμβανομένων ἀστέρων 〈...〉 · ἀπὸ γὰρ τῆς τούτων ἰδιοτροπίας τὸ γένος τῶν διατιθεμένων ὡς ἐπίπαν καταλαμβάνεται. τὰ μὲν ἀνθρωπόμορφα ζῴδια κατά τε τὸν ζῳδιακὸν καὶ τοὺς ἀπλανεῖς περὶ τὸ τῶν ἀνθρώπων γένος τὸ σύμπτωμα παρέξει· τῶν δὲ χερσαίων τὰ μὲν τετράποδα περὶ τὰ ὅμοια, τὰ δὲ ἑρπυστικὰ περὶ τὰ ἕρποντα καὶ ὁλκὰ τῶν ζῴων· τὰ μὲν θηριώδη περὶ τὰ ἄγρια καὶ βλαπτικὰ τῶν ἀνθρώπων, τὰ δὲ ἥμερα περὶ τὰ πρὸς χρῆσιν καὶ χειροήθη, οἷον ἵππους, βοῦς, πρόβατα καὶ τὰ τοιαῦτα· ἔτι δὲ καὶ τῶν χερσαίων τὰ μὲν πρὸς ταῖς ἄρκτοις μᾶλλον περὶ τὰς αἰφνιδίους κινήσεις, τὰ δὲ περὶ μεσημβρίαν περὶ τὰς ἀπροσδοκήτους τοῦ ἀέρος ῥύσεις.

164 πάλιν δὲ ἐν μὲν τοῖς τῶν πτερωδῶν μορφώμασιν ὄντες οἱ κύριοι τόποι, οἷον Παρθένῳ, Τοξότῃ, Ὄρνιθι, Ἀετῷ καὶ τοῖς τοιούτοις, περὶ τὰ πτηνὰ τὰ εἰς τὴν τροφὴν διελεύσεται, ἐν δὲ τοῖς νηκτοῖς περὶ τὰ ἔνυδρα καὶ τοὺς ἰχθύας. καὶ Καρκίνος μὲν καὶ Αἰγόκερως καὶ Δελφὶς τοῖς θαλασσίοις ἀνήκει καὶ ταῖς τῶν πλοίων ἀναγωγαῖς, Ὑδροχόος δὲ καὶ Ἰχθύες ποταμίοις καὶ πηγαίοις, ἡ δὲ Ἀργὼ ἀμφοτέροις διοίσει. Καὶ τὰ μὲν τροπικὰ καὶ ἰσημερινὰ τοῖς τοῦ ἀέρος καταστήμασι καὶ ταῖς ὥραις τὰς ἐπισημασίας παρέξει, ἰδίως δὲ καὶ τοῖς ἐκ γῆς φυομένοις κατὰ καιρόν· κατὰ μὲν τὴν ἐαρινὴν ἰσημερίαν τοῖς βλαστοῖς τῶν δενδρικῶν καρπῶν τῶν τότε συνακμαζόντων, κατὰ δὲ τὴν θερικὴν τροπὴν τοῖς καρποφορηθεῖσι καὶ ταῖς συγκομιδαῖς αὐτῶν, ἐν Αἰγύπτῳ δὲ ἰδίως τῇ τοῦ Νείλου ἀναβάσει, κατὰ δὲ τὴν μετοπωρινὴν ἰσημερίαν τῷ σπόρῳ, κατὰ δὲ τὴν χειμερινὴν τροπὴν τοῖς λαχάνοις καὶ τοῖς ἐπιπολάζουσι κατὰ τὸν καιρὸν ὀρνέοις καὶ ἰχθύσιν. καὶ τὰ μὲν ἰσημερινὰ ἱεροῖς καὶ ταῖς περὶ θεὸν θρησκείαις ἐπισημαίνει, τὰ δὲ τροπικὰ ταῖς τῶν ἀέρων καὶ τῶν πολιτικῶν ἐθῶν μεταβολαῖς, τὰ δὲ στερεὰ θεμελίοις καὶ οἰκοδομήμασιν, τὰ δὲ δίσωμα τοῖς ἀνθρώποις καὶ τοῖς βασιλεῦσιν. Ὁμοίως καὶ τὰ μὲν πρὸς ἀνατολὰς ἔχοντα τὴν θέσιν μᾶλλον ἐν τῷ χρόνῳ τῆς ἐκλείψεως περὶ τὴν νέαν ἡλικίαν καὶ καρποὺς καὶ θεμελίους σημαίνει τὸ ἐσόμενον, τὰ δὲ πρὸς τὸ ὑπὲρ γῆν μεσουράνημα περὶ τὰ ἱερὰ καὶ τοὺς βασιλέας καὶ τὴν μέσην ἡλικίαν [καὶ καρποὺς καὶ θεμελίους], τὰ δὲ πρὸς δυσμαῖς περὶ τὰς τῶν νομίμων μετατροπὰς καὶ τὴν παλαιὰν ἡλικίαν καὶ τοὺς κατοιχομένους ἐν τάφοις. Περὶ πόστον δὲ μέρος τοῦ ὑποκειμένου γένους ἡ διάθεσις ἐπελεύσεται, τό τε τῆς ἐπισκοτήσεως τῶν ἐκλείψεων μέγεθος ὑποβάλλει καὶ ἡ τῶν τὸ αἴτιον ἐμποιούντων ἀστέρων πρὸς τὸν ἐκλειπτικὸν τόπον σχέσις· ἑσπέριοι μὲν γὰρ πρὸς τὰς ἡλιακάς, ἑῷοι δὲ πρὸς τὰς σεληνιακὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συσχηματισθέντες ἐπ’ ἔλαττον διατιθέασιν, διαμετροῦντες δὲ περὶ τὸ ἥμισυ, ἑῷοι δὲ πρὸς τὰς ἡλιακὰς καὶ ἑσπέριοι πρὸς τὰς σεληνιακὰς ἐπὶ τὸ πλέον.

165 Αὐτὸ δὲ τὸ ἀποτέλεσμα πότερον ἀγαθόν ἐστιν ἢ ἐναντίον ἀπὸ τῆς τῶν οἰκοδεσποτησάντων ποιητικῆς φύσεώς τε καὶ συγκράσεως τῆς πρὸς ἀλλήλους καὶ τῶν τόπων καθ’ ὧν ἂν ὦσι τετυχηκότες καταμανθάνομεν. ἀρξόμεθα δὲ τῆς καθ’ ἕνα ἕκαστον τῶν πλανωμένων ποιητικῆς ἰδιοτροπίας, ἐκεῖνο κοινῶς ἐπισημηνάμενοι ὅτι οὐ μόνον ἐν ταῖς συγκράσεσι τὴν πρὸς ἀλλήλους τῶν πλανωμένων μίξιν δεῖ σκοπεῖν, ἀλλὰ καὶ τὴν πρὸς τοὺς τῆς αὐτῆς [αὐτοῖς] φύσεως κεκοινωνηκότας ἤτοι ἀπλανεῖς ἀστέρας ἢ τύπους ζῳδιακοὺς κατὰ τὰς ἀποδεδειγμένας αὐτῶν πρὸς τοὺς πλανήτας συνοικειώσεις. ὁ μὲν οὖν Ἥλιος καὶ ἡ Σελήνη διατέτακται καὶ ὥσπερ ἡγεμόνες εἰσὶ τῶν ἄλλων, γιγνόμενοι τῆς κατὰ τὴν ἐνέργειαν αὐτῶν ἰσχύος τε καὶ δυνάμεως καὶ ἀδρανείας, διόπερ ἀφείσθωσαν. Περὶ δὲ τῶν ε πλανωμένων ἐκθησόμεθα. ὁ μὲν οὖν τοῦ Κρόνου ἀστὴρ μόνος τὴν οἰκοδεσποτίαν λαβὼν καθόλου μὲν φθορᾶς τῆς κατὰ ψῦξιν αἴτιός ἐστιν, ἰδίως δὲ περὶ μὲν ἀνθρώπους γινομένου τοῦ συμπτώματος νόσους μακρὰς καὶ φθίσεις καὶ συντήξεις καὶ ὑγρὰς ἀλλοιώσεις καὶ τεταρταίους, φαγεδαίνας τε καὶ ἀπορίας καὶ πένθη καὶ φόβους καὶ θανάτους μάλιστα τοῖς τὴν ἡλικίαν προβεβηκόσιν ἐμποιεῖ, περὶ δὲ τὰ εὔχρηστα τῶν ἀλόγων ζῴων σπάνιν καὶ τῶν ὄντων φθορὰς σωματικὰς καὶ νοσοποιοὺς ἀφ’ ὧν καὶ οἱ χρησάμενοι τῶν ἀνθρώπων συνδιατιθέμενοι καταφθείρονται, περὶ δὲ τὴν τοῦ ἀέρος κατάστασιν ψύχη φοβερά, παγώδη καὶ ὁμιχλώδη καὶ λοιμικὰ καὶ νιφετῶν πλῆθος οὐκ ἀγαθῶν, περὶ δὲ ποταμοὺς καὶ θαλάσσας χειμῶνας καὶ πλοίων ναυάγια, ἰδίως δὲ θαλάσσης ἀμπώτεις καὶ παλιρροίας καὶ ποταμῶν ὑπερμετρίαν καὶ κάκωσιν, περὶ δὲ τοὺς τῆς γῆς καρποὺς ἔνδειαν καὶ ἀπώλειαν ἤτοι ὑπὸ κάμπης ἢ ἀκρίδος ἢ μυῶν ἢ κατακλυσμῶν ἢ χαλάζης καὶ τῶν τοιούτων.

166 Ὁ δὲ τοῦ Διὸς ὁμοίως μόνος τὴν οἰκοδεσποτίαν λαβὼν καθόλου μὲν αὐξήσεώς ἐστι ποιητικός, ἰδίως δὲ περὶ μὲν ἀνθρώπους γινομένου τοῦ ἀποτελέσματος δόξας ἀποτελεῖ καὶ εἰρηνικὰς καταστάσεις, εὐθηνίας τε καὶ εὐεξίας σωματικὰς καὶ δωρεὰς ἀπὸ τῶν ὄντων, καὶ ἁπλῶς εἰπεῖν εὐδαιμονίας ἐστὶν αἴτιος, περὶ δὲ τὰ ἄλογα ζῷα τῶν μὲν εἰς χρῆσιν ἀνθρώπων δαψίλειαν καὶ πολυπλήθειαν ἐμποιεῖ, τῶν δὲ εἰς τὸ ἐναντίον φθορὰν καὶ ἀπώλειαν, εὔκρατον δὲ τὴν τοῦ ἀέρος κατάστασιν καὶ ὑγιεινὴν καὶ πνευματώδη καὶ ὑγρὰν καὶ θρεπτικὴν τῶν ἐπιγείων ἐργάζεται, πλοίων τε εὐπλοίας καὶ ποταμῶν συμμέτρους ἀναβάσεις καὶ τῶν καρπῶν δαψίλειαν καὶ ὅσα τούτοις παραπλήσια. Ὁ δὲ τοῦ Ἄρεως μόνος τὴν οἰκοδεσποτίαν λαβὼν καθόλου μέν ἐστι τῆς κατὰ ξηρότητα φθορᾶς αἴτιος, ἰδίως δὲ περὶ μὲν ἀνθρώπους γινομένου τοῦ συμπτώματος πολέμους ἐμποιεῖ καὶ στάσεις ἐμφυλίους καὶ αἰχμαλωσίας καὶ ἐπαναστάσεις καὶ χόλους ἡγεμόνων καὶ διὰ τῶν τοιούτων θανάτους αἰφνιδίους, ἔτι δὲ νόσους πυρεκτικὰς καὶ τριταϊκὰς καὶ αἱμάτων ἀναγωγὰς καὶ ὀξείας βιαιοθανασίας καὶ μάλιστα τῶν ἀκμαίων, ὁμοίως βίας τε καὶ ὕβρεις καὶ παρανομίας καὶ λῃστείας καὶ ἐμπρήσεις, πρὸς δὲ τὴν τοῦ ἀέρος κατάστασιν καύσωνας καὶ πνεύματα θερμά τε καὶ λοιμικά, κεραυνῶν τε ἀφέσεις καὶ πρηστήρων καὶ ἀνομβρίας καὶ κατὰ θάλασσαν πλοίων αἰφνίδια ναυάγια διὰ πνευμάτων ἀτάκτων, τῶν τε ἀλόγων καὶ τῶν ἐκ γῆς φυομένων σπάνιν ἤτοι ὑπὸ τῆς τοῦ καύσωνος καταφλέξεως ἢ τῆς τῶν πνευμάτων ἐκτινάξεως ἢ ἐκ τῆς ἐν ταῖς ἀποθέσεσιν ἐμπρήσεως. Ὁ δὲ τῆς Ἀφροδίτης μόνος κύριος γενόμενος ἐπισημαίνει καθόλου μὲν παραπλήσια τῷ τοῦ Διὸς μετά τινος ἐπαφροδισίας, ἰδίως δὲ περὶ μὲν ἀνθρώπους δόξας καὶ τιμὰς καὶ πολυτεκνώσεις καὶ εὐφροσύνας καὶ εὐετηρίας καὶ εὐγαμίας καὶ εὐαρεστήσεις πρὸς πᾶσαν συναρμογὴν καὶ κτημάτων συναυξήσεις καὶ διαίτας καθαρίους, περὶ δὲ τὸν ἀέρα εὐκράτους καὶ ὑγρὰς καὶ θρεπτικὰς καταστάσεις, εὐαερίας τε καὶ αἰθρίας καὶ ὑδάτων γονίμων δαψιλείας καὶ ἐπιτυχίας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ποταμῶν πλήρεις ἀναβάσεις, τῶν τε εὐχρήστων οἴνων καὶ τῶν τῆς γῆς καρπῶν μάλιστα δαψίλειαν καὶ εὐφορίαν καὶ ὄνησιν ἐμποιεῖ.

167 Ὁ δὲ τοῦ Ἑρμοῦ τὴν κυρείαν λαβὼν καθόλου μὲν ᾧ ἂν ᾖ συγκιρνάμενος ἑκάστῳ τῶν ἄλλων τῇ ἐκείνου οἰκειοῦται φύσει, ἰδίως δέ ἐστι πάντων μᾶλλον συγκινητικός, καὶ ἐν μὲν ἀνθρωπίνοις ἀποτελέσμασιν ὀξὺς καὶ πρακτικώτατος πρὸς τὸ ὑποκείμενον εὐμηχάνως, ληστειῶν τε καὶ κλοπῶν καὶ πειρατικῶν ἐφόδων καὶ δυσπλοίας ποιητικὸς καὶ ἐν τοῖς πρὸς τοὺς κακοποιοὺς σχηματισμοῖς νόσων τε αἴτιος ξηρῶν καὶ ἀφημερινῶν καὶ βηχικῶν καὶ ἀναφορικῶν καὶ φθίσεων, ἀποτελεστικὸς δὲ καὶ τῶν περὶ τὰ ἱερατικὰ λόγων καὶ τὰς βασιλικὰς προσόδους καὶ τὰς τῶν ἐθίμων ἢ νομίμων κατὰ καιροὺς ἐναλλοιώσεις πρὸς τὰς ἑκάστοτε τῶν ἄλλων ἀστέρων συγκράσεις, περὶ δὲ τὸ περιέχον μᾶλλον ξηρὸς ὢν καὶ εὐκίνητος διὰ τὴν πρὸς τὸν Ἥλιον ἐγγύτητα καὶ τὸ τάχος τῆς ἀνακυκλήσεως πνευμάτων ἀτάκτων καὶ εὐμεταβόλων μάλιστα κινητικὸς ὑπάρχει, βροντῶν τε εἰκότως καὶ πρηστηρίων καὶ χασμάτων καὶ σεισμῶν καὶ ἀστραπῶν ἀποτελεστικός, ζῴων τε καὶ φυτῶν εὐχρήστων καὶ ποταμῶν ἐν μὲν ταῖς δύσεσι μειωτικός, ἐν δὲ ταῖς ἀνατολαῖς πληρωτικός. Ἰδίας μὲν οὖν τῆς οἰκείας φύσεως ἐπιτυχὼν ἕκαστος τοιαῦτα ἀποτελεῖ. συγκιρνάμενος δὲ ἄλλος ἄλλῳ κατὰ τοὺς σχηματισμοὺς καὶ τὰς τῶν ζῳδίων ἐναλλοιώσεις καὶ τὰς πρὸς Ἥλιον φάσεις ἀναλόγως καὶ τὴν ἐν τοῖς ἐνεργήμασι σύγκρασιν λαμβάνων μεμιγμένην ἐκ τῶν κεκοινωνηκυιῶν φύσεων τὴν περὶ τὸ ἀποτελούμενον ἰδιοτροπίαν ποικίλην οὖσαν ἀπεργάζεται, ἀπείρου δὲ ὄντος καὶ ἀδυνάτου τοῦ καθ’ ἑκάστην σύγκρασιν τὸ ἴδιον ἀποτέλεσμα καὶ πάντας ἁπλῶς τοὺς καθ’ ὁποιονδήποτε συσχηματισμοὺς διεξελθεῖν οὕτω πολυμερῶς νοουμένους εἰκότως ἂν καταληφθείη τὸ τοιοῦτον εἶδος ἐπὶ τῇ τοῦ μαθηματικοῦ πρὸς τὰς κατὰ μέρος διακρίσεις ἐπιβολῇ καὶ ἐπινοίᾳ.

168 Παρατηρεῖν δὲ δεῖ πῶς ἔχουσι συνοικειώσεως οἱ τὴν κυρείαν λαβόντες ἀστέρες πρὸς τὰς χώρας ἢ πόλεις αἷς τὸ σύμπτωμα διασημαίνεται. ἀγαθοποιοὶ μὲν γὰρ ὄντες καὶ συνοικειούμενοι τοῖς διατιθεμένοις καὶ μὴ καθυπερτερούμενοι ὑπὸ τῶν τῆς ἐναντίας αἱρέσεως ἔτι μᾶλλον ἀπεργάζονται τὸ κατὰ τὴν ἰδίαν φύσιν ὠφέλιμον, μὴ οὕτω δὲ ἔχοντες ἧττον ὠφελοῦσιν. τῆς δὲ βλαπτικῆς κράσεως οἱ τὴν κυρείαν λαβόντες ὁμοίως, ἐὰν μὲν συνοικειούμενοι τύχωσι τοῖς διατιθεμένοις ἢ καθυπερτερηθῶσιν ὑπὸ τῆς τῶν ἐναντίων αἱρέσεως, ἧττον βλάπτουσιν, μὴ οὕτω δὲ τυχόντες σφοδροτέραν τὴν βλάβην ἐμποιοῦσιν. 〈ιη′〉 Περὶ ἀποτελεσμάτων ἀπὸ τῶν ἐκλείψεων καὶ τῶν κομητῶν Ἀνέγραψαν δὲ οἱ παλαιοὶ Αἰγύπτιοι καὶ τὰ ἐκ τῶν ἐκλείψεων γινόμενα ἀποτελέσματα· παραθησόμεθα οὖν καὶ τούτων τὰ πλεῖστα συντόμως ἔχοντα οὕτως. ἐπὶ τῶν τελείων ἐκλείψεων τὸ μὲν χρῶμα τὸ μέλαν θάνατον τοῦ ἄρχοντος καὶ ταπείνωσιν καὶ λοιμὸν καὶ μεταβολὴν σημαίνει, τὸ δὲ ἐρυθρὸν τῆς χώρας κάκωσιν, τὸ δὲ ὑπόλευκον λοιμὸν καὶ θάνατον τοῖς κτήνεσι καὶ ἐμπόροις, τὸ δὲ ἰοειδὲς πόλεμον καὶ λοιμόν, τὸ δὲ χρυσοειδὲς λοιμὸν καὶ θάνατον.

169 Τῶν δὲ ἐν ταῖς ἐκλείψεσιν ἀνέμων οἱ μὲν ἀπ’ ἄρκτου πνέοντες ἢ καὶ ἑτέρου μέρους πρὸς ὃ ἥ τε ἔμπτωσις καὶ μονὴ ἀφορᾷ ταῖς κατὰ τὰ μέρη ἐκεῖνα χώραις τὴν ταπείνωσιν σημαίνουσι καθ’ ὧν ἐγγὺς οὐσῶν πνεύσειαν. ἐν δὲ τῇ ἀνακαθάρσει τῆς ἐκλείψεως ἄλλοι πνεύσαντες τὰς ὑφ’ αὑτοὺς χώρας αὐξήσουσιν, οἷον ὁ μὲν βορρᾶς τὰς πρὸς βορρᾶν χώρας, ὁ δὲ νότος τὰς πρὸς νότον, καὶ ἐπὶ τῶν λοιπῶν ἀνέμων ὁμοίως. ἡ δὲ χώρα ᾗ πρόσκειται ὁ καθήρας ἄνεμος ἐπιστρατεύσασα τῇ τῆς ἐμπτώσεως νικήσει, ἐπὰν δὲ δύο ἀνέμων ἡ ἔκλειψις γένηται, καθαρθῇ δὲ ὑφ’ ἑνὸς ἢ δυοῖν, τὸν αὐτὸν τρόπον διαληπτέον. αἴσια γὰρ μηνύουσιν οἱ τῆς ἀνακαθάρσεως, τὰ ἐναντία δὲ οἱ τῆς ἐμπτώσεως ταῖς ὑποκειμέναις αὐτοῖς χώραις· ἐὰν δὲ ᾖ ὁ αὐτὸς ἄνεμος τῆς τε ἐμπτώσεως καὶ ἀνακαθάρσεως, ταπεινώσει μὲν τὴν χώραν ὁ κατ’ αὐτῆς στρατεύσας ἐχθρός, οὐ μέντοι ταύτης ἐπικρατήσει. Σεληνιακῆς δὲ οὔσης τῆς ἐκλείψεως ὅταν διᾴττων ἀστὴρ διαδραμὼν ἔλθῃ εἰς αὐτήν, μηνύει τύραννον μέγαν ταπεινωθήσεσθαι καὶ ταραχὴν ἕξειν τὸν

οἶκον αὐτοῦ· εἰ δὲ ἅλως περὶ τὴν Σελήνην γένοιτο 〈...〉. ἐκλειπούσης αὐτῆς βροντὴ γενομένη καθαίρεσιν τυράννου καὶ ταπείνωσιν τῆς χώρας σημαίνει, ἐκλείποντος δὲ Ἡλίου ἢ Σελήνης ὑετὸς ἐπιγινόμενος θάνατον σημαίνει. ἐὰν δὲ ἅμα τῇ ἀνατολῇ γένηται ἡ ἔκλειψις καὶ ἄχρι τοῦ τέλους τῆς ἀνακαθάρσεως γ ὧραι παρέλθωσιν, τὰ σημαινόμενα κατὰ τὴν ἔκλειψιν ἔσται τριμήνου παρελθόντος· ἐὰν δὲ ἀπὸ δʹ ὥρας γένηται ἡ ἔκλειψις, παρατείνῃ δὲ ἄχρι δύο ὡρῶν, ἑξαμήνου παρελθόντος ἔσται τὰ σημαινόμενα· καὶ ἕως τῆς ιβʹ ὥρας ἤγουν τῆς δύσεως ὁμοίως συγκρίνεται ὁ χρόνος. Ὁλοσχερῶς οὖν φασι τὴν Σελήνην ἐκλείπουσαν ἐν μὲν τῷ Κριῷ ἀφορίαν πάντων ἔσεσθαι σημαίνειν, ἐν δὲ Ταύρῳ σίτου φθοράν, ἐν δὲ Διδύμοις καὶ Καρκίνῳ σίτου δαψίλειαν καὶ οἴνου, ἐν Λέοντι δὲ σίτου πλῆθος κατὰ τὰ πεδία, ἐν δὲ Παρθένῳ προβάτων φθορὰν καὶ δένδρων, ἐν δὲ Ζυγῷ σίτου φθορὰν ὑπὸ ἀκρίδος ἢ σήψεως, ἐν δὲ Σκορπίῳ λοιμόν, ἐν δὲ Τοξότῃ ὕδωρ καὶ χάλαζαν, ἐν Αἰγοκέρωτι δὲ σῖτον ἐν τοῖς πεδίοις, ἐν Ὑδροχόῳ δὲ εὐθηνίαν τῶν ἄλλων, σίτου δὲ φθορὰν ἐν τοῖς πεδίοις, ἐν δὲ τοῖς Ἰχθύσι πρωίμους τοὺς σιτικοὺς καρπούς.

170 Τὸν δὲ Ἥλιον ἐκλείποντα ἐν μὲν Κριῷ σίτου δαψίλειαν καὶ τὸ ἔτος ὑγιεινόν, ἐν δὲ Ταύρῳ σίτου φθορὰν ὑπὸ ἀκρίδος, ἐν δὲ τοῖς Διδύμοις λοιμὸν ἰσχυρόν, ἐν δὲ Καρκίνῳ ὕδωρ πολὺ καὶ σίτου σπάνιν, ἐν δὲ Λέοντι σίτου σπάνιν, ἐν δὲ Παρθένῳ ἐπὶ τρίμηνον ἀπηλιώτην πνεύσεσθαι, ἐν δὲ Ζυγῷ βροντὰς καὶ λοιμόν, ἐν Αἰγοκέρωτι δὲ σίτου σπάνιν, ἐν Ὑδροχόῳ δὲ σίτου δαψίλειαν, ἐν δὲ τοῖς Ἰχθύσιν ὕδωρ ὀλίγον. Καὶ ταῦτα μὲν κατὰ τὸ ὁλοσχερέστερον, μερικῶς δὲ ὡρίσαντο ἐν μὲν Κριῷ ἐκλείψεως γενομένης ἐν Αἰγύπτῳ καὶ τοῖς κατὰ Συρίαν τόποις μέγιστα κακὰ ἔσεσθαι καὶ τοῖς δυνάσταις τῶν τόπων θανάτους καὶ ἐπιβουλὰς καὶ ἀναιρέσεις καὶ τῶν ἐνδόξων ἐκπτώσεις καὶ στρατοπέδων συγκρούσεις καὶ ἁρπαγὰς καὶ ἐμπρησμούς, ἐν δὲ τῇ Λιβύῃ ὄχλων ἐπαναστάσεις καὶ τῶν ἡγουμένων κίνδυνον, τοῖς τε πρὸς ἀνατολὰς οἰκοῦσι καὶ τοῖς πρὸς ἑσπέραν. Ἐν δὲ Ταύρῳ κατ’ Αἴγυπτον μὲν ἀφορίαν σίτου καὶ ὄχλων ἀκαταστασίαν τῆς ἐκλείψεως γενομένης ἀπὸ δʹ ὥρας ἕως θʹ, κατὰ δὲ Μηδικὴν καὶ Ἐλυμαΐδα πολέμους, ἐν δὲ Κύπρῳ ἐρυσίβην, ἐν δὲ τῇ Ἀσίᾳ πανηγύρεις, ἑορτὰς καὶ πάντων τῶν χρειωδῶν πολυπλήθειαν, ἀπ’ ἀνατολῶν δὲ τῆς ἐκλείψεως [..........] γενομένης φόνους ἐν Συρίᾳ ἔσεσθαι, τὸν δὲ δυνάστην Συρίας καὶ Αἰγύπτου διενεχθέντας ὑπ’ ἀλλήλων μετ’ ἐνιαυτὸν καὶ ἓξ μῆνας κακῶς ἀπολέσθαι καὶ ὑφ’ ἑτέρων διαδεχθῆναι, ἀπὸ δυσμῶν δὲ γενομένης τοῖς πρὸς ἑσπέραν οἰκοῦσιν ἧτταν καὶ ταπείνωσιν ἔσεσθαι.

171 Κατὰ δὲ τοὺς Διδύμους Ἡλίου ἐκλείποντος ἐν τῇ αʹ τριώρῳ τὸν δυναστεύοντα Ἀσίας μετ’ ἐνιαυτὸν τελευτήσειν ὡρίσαντο καὶ τοὺς πρωτοστατοῦντας ὑπὸ τῶν ὄχλων κατακοπήσεσθαι, περὶ δὲ τὸ τελευταῖον τρίωρον γενομένης Ἰταλίᾳ καὶ Κιλικίᾳ καὶ Λιβύῃ καὶ τοῖς πρὸς ἑσπέραν κατοικοῦσι φθορὰν καὶ ἀπώλειαν ἔσεσθαι. τῆς δὲ Σελήνης ἐν τῇ αʹ τριώρῳ ἐκλειπούσης τῷ τῆς Ἀσίας βασιλεῖ βλάβην ἰσχυρὰν καὶ τοῖς οἰκοῦσι καὶ τετραπόδοις φθοράν, μάλιστα προβάτοις, ἐν δὲ τῇ βʹ τριώρῳ κατασφαγὰς ἐν Λιβύῃ καὶ Συρίᾳ καὶ Βαβυλωνίᾳ, ἐν δὲ τῇ δʹ τριώρῳ μέρη τινὰ Αἰγύπτου καὶ Λιβύης καὶ Κιλικίας καὶ Ῥώμης θλιβῆναι καὶ τοὺς ὑποτεταγμένους ὑπὸ τῶν ὑπερεχόντων μέγιστα βλαβήσεσθαι. Ἐν δὲ Καρκίνῳ Ἡλίου ἐκλείποντος ἐν ᾗ δήποτε τριώρῳ πάσῃ γῇ κάκωσιν καὶ ἀκαταστασίαν ἀπὸ ἀνατολῆς ἕως δύσεως τοῖς οἰκοῦσι σημαίνει. τῆς δὲ Σελήνης τὸν δυναστεύοντα τῆς Συρίας πρὸς ἄλλον δυνάστην συγκρούσειν καί τινα μέγαν ἄνδρα ἀπολέσθαι, ὑπό τε τῶν ὄχλων προδοθήσεσθαι τὸν ἡγούμενον καὶ τόπους ἐπιφανεῖς ἀφανισθήσεσθαι, ἐν δὲ ταῖς δευτέραις τριώροις καὶ ταῖς τελευταίαις Βαβυλῶνι καὶ Αἰθιοπίᾳ φθορὰν ἔσεσθαι, Ἰνδοῖς δὲ εὐστάθειαν καὶ ἀφανισμὸν τοῖς ἁπανταχοῦ ζῴοις. Ἐν δὲ τῷ Λέοντι ἐκλείποντος τοῦ Ἡλίου κατὰ τὴν αʹ τρίωρον βαρβάρων στρατείαν πολεμῆσαι τοῖς Ἕλλησι καὶ ἑλεῖν αὐτοὺς μηνύει, κατὰ δὲ τὴν βʹ τρίωρον ἐν Αἰγύπτῳ ἄνδρα μέγιστον ἀπολέσθαι καὶ φόνους καὶ ἁρπαγὰς καὶ χειροκρατησίας ἔσεσθαι, κατὰ δὲ τὴν γʹ τρίωρον ἐν Φρυγίᾳ καὶ Κιλικίᾳ

πολλὰ ἄτοπα καὶ Θρᾴκην ἐπισχύσειν, κατὰ δὲ τὴν δʹ τρίωρον, τουτέστι δύνοντος τοῦ Ἡλίου, βαρβάρων ἐπίθεσιν καὶ πτῶσιν σημαίνει.

172 Σελήνης δὲ ἐκλειπούσης κατὰ τὴν αʹ τρίωρον μετ’ ἐνιαυτὸν ἄνδρα δυνάστην μετ’ ὄχλου πολλοῦ Κύπρῳ ἐπιστρατεῦσαι καὶ μὴ καλῶς ἀπαλλάξαι πολλοῦ λαοῦ ἀπὸ τῆς Αἰγύπτου ἐπ’ αὐτὸν ἐλθόντος καὶ πολλῶν ἀνδρῶν ἀναιρεθέντων, ἐν δὲ Βαβυλῶνι ἡγούμενον ἄνδρα ἀποστατῆσαι, τοὺς δὲ Λίβυας τὸν αὐτῶν ἡγούμενον ἀνελεῖν καὶ ἀπὸ τῆς τοιαύτης νεωτερίσεως τὴν χώραν διαφθαρῆναι, κατὰ δὲ τὴν βʹ τρίωρον μοχθηρὰν τὴν θάλασσαν ἔσεσθαι μηνύει καὶ ὄχλων συστροφάς, κατὰ δὲ τὴν τελευταίαν τρίωρον ἐν Συρίᾳ καὶ Αἰγύπτῳ ὄχλων συγκρούσεις καὶ ἐν τοῖς πρὸς δυσμὰς οἰκοῦσιν. Ἐν δὲ Παρθένῳ Σελήνης ἐκλειπούσης περὶ δακτύλους β ἀπὸ νότου κατὰ τὴν αʹ τρίωρον ἐν Αἰγύπτῳ μεγίστην πόλιν ἀνάστατον ἔσεσθαι καὶ τοὺς ἐπισήμους ταπεινοὺς καὶ τὰ τέκνα αὐτῶν ἀφαιρεθήσεσθαι καὶ ὠμότητα πολλὴν γενήσεσθαι ὑπὸ ὀχλοκράτας καὶ φόνους, καταφεύξεσθαι δὲ πρὸς τὸν τῆς Αἰγύπτου ἡγούμενον βοηθείας χρῄζοντας, κατὰ δὲ τὴν βʹ τρίωρον τῷ ἡμίσει τοῦ κύκλου ἢ τῷ τρίτῳ τοῖς πρὸς βορρᾶν Αἰγυπτίοις λύπας καὶ στρατείαν ἐπὶ τὴν Ἀσίαν σημαίνει καὶ ἔξωθεν ἐπιστρατεῦσαι δυνάστην καὶ δόλους καὶ προδοσίας ἔσεσθαι, ἀποστατήσειν δὲ πολλοὺς τοῦ πρότερον ἡγεμόνος, ἐν δὲ τῇ τελευταίᾳ τριώρῳ τοῖς πρὸς ἑσπέραν οἰκοῦσι πολλὰ κακὰ ἔσεσθαι. τὰ αὐτὰ δὲ καὶ ἐπὶ τῶν ἡλιακῶν ἐκλείψεων ἐσημειώσαντο. Ἐν δὲ Ζυγῷ ἤτοι Χηλαῖς τοῦ Ἡλίου ἐκλείποντος κατὰ τὴν αʹ ἢ βʹ τρίωρον ὕδωρ πολὺ γίνεσθαι ἐν τοῖς πρὸς βορρᾶν παραθαλασσίοις τόποις ὡς τοὺς καρποὺς μὴ δύνασθαι συγκομίσαι, τὸ δὲ σύμπτωμα Ἀρκαδίᾳ, Σουσιανῇ, Βακτριανῇ καὶ Αἰθιοπίᾳ ἔσεσθαι καὶ τῇ περὶ τὸν Εὐφράτην χώρᾳ, ἐὰν δὲ ἀπὸ δʹ ὥρας ἕως ϛʹ γένηται ἡ ἔκλειψις καὶ περὶ τὰ τέλη τοῦ ζῳδίου, γένηται δὲ καὶ ἡ ἀνακάθαρσις ἀπ’ ἄρκτου, τὸν τῆς Ἀσίας βασιλέα μετὰ μῆνας ἐννέα τοὺς προεπιβουλεύσαντας αὐτῷ δολοφονῆσαι δηλοῖ καὶ ἐν Κιλικίᾳ φόνους πολλοὺς καὶ Μακεδονίᾳ καὶ Λιβύῃ καὶ Ἰταλίᾳ, ἀπὸ δὲ τοῦ τῆς ἐκλείψεως χρόνου μετὰ γ ἔτη τὸν τῆς Αἰγύπτου βασιλέα πόλεμον ἐξοίσειν πρὸς τὸν τῆς Συρίας καὶ ἡττηθήσεσθαι καὶ ἐν Αἰγύπτῳ στρατόπεδα συναχθήσεσθαι καὶ στάσεως γενομένης τοὺς πρώτους ἀναιρεθήσεσθαι ὑπὸ τῶν ὄχλων, ἐν δὲ τῇ γʹ τριώρῳ τοῖς ἐν Φοινίκῃ καὶ Καππαδοκίᾳ νόσον ἔσεσθαι, ἐν δὲ Συρίᾳ κυνῶν θάνατον καὶ μετὰ ταῦτα ἀνθρώπων, τῇ δὲ ιʹ καὶ ιαʹ ὥρᾳ τῆς ἐκλείψεως γενομένης θάνατον θηρίοις καὶ τοῖς ὑποζυγίοις σημαίνεσθαι.

173 τῆς δὲ Σελήνης ἐκλειπούσης κατὰ τὴν αʹ τρίωρον πᾶσαν δυσαρεστίαν καὶ ἀηδίαν ἐμποιεῖν πάσῃ χώρᾳ καὶ βάρη τοῖς ὑποτεταγμένοις ἐπιβληθήσεσθαι ὡς τὰ κοινὰ θλιβῆναι καὶ τοὺς δυνάστας ἀποφυγεῖν εὔξασθαι, κατὰ δὲ τὴν βʹ τρίωρον τῇ Κοίλῃ Συρίᾳ καὶ Φοινίκῃ καὶ Λιβύῃ καὶ Αἰγύπτῳ ἄνεσιν ποιῆσαι, κατὰ δὲ τὴν τελευταίαν τρίωρον τοῖς παραθαλασσίοις τόποις θορύβους καὶ Ἰωνίᾳ πόλεμον καὶ καρπῶν ἀφορίας. Ἐν δὲ τῷ Σκορπίῳ Ἡλίου ἐκλείποντος κατὰ τὴν αʹ καὶ βʹ ὥραν Γαλάταις πρὸς Ἕλληνας πόλεμον ἔσεσθαι, ἐν δὲ Λιβύῃ πολλὰ θηρία τὴν γῆν τέξεσθαι, ἀπὸ δὲ τῆς γʹ ὥρας ἄχρι τῆς εʹ Ἀρμενίᾳ, Καππαδοκίᾳ, Λυδίᾳ, Φρυγίᾳ, Ἰωνίᾳ, Ἑλλησπόντῳ—ἀηδῆ τοῖς ἄρχουσιν αὐτῶν, κατὰ δὲ τὴν γʹ τρίωρον τῇ πρὸς ἑσπέραν χώρᾳ ἐρήμωσιν δηλοῖ ὡς πόλεις εἰς ἑτέρας πόλεις καταφυγεῖν, κατὰ δὲ τὴν τελευταίαν τρίωρον δύναντος τοῦ Ἡλίου πρὸ τοῦ καθαρθῆναι τὴν πρὸς ἑσπέραν χώραν μετ’ ἐνιαυτὸν ἀφανισθήσεσθαι καὶ τὸν δυνάστην αὐτῆς ἀπολεῖσθαι. τῆς δὲ Σελήνης κατὰ μὲν τὴν αʹ καὶ βʹ ὥραν ἐκλειπούσης Αἰθιοπίᾳ τῶν ἐνόντων σπάνιν ἔσεσθαι, κατὰ δὲ τὴν γʹ καὶ δʹ καὶ εʹ Συρίᾳ καὶ Φοινίκῃ καὶ Κιλικίᾳ καὶ Αἰγύπτῳ πόλεμον ἔσεσθαι καὶ ἀκρίδα πολλὴν καὶ τὰ θηρία κατέδεσθαι τοὺς καρποὺς καὶ πολλὰ παράδοξα σημεῖα ἐπιγενήσεσθαι, ἀπὸ δὲ ηʹ ἕως δυσμῶν τοὺς μὲν ὄχλους τῆς Αἰγύπτου ἀπειθῆσαι τῷ ἡγουμένῳ καὶ μεγάλους ἄνδρας ἀναιρεθῆναι, ἐν Εὐβοίᾳ δὲ καὶ τῇ Περσῶν χώρᾳ συμφορὰν σημαίνει.

174

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἐν δὲ Τοξότῃ Ἡλίου ἐκλείποντος ἐν τῇ α′ καὶ β′ καὶ γ′ καὶ δ′ ὥρᾳ τὴν Κρήτην ἐμφύλιον πόλεμον ἕξειν, στάσεις δὲ καὶ πολέμους πανταχῇ, ε′ δὲ καὶ ϛ′ καὶ ζ′ ὥρᾳ Ἰβηρίᾳ καὶ Σκυθίᾳ πρὸς τοὺς Ἕλληνας πόλεμον, ἐν δὲ Συρίᾳ ἔφοδον βαρβάρων καὶ πόλεμον, Βαβυλωνίᾳ δὲ φθορὰν δηλοῖ, ἀπὸ δὲ η′ ὥρας ἕως ιβ′ πόλεις παραθαλασσίας ἀναστάτους ἔσεσθαι καὶ τὰ κοινὰ αὐτῶν διαφθαρῆναι καὶ τοῖς τῆς Ἀσίας καὶ Αἰγύπτου δυνάσταις ἀντιλογίαν ἔσεσθαι, τήν τε Σουσιανὴν χώραν ὑπὸ τῆς παρακειμένης καταδρομὴν ὑποστήσεσθαι. τῆς δὲ Σελήνης ἐκλειπούσης κατὰ τὰς δ πρώτας ὥρας κίνησιν στρατιωτικὴν καὶ τοῖς ἔχουσι τὰ κοινὰ ταραχὰς καὶ φόβους ἔσεσθαι καὶ νόσους περὶ τοὺς ὀφθαλμοὺς κατὰ τὸ φθινόπωρον καὶ πολλοῖς τόποις ἔσεσθαι τὰ σημεῖα—Καρίᾳ, Ἰωνίᾳ, Αἰγύπτῳ, Ἀραβίᾳ, Βαβυλωνίᾳ, Μεσοποταμίᾳ καὶ τῇ περὶ τὸν Νεῖλον καὶ Εὐφράτην μέχρι καὶ τῆς Ἐρυθρᾶς θαλάσσης καὶ μέχρις Ἐλυμαΐδος— καὶ τὸ ἔτος ἀπατηλὸν καὶ περίψυχρον καὶ λυπηρὸν ὡς καὶ τοῖς ἀνθρώποις ὑποψίας μοχθηρὰς ἐγγενέσθαι καὶ ἄλλον ἄλλῳ δόλους τεκτήνασθαι ὡς καὶ τοὺς κακούργους τὰ τῶν πλησίον ἀφελέσθαι καὶ χρημάτων ἁρπαγὰς γενέσθαι τοῖς πλουσίοις, ἀπὸ δὲ δ′ ἕως ι′ βαρβάρων στρατεύματα ἐπὶ τοὺς Ἕλληνας καὶ περὶ Μακεδονίαν θόρυβον καὶ τοὺς πρωτεύοντας πεσεῖν, ἐν δὲ ταῖς λοιπαῖς ὥραις τοὺς πρὸς ἑσπέραν οἰκοῦντας ἑαυτοὺς πολιορκῆσαι ὡς τοὺς νεκροὺς αὐτῶν κατέδεσθαι τὰ θηρία. Ἐν δὲ Αἰγοκέρωτι Ἡλίου ἐκλείποντος κατὰ τὴν α′ τρίωρον τοῖς πρὸς νότον οἰκοῦσι κακὰ σημαίνει, περὶ δὲ τὴν β′ τρίωρον τοῖς Ἐλυμαίοις, τῇ Περσίδι, τῇ Μηδικῇ, τῇ Γερμανίᾳ, τῇ Ἰνδίᾳ καὶ τοῖς πρὸς ἀνατολὴν καὶ ἀπηλιώτην οἰκοῦσιν, κατὰ δὲ τὴν γ′ τρίωρον τοῖς ἐν τῷ Πόντῳ πόλεμον καὶ τοῖς ἐν τῇ Ἀσίᾳ καὶ Κύπρῳ καὶ πρὸς νότον οἰκοῦσιν, ἔτι δὲ νόσους καὶ φθορὰς καρπῶν καὶ φυτῶν γῆς, κατὰ δὲ τὴν τελευταίαν τρίωρον τετραπόδων διαφθορὰν τῶν ἐν τῇ δύσει.

175 τῆς δὲ Σελήνης ἐκλειπούσης κατὰ τὴν α′ τρίωρον ἄνδρα μέγαν ἐπὶ τὴν Αἴγυπτον ἐκ τῆς Ἀσίας στρατεύσασθαι καὶ τὸν ἡγούμενον αἰχμαλωτίσαι καὶ τοὺς ὄχλους τοὺς μὲν διαφθεῖραι, τοὺς δὲ ὑποχειρίους ἕξειν, μετὰ δὲ τὴν τούτων ἀπαλλαγὴν ἔσεσθαι ἐμφύλιον πόλεμον καὶ ὀχλοκρατίαν καὶ τοὺς πρώτους κατακοπῆναι, τοὺς δ’ ἄλλους ἀποστατῆσαι τοῦ ἡγουμένου καὶ ἄλλον ἄλλου ἀφελέσθαι τὰ κτήματα, τοὺς δὲ δεσπότας αὐτῶν δι’ ἔνδειαν ἐπαιτῆσαι τροφήν, ἐν δὲ ταῖς ἑξῆς ἄχρι τῆς η′ ὥρας νοσήματα περιοδικὰ ἐπελεύσεται ἀπ’ ἀνατολῆς ἄχρι δύσεως καὶ Φοινίκη ὑπὸ τῶν ἔξω πολιορκηθήσεται, ὁ δὲ πολιορκῶν οὐδὲν ἀνύσει διὰ τὸ ἐπικοινωνεῖν τῷ Αἰγοκέρωτι τὸ τῆς Εἰλειθυίας ζῴδιον ἀκέφαλον ὄν, ἐν δὲ ταῖς τελευταίαις ὥραις ἐκλείπουσα ἢ καὶ ἔχουσά τι μέρος τῆς ἐκλείψεως δύνει, στρατεύματα ἔξωθεν ἐπὶ τὴν Ἀσίαν ἐλεύσεσθαι καὶ ὁπότερον δυναστεῦον ἀπὸ τῶν τοῦ ἑτέρου ἰδίων ἐγκαταλειφθὲν ἁλώσεται, μετὰ χρόνον δέ τινα οἱ προεπιβουλεύσαντες τῷ δυνάστῃ τίσουσι δίκας. Ἐν δὲ τῷ Ὑδροχόῳ Ἡλίου ἐκλείποντος κατὰ τὴν α′ τρίωρον τῷ πρὸς εὖρον μέρει κακὰ σημαίνει—Μεσοποταμίᾳ, Ἀραβίᾳ, Συρίᾳ Κοίλῃ, Αἰγύπτῳ, Αἰθιοπίᾳ, Λιβύῃ καὶ τοῖς πρὸς ἑσπέραν πᾶσαν—καὶ ὄχλων ἔσεσθαι συστροφάς, κατὰ δὲ τὴν β′ τρίωρον τοὺς καρποὺς βλαστήσαντας ἐπισινεῖς ἔσεσθαι καὶ ἔνυδρα πολλὰ ἀπολεῖσθαι, κατὰ δὲ τὴν τρίτην τρίωρον ἔριν καὶ στάσιν ἔσεσθαι Ἰταλίᾳ, Κιλικίᾳ, Λιβύῃ, Λακωνικῇ καὶ ταῖς ἐν αὐταῖς πόλεσι πρὸς ἀλλήλας, κατὰ δὲ τὴν τελευταίαν τρίωρον ὁμοίως τὰ αὐτὰ σημαίνει.

176 τῆς δὲ Σελήνης ἐκλειπούσης κατὰ μὲν τὴν α′ τρίωρον ὅλης ἐκλελοιπυίας ἢ περὶ τὸ δίμοιρον μέρος παρὰ τῶν δυναστῶν τοῖς ἐν ἀκμῇ ἡλικίας πολλὰ ὀχληρὰ ἐπιταχθήσεσθαι καὶ βαρέα, καὶ ἐν τῇ β′ δὲ τριώρῳ ὁμοίως, ἐν δὲ τῇ γ′ περὶ Κύπρον ἄτοπόν τι ἔσεσθαι καὶ λυπηρόν, Τυρρηνούς τε καὶ Ἰταλοὺς νόσοις περιπεσεῖσθαι χαλεπαῖς, ἐν δὲ τῇ τελευταίᾳ τριώρῳ τοὺς ἐν τῇ περιχώρῳ Λίβυας τοῖς τὰς πόλεις οἰκοῦσι πολεμήσειν καὶ τοὺς καρποὺς αὐτῶν ὑπ’ ἄλλων τρυγηθῆναι καὶ τὰς ὁδοὺς ἀποκλεισθῆναι. Ἐν δὲ τοῖς Ἰχθύσιν ἐκλείποντος τοῦ Ἡλίου ὅλου ἢ περὶ τὸ δίμοιρον μέρος ἐν τῇ α′ τριώρῳ τὸν τῆς Ἀσίας δυνάστην ὑπὸ βαρβάρων ταπεινωθήσεσθαι καὶ πολλὰ ἀποβαλεῖν καὶ μετὰ τριετίαν ἢ καὶ μικρῷ πλέον τὴν ἐξουσίαν ἄλλον παραλαβεῖν, περὶ δὲ δ′ ἢ ε′ ὥραν ἐκλείποντος ὑπὸ πολλῶν τὴν Αἴγυπτον καὶ τὴν Συρίαν ὀχληθήσεσθαι, ἐν ζ′ δὲ καὶ η′

χαλεπὰ πείσεσθαι Ἀρμενίαν, Καππαδοκίαν, Φρυγίαν, Ἰωνίαν, Λυδίαν, Ἑλλήσποντον, ἐν δὲ ταῖς λοιπαῖς ὥραις θάνατον ἀνθρώποις ἔσεσθαι καὶ τοῖς Ἕλλησιν ὑπὸ τῶν τὴν βαρβάρων οἰκούντων χώραν κάκωσιν πολλήν, τοῖς δὲ παραθαλασσίοις τόποις λοιμόν. τῆς δὲ Σελήνης ἐκλειπούσης ἐν τῇ α′ τριώρῳ Αἰγυπτίοις νόσους, φόνους, πράσεις, ἁλώσεις ἔσεσθαι δηλοῖ, ἐν δὲ τῇ β′ τριώρῳ τῷ δυνάστῃ τῆς Αἰγύπτου πένθος ἐπὶ τέκνῳ καὶ νόσον χαλεπὴν καὶ ἐπισφαλῆ ἔσεσθαι, Κύπρον δὲ ὑπὸ ἀκρίδος λύμην ὑποστήσεσθαι, ἐν δὲ τῇ γ′ τριώρῳ λῃστὰς κατὰ θάλατταν ἔσεσθαι πανταχοῦ, ἐν δὲ τῇ τελευταίᾳ τριώρῳ ἰχθύων ἅλωσιν πανταχοῦ, Μήδοις δὲ πρὸς ἀλλήλους πόλεμον· Σελήνης ὁμοχρόου γενομένης τῷ ἀέρι ἐν αὐτῇ τῇ ἐκλείψει θάνατον ἀνθρώπων ἔσεσθαι πανταχοῦ. Καθόλου δὲ ἐσημειώσαντο ἐν Αἰγοκέρωτι, Ὑδροχόῳ, Ἰχθύσι καὶ Κριῷ ἐκλείψεως γενομένης βασιλεῦσιν ἐπισημαίνειν, ἐν Παρθένῳ δὲ καὶ Ζυγῷ καὶ Σκορπίῳ καὶ Τοξότῃ ἱεροῖς τόποις καὶ κοινοῖς καὶ χώραις ἑλώδεσιν, ἐν Ταύρῳ δὲ καὶ Διδύμοις καὶ Καρκίνῳ καὶ Λέοντι ὄχλων ἀκαταστασίας καὶ ταραχὰς καὶ ἔρεις.

177 ἐὰν δὲ ἐν τῷ αὐτῷ καὶ ἑνὶ ζῳδίῳ ἅμα γένηται ἔκλειψις Ἡλίου τε καὶ Σελήνης παρετηρήσαντο γίνεσθαι τὰ συμπτώματα ἐκ συγκράσεως ἑκατέρας τῶν ἐκλείψεων [κατὰ] τῶν προεκτεθειμένων ἀποτελεσμάτων. ἵνα δὲ μὴ μακρὸν τὸν ὑπομνηματισμὸν ποιήσωμεν, ἀφείσθω τοῦτο τοῖς εὐεπιβόλως ἀφ’ ἑαυτῶν δυναμένοις ἐπιγνῶναι. 〈ιθ′〉 Περὶ τῶν ἐν ταῖς ἐκλείψεσι σημείων Τὰ δὲ ἐν ταῖς ἐκλείψεσι γινόμενα σημεῖα προσκείσθω τῷ μέρει τούτῳ. ἐὰν οὖν ἐκλείψεως σεληνιακῆς γενομένης ἀστέρες διᾴττωσιν εἰς τὸ ἐκλελοιπὸς μέρος, μάχην πολεμίων δηλοῦσι κατὰ τὴν χώραν τὴν προσῳκειωμένην τῷ ζῳδίῳ καθ’ ὃ ἡ ἔκλειψις γέγονεν· ἐὰν δὲ ὄμβρος ἐπιγένηται ἐν ἐκλείψει Ἡλίου ἢ Σελήνης, νόσους θανατηφόρους ἔσεσθαι μηνύει. Ἐὰν δὲ Ἥλιος ἐκλείπων ὅλος ἐν Κριῷ ἀμαυρὸς γένηται ὡς κάτοπτρον ἢ ὡς αὐγὰς Σελήνης ἔχων ἄνευ ἀκτίνων, ἐν Συρίᾳ μεγάλων ἀνθρώπων καὶ ἐνδόξων ἀπώλειαν σημαίνει. ἐν δὲ Ταύρῳ ἐὰν τοιοῦτος φανῇ, ἐπὶ δύο ἡμέραις ἢ καὶ πλείοσιν ἐπιτατικώτερον ἔσεσθαι τὸ εἰρημένον σύμπτωμα· ἐὰν δὲ ἐρυθρὸς γενόμενος ὡς καὶ δι’ ὅλης τῆς ἡμέρας τὸ ἔδαφος ἀνταυγεῖν αἱμωπόν, φθορὰν καρπῶν καὶ ἀνθρώπων πολλῶν ἔσεσθαι φόνους δηλοῖ καὶ πολλαχοῦ. ἐὰν δὲ ἐν Διδύμοις αἱματώδης ὀφθῇ ἀνατέλλων ἢ καὶ δύνων, Λιβύῃ καὶ Κιλικίᾳ πολλὰ κακὰ σημαίνει καὶ καρπῶν ἀφορίαν.

178 ἐν Καρκίνῳ δὲ αἱματώδης γενόμενος ταράξει τὴν Ἰνδῶν καὶ Σύρων καὶ Αἰγυπτίων βασιλείαν. ἐν δὲ Παρθένῳ σφαγὰς ἔσεσθαι καὶ ὄχλων ἐπαναστάσεις κατὰ τοῦ ἡγουμένου. ἐν Ζυγῷ δὲ ἐρυθρὸς γενόμενος τοὺς ὄχλους τῆς Λιβύης ἀποστατήσειν τοῦ ἡγουμένου· ἀμυδρὸς δὲ γενόμενος ἐν τῷ ἀνατέλλειν πόλεμον ἔσεσθαι καὶ στενοχωρίαν ἔν τε Λιβύῃ καὶ Κιλικίᾳ καὶ Ἰταλίᾳ καὶ Φοινίκῃ καὶ τοῖς πρὸς ἑσπέραν οἰκοῦσιν. ἐν δὲ Σκορπίῳ Λιβύῃ καὶ Αἰθιοπίᾳ κακόν τι σημαίνει. ἐν δὲ Τοξότῃ οἷα κομήτης ἀνατείλας ἐρυθρὸς τῷ τῆς Ἀσίας ἡγουμένῳ πόλεμον σημαίνει· ἐὰν δὲ τὴν κόμην πρὸς βορρᾶν ἀποτείνῃ, λύπας καὶ δενδρικῶν καρπῶν ἀφορίας ἀποτελέσει. ἐν δὲ Αἰγοκέρωτι ἀμαυρωθεὶς τῷ ἡγεμόνι Αἰγύπτου καὶ τοῖς ὑπ’ αὐτὸν δεινὰ καὶ θόρυβον σημαίνει. ἐν δὲ Ὑδροχόῳ γενόμενος ἐρυθρὸς ἐπιθήσεσθαι τὰ στρατόπεδα τοῖς κατὰ νότον φίλοις τοῦ βασιλέως. ἐὰν δὲ ἐν τοῖς Ἰχθύσι κομήτης γένηται ἢ ἄλλος τις ἱερὸς ἀστὴρ ὀφθῇ ἐκ τῶν διᾳττόντων, ἐν Αἰγύπτῳ καὶ Συρίᾳ φόνους καὶ στάσεις ἔσεσθαι καὶ πολλὰ παράδοξα καὶ τερατώδη καὶ ἐπὶ πολὺν χρόνον. Ἐπὰν δὲ ἐν Κριῷ τοῦ Ἡλίου ὄντος ἀστέρες ὀφθῶσιν ἡμέρας οὔσης, ἐπαναστάσεις καὶ σφαγὰς μηνύουσιν. ἐὰν δὲ ἐν Τοξότῃ ἡμέρας οὔσης ἀστὴρ φανῇ, πόλεμον ἐν Αἰγύπτῳ καὶ Ἀσίᾳ προαγορεύει. ἐὰν δὲ ἐν Αἰγοκέρωτι τὸ ἱερὸν ἄστρον διαδράμῃ μέγα ποιοῦν φῶς, ταῖς παραθαλασσίοις πόλεσι πρὸς νότον λύπας καὶ πήματα σημαίνει.

179 〈...〉 τοῖς ἐκεῖσε ἀνθρώποις καὶ κακῶν αὔξησιν καὶ δόλους κεκρυμμένους. Τὰς δὲ γινομένας ὑπὸ γῆν τελείας ἐκλείψεις σεισμῶν αἰτίας ὑπάρχειν ὡς ἐπὶ τὸ πλεῖστον ἐσημειώσαντο. τό τε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βασιλικὸν τρίγωνον τὸ διὰ Κριοῦ καὶ Λέοντος καὶ Τοξότου βασιλεῦσι καὶ τῇ βασιλείῳ αὐλῇ· καὶ Ἡλίου μὲν ἐκλείποντος θάνατον τοῖς κατὰ ἀνατολὴν καὶ τὴν Ἀσίαν τυράννοις καὶ ἡγουμένοις σημαίνεσθαι, τῆς δὲ Σελήνης κατὰ τὴν Εὐρώπην καὶ δυσμάς. ἐξαιρέτως δὲ κατὰ τὸν Ὑδροχόον καὶ τὸν Λέοντα ἐκλείποντος τοῦ Ἡλίου στειρώσεις καὶ ξηράνσεις τῶν ποταμῶν καὶ τῶν ὑδάτων γίνεσθαι, κατὰ μὲν τὸν Ὑδροχόον τῶν κατ' ἄρκτον, κατὰ δὲ τὸν Λέοντα τῶν κατ' Αἴγυπτον καὶ μεσημβρίαν. τάς τε τοῦ Ὠκεανοῦ κατά τε ἀνατολὰς καὶ δύσεις ὑποχωρήσεις, πλημμύρας τε καὶ ἀμπώτεις τοῦ τε Ἀτλαντικοῦ πελάγους καὶ τῆς Ἐρυθρᾶς θαλάσσης τὰς καθ' ἕκαστον νυχθήμερον γινομένας ὑπὸ τῶν τῆς Σελήνης ἀνατολῶν καὶ δύσεων σαλεύεσθαι καὶ κινεῖσθαι ἐκ βάθρων. 〈κʹ〉 Περὶ ἐπισημασιῶν τῆς τοῦ Κυνὸς ἐπιτολῆς καὶ τῶν περὶ αὐτὴν ἀστέρων Παρετήρησαν δὲ οἱ παλαιγενεῖς σοφοὶ Αἰγύπτιοι καὶ τὰς τοῦ Κυνὸς ἐπιτολὰς ὅστις Αἰγυπτιακῶς Σωθὶς καλεῖται καὶ τὰ τούτων ἀποτελέσματα ἐξέθεντο, ὧν πλείστων ὄντων ἡμεῖς ἐνταῦθα παραθήσομεν ὀλίγα τε καὶ εὐσύνοπτα. Ἀνατέλλων οὖν ὁ ἀστὴρ χρυσοειδὴς εἰς ἅπαντα γίνεται σύμφορος· εὐφορίαν γὰρ καὶ τὰ κάλλιστα τῇ χώρᾳ μηνύει, τάς τε ἀναβάσεις καὶ ἀποβάσεις τῶν ὑδάτων ἐν δέοντι καιρῷ καὶ κατὰ λόγον μηνύει, ὁμοίως τε καὶ τὸν σπόρον καὶ τὰ λοιπά.

180 σκοτεινοῦ δὲ τοῦ ἀστέρος ἀνατείλαντος πᾶν τοὐναντίον ἔσται καὶ τὰ γεννήματα ἐν σπάνει καὶ αἱ κύουσαι ἐκτρώσονται. Ἐπιτείλας δὲ ὁ ἀστὴρ μέγας καὶ λαμπρὸς βορέου πνέοντος καὶ τὴν ἀνάβασιν τῶν ὑδάτων κατὰ λόγον καὶ τὰ λοιπὰ ἐπὶ συμφέροντι μηνύει ἤτοι σπόρους ἐπιτηδείους καὶ εὐφορίαν, τῷ τε τῆς χώρας βασιλεῖ νίκην κατὰ τῶν ἀντιπάλων· μικρὸς δὲ καὶ στυγνὸς ἀνατείλας βορέου ὁμοίως πνέοντος ἐπιστρατεύσεσθαι τῇ χώρᾳ τοὺς ἐκτὸς καὶ ἀπαλλάξειν οὐ καλῶς, τήν τε ἀνάβασιν τοῦ Νείλου ἔσεσθαι κατὰ λόγον, τὰς δὲ τιμὰς ἐλαττωθῆναι. μέγας δὲ καὶ λαμπρὸς λιβὸς ἢ νότου πνέοντος ἀμιξίας τε καὶ θανάτους, μετρίας τε ἀναβάσεις καὶ λιμὸν μηνύει. ἀνατείλας δὲ μέγας καὶ λαμπρὸς βορέου ἢ ἀπηλιώτου πνέοντος τὸν βασιλέα τῆς χώρας καταλείψειν τὸν θρόνον αὐτοῦ καὶ ἀφανῆ γενήσεσθαι καὶ πόλεμον ἔσεσθαι· μικροῦ δὲ ἀνατείλαντος βορέου καὶ ἀπηλιώτου πνέοντος ἀνάβασιν κατὰ λόγον ἔσεσθαι, κρατηθῆναι δὲ τὴν Αἰθιόπων ὑπό τινος δυνατοῦ. μέλας δὲ ἀνατείλας λοιμὸν ποιεῖ, χλωρὸς δὲ νόσους, πυρρὸς δὲ πόλεμον καὶ σφαγάς. Ἐπισκεπτέον δὲ καὶ τὴν Σελήνην καὶ τοὺς ε ἀστέρας πῶς ἔχουσι σχήματός τε καὶ κινήσεως καὶ χρώματος πρὸς τὸν ἀστέρα ἐν τῇ ἐπιτολῇ αὐτοῦ. τὰ μὲν γὰρ χρώματα τὰ πάθη σημαίνουσιν, τὰ δὲ σχήματα καὶ ὁποία ἡ κίνησις ἢ οἱ στηριγμοὶ ἰσχυροτέραν ἢ ἀδρανῆ τὴν ἐνέργειαν ἐργάζονται· πᾶς δὲ ἀστὴρ ἀπογειότατος μὲν ὢν ἐπικοινωνεῖ πως τῆς ἑαυτοῦ δυνάμεως τῷ ἀνωτέρω ἀστέρι, περιγειότατος δὲ μεταλαμβάνει τῆς τοῦ κατωτέρω, κατὰ τὰ μέσα δ' ἕκαστος κινούμενος κινήματα τὴν ἰδίαν ἔχει δύναμιν καθαρεύων τῆς τῶν ἄλλων ἀστέρων κοινωνίας. ὁ δὲ τοῦ Κρόνου ἀπογειότατος μὲν γινόμενος ψυκτικώτατος γίνεται καὶ τὰ ἐπὶ γῆς οὕτω συνδιατίθεται, ἡ δὲ Σελήνη περιγειοτάτη οὖσα τὰ τῇδε μᾶλλον συναλλοιοῖ ἤπερ ἐν ταῖς ἄλλαις αὐτῆς θέσεσιν, οἱ δὲ μεταξὺ ἀστέρες, ὡς ἔφην, ἐπικοινωνοῦσι τῆς ἀλλήλων δυνάμεως.

181 πρὸς οὖν τὰς κινήσεις αὐτῶν καὶ τὰς θέσεις ἐπισκοπητέον καὶ τὰς ἐνεργείας· ἕκαστος δ' αὐτῶν ἐν τοῖς στηριγμοῖς, καὶ μᾶλλον ἐν τῷ βʹ, κρατύνει τὸ ἀποτέλεσμα ἑαυτοῦ· ἡ δὲ Σελήνη μετὰ τὰς τῶν ἀστέρων ἀπορροίας τὰς ἐπισημασίας εὐαισθητοτέρας ποιεῖται, καὶ οἱ λοιποὶ δὲ ἀστέρες πρὸς ἀλλήλους οὕτως ἔχουσιν. Ὁ δὲ τοῦ Ἄρεως καὶ ὁ τοῦ Κρόνου ἐν τοῖς τῆς Σελήνης ἐκλειπτικοῖς ὅροις τυχόντες ἄνευ ἀγαθοποιῶν λοιμῶν παραίτιοι γίνονται, μάλιστα περί τε τοὺς πόδας τῶν Διδύμων καὶ τὸ στῆθος τοῦ Καρκίνου τούς τε πρώτους ἀστέρας καὶ τὴν Φάτνην καὶ τὸ τοῦ Λέοντος στῆθος καὶ [περὶ] τὸν ἐπὶ τοῦ μαστοῦ τῆς Παρθένου ἀμαυρὸν καὶ τὸν ἔσχατον τοῦ Ζυγοῦ καὶ τὸν νότιον τῶν ἐν τῇ Πλάστιγγι καὶ τοῦ Σκορπίου τὸ μέτωπον καὶ τοῦ Τοξότου κατὰ τοὺς περὶ τὴν χεῖρα ἀστέρας καὶ τοῦ Αἰγοκέρωτος τοὺς κατὰ τὴν οὐρὰν β . καὶ αἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκλείψεις δ’ ὁμοίως Ἡλίου καὶ Σελήνης ἐν τούτοις τοῖς μέρεσι γινόμεναι τὰ αὐτὰ ἐπισημαίνουσιν· ὑπὸ δὲ τῶν κακοποιῶν περισχεθεῖσαι, συγκακουμένου καὶ τοῦ Ἑρμοῦ, μὴ μαρτυρούντων τῶν ἀγαθοποιῶν, χαλεπώταται γίνονται, καὶ μάλιστα ἐν τοῖς τροπικοῖς· αἱ γὰρ ἐπὶ τούτων ἐκλείψεις, καὶ μάλιστα αἱ τοῦ Ἡλίου, κοσμικὰ συμπτώματα ποιοῦσιν, αἱ δὲ ἐπὶ τοῦ Λέοντος κακώσεις βασιλέων καὶ ποταμῶν στειρώσεις. Παραφυλακτέον οὖν τάς τε θερινὰς τροπὰς καὶ τὰς χειμερινάς. ἐπισκοπητέον δὲ καὶ τὰς γινομένας συζυγίας ἔγγιστα τῶν τοιούτων τροπικῶν καὶ πῶς ἔχουσι πρὸς αὐτὰς οἱ ἄλλοι ε πλανώμενοι, καὶ οὕτω στοχάζεσθαι τοῦ μέλλοντος συμπτώματος.

182 Ἄρεως γὰρ μαρτυροῦντος μόνου κατὰ παρουσίαν ἢ διάμετρον ἢ τετράγωνον στάσιν, ὑπονοητέον ἰσχυροὺς καύσωνας καὶ ἐμπρήσεις κατὰ τὴν ὑποκειμένην χώραν ᾗ προσῳκείωται τὸ ζῴδιον καθ’ ὃ ἡ συζυγία γέγονεν· Κρόνου δὲ μόνου μαρτυροῦντος ὁμοίως ἢ κατὰ παρουσίαν ἢ διαμετρικῶς ἢ τετραγωνικῶς, τὰ τοῦ Κρόνου ὑπονοητέον, τουτέστι πάγον καὶ ψυχρότητα, ὅθεν ἀναγκαῖον τὰς προγεγενημένας συζυγίας πρὸ τῶν τροπικῶν καὶ ἰσημερινῶν σκοπεῖν καὶ τὰς μεταξὺ ἕως τῶν ἐφεξῆς τόπων μήπως ὑπὸ ἀγαθοποιῶν ἢ κακοποιῶν μαρτυρῶνται, καὶ πρὸς αὐτὰς τὴν τῆς ἑξῆς τριμήνου κατάστασιν λαμβάνειν, τὰ δὲ μηνιαῖα ἀπὸ τῆς κατὰ μῆνα συζυγίας σκοπεῖν, τὰ δὲ ἡμερήσια ἀπὸ τῶν τῆς Σελήνης μηνοειδῶν σχημάτων καὶ διχοτόμων καὶ ἀμφικύρτων καὶ πανσελήνων καὶ συνόδων. ἔτι δὲ οἱ ε πλανώμενοι ἑῷοι ὄντες καὶ προσθετικοὶ ἢ καί τινες ἐξ αὐτῶν (μάλιστα ὁ τῆς Ἀφροδίτης καὶ ὁ τοῦ Ἑρμοῦ) ἀναβάσεις τοῦ Νείλου καλὰς καὶ μεγάλας ποιοῦνται. παρετήρησαν δὲ καὶ ἕκαστον τῶν γ Κρόνου, Διὸς καὶ Ἄρεως, ὅτι ἑῷοι καθεστῶτες ἀναβάσεις ποιοῦνται, ἑσπέριοι δὲ ὄντες καὶ ἐν δύσει τὸ ἐναντίον. Ὅσα δὲ ἀποτελοῦσιν οἱ πλάνητες ἐν τοῖς ιβ ζῳδίοις κατὰ τὴν τοῦ Κυνὸς ἐπιτολὴν ταῦτά ἐστιν. Κρόνος ἐν μὲν Καρκίνῳ ἐγκαταλείψειν τὸν ἑαυτοῦ θρόνον τὸν τῆς Αἰγύπτου βασιλέα ἢ καὶ ἀποθανεῖσθαι σημαίνει, ἐν δὲ τοῖς βασιλείοις στάσεις γενήσεσθαι καὶ ἀλλαγάς, τὴν δὲ ἀνάβασιν τοῦ Νείλου ὀλίγην καὶ σπάνιν γεννημάτων· ἐν δὲ Λέοντι εὐετηρίαν καὶ ἀνάβασιν, τῶν τε ἐκτὸς τόπων κάκωσιν, κτηνῶν δὲ πλῆθος, ἀνθρώπων μέντοι φθοράν· ἐν δὲ Παρθένῳ ἀμιξίαν καὶ ἀκαταστασίαν καθ’ ὅλην τὴν γῆν, τούς τε κροκοδείλους ἀγριωτέρους ἔσεσθαι καὶ θανάτους πολλούς, ξηρῶν δὲ καρπῶν δαψίλειαν· ἐν δὲ Ζυγῷ πόλεμον ἐν Αἰγύπτῳ καὶ ἐπαναστάσεις, ἀνάβασίν τε τοῦ ποταμοῦ πολλὴν ἐν τῷ α′ ἔτει, ἐν δὲ τῷ β′ ὀλίγην, ἐν δὲ τῷ γ′ γεννημάτων δαψίλειαν· ἐν δὲ Σκορπίῳ θανάτους καθ’ ὅλην τὴν οἰκουμένην καὶ ἀνάβασιν καὶ ὀλιγοσιτίαν· ἐν δὲ Τοξότῃ ἀπώλειαν τῶν τῆς Αἰγύπτου ἡγεμόνων, ἀπογραφάς τε ἀπορρήτους καὶ ἱεροσυλίας· ἐν δὲ Αἰγοκέρωτι πόλεμον ἐν Αἰγύπτῳ, τῶν τε βασιλέως φίλων ἀπώλειαν ἢ καὶ αὐτοῦ, τούς τε πένητας πλουτήσειν καὶ τοὺς πλουσίους πτωχεύσειν καὶ ἀναρχίαν ἔσεσθαι· ἐν δὲ Ὑδροχόῳ δύο βασιλεῖς πολεμήσειν χάριν τῆς ἀρχῆς πρὸς ἀλλήλους καὶ τὴν ἀρχὴν οὐκ εἰς παῖδας ἐλθεῖν, τήν τε ἀνάβασιν ὀλίγην, τὸν δὲ σπόρον καὶ τὰ φυτὰ εὐκαρπήσειν, λοιμὸν δὲ ἔσεσθαι· ἐν δὲ Ἰχθύσιν ἀνάβασιν πολλὴν καὶ θανάτους, τοῦ δὲ βασιλέως οἰκεῖον ἀπολέσθαι· ἐν δὲ Κριῷ ἐν παντὶ τῷ κόσμῳ πολλὰ ἔσονται κακὰ καὶ ἀνθρώπων φθορά, γεννημάτων δὲ πλῆθος· ἐν δὲ Ταύρῳ ἀγαθὰ τῇ γῇ καὶ ἀνάβασιν πολλὴν καὶ τὸ ὕδωρ φθοροποιὸν καὶ νεωτέρων θανάτους· ἐν δὲ Διδύμοις θανάτους καθ’ ὅλην τὴν οἰκουμένην, τόν τε Νεῖλον συμμέτρως ἀνελθεῖν.

183 Τοῦ δὲ Διὸς ἐν Καρκίνῳ ὄντος κατὰ τὸν καιρὸν τῆς τοῦ Κυνὸς ἐπιτολῆς ἐπισημαίνεται τὸν βασιλέα μὴ ἀληθεύειν πρὸς τοὺς φίλους, ἀνάβασίν τε ἔσεσθαι καὶ σίτου εὐφορίαν· ἐν δὲ Λέοντι κακωθήσεσθαι τὸν βασιλέα καὶ φίλον αὐτοῦ ἀποβαλεῖν θανάτῳ, ἀνάβασίν τε γενήσεσθαι καὶ βροχάς, κριθῆς τε καὶ ὀλ[λ]ύρας κάκωσιν· ἐν δὲ Παρθένῳ καὶ Ζυγῷ καὶ Σκορπίῳ τὸν βασιλέα τῆς Αἰγύπτου καταλείψειν τὸν ἑαυτοῦ θρόνον καὶ ἀκαταστατήσειν, τὴν δὲ γυναῖκα αὐτοῦ ἀλκιμωτέραν ἔσεσθαι, ἐν δὲ τοῖς ἔξω τόποις ἔσεσθαι γεννήματα· ἐν δὲ Τοξότῃ ἀκαταστασίαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἀνάβασιν εὔτακτον· ἐν δὲ Αἰγοκέρωτι ἀντιπαρατάξασθαί τινα τῷ βασιλεῖ καὶ νικήσειν, τὸν δὲ βασιλέα ἐπὶ ἡμέρας τινὰς φυγεῖν καὶ πάλιν ἐπανήξειν· ἐν δὲ Ὑδροχόῳ ἰσχυρὸν τὸν βασιλέα ἔσεσθαι καὶ ἀνάβασιν καὶ πανουργίαν τινὸς τῶν τοῦ βασιλέως· ἐν δὲ Ἰχθύσιν ἀνάβασιν εὔθετον καὶ βασιλέως τελευτήν, ἐν δὲ τῇ Ἐλυμαΐδι χώρᾳ γεωργῶν ἀπώλειαν· ἐν δὲ Κριῷ μεγάλην ἀνάβασιν καὶ εὐετηρίαν, τὸν δὲ τῆς Συρίας ἡγούμενον ἀπολεῖσθαι· ἐν δὲ Ταύρῳ ἀγαθὰ καὶ κτηνῶν πλῆθος· ἐν δὲ Διδύμοις ἀνάβασιν καὶ εὐετηρίαν, ἀρρωστίας δὲ ἔσεσθαι.

184 Ὁ δὲ τοῦ Ἄρεως ἐν Καρκίνῳ ἀνάβασιν σημαίνει καὶ εὐετηρίαν καὶ ὑπερέχοντος προσώπου ἀπώλειαν, ἐν δὲ τοῖς ἔξω μέρεσιν ἀβροχίαν· ἐν δὲ τῷ Λέοντι καρπῶν ἀφθονίαν καὶ ὄψιμον τὴν ἀνάβασιν· ἐν δὲ Παρθένῳ τὰ ἐν Συρίᾳ καὶ ἐν Αἰγύπτῳ καλῶς ἕξειν· ἐν δὲ Ζυγῷ τὴν ἀνάβασιν κατὰ λόγον καὶ εὐφορίαν τῶν ξηρῶν καρπῶν, θάνατον δὲ ταῖς τικτούσαις· ἐν δὲ Σκορπίῳ λοιμὸν ἐν Αἰγύπτῳ καὶ βροντὰς καὶ χάλαζαν· ἐν δὲ Τοξότῃ ἀταξίαν κατὰ τὴν Συρίαν· ἐν δὲ Αἰγοκέρωτι μεγάλην ἀνάβασιν, τούς τε κροκοδείλους παύσεσθαι τῆς πολλῆς ἀγριότητος, θάνατον δὲ καὶ λοιμὸν κατὰ τὴν χώραν· ἐν δὲ Ἰχθύσι θάνατον βασιλέως καὶ ἀνάβασιν μετὰ τὸ ἀνανθῆναι· ἐν δὲ Κριῷ τὸν τῆς Ἐλυμαΐδος χώρας ἡγούμενον τελευτήσειν καὶ τὸν παῖδα αὐτοῦ διαδέξεσθαι· ἐν δὲ Ταύρῳ ἀνάβασιν κατὰ λόγον καὶ εὐφορίαν· ἐν δὲ τοῖς Διδύμοις ἀκαταστατήσειν τὴν Συρίαν καὶ ἀνωμαλίαν ἔσεσθαι. Ὁ δὲ τῆς Ἀφροδίτης ἐν τῷ Καρκίνῳ ἀγαθὰ τῇ Αἰγύπτῳ καὶ ἀνάβασιν, τῶν δὲ ἡγουμένων ἀπώλειαν· ἐν δὲ Λέοντι ὄχλων συνόδους, τῶν τε ..... κουφισμούς· ἐν δὲ Παρθένῳ τῶν ξηρῶν καρπῶν πλεονασμόν, αὔξησίν τε τοῦ γένους τῶν γυναικῶν καὶ μοιχείας. Ὁ δὲ τοῦ Ἑρμοῦ ἐν μὲν τῷ Λέοντι ἀνάβασιν καὶ σῖτον πολύν· ἐν δὲ τῇ Παρθένῳ σπόρον καλὸν καὶ εὐετηρίαν καὶ ἀλκὴν τῇ ἀρχῇ Συρίας. Ἐκ δὲ τῶν εἰρημένων τὰς συγκράσεις τῶν ἀποτελεσμάτων ποιητέον ὅταν ἐν τῷ αὐτῷ ζῳδίῳ τύχωσιν ὄντες ἤ τινες αὐτῶν ἐν τῷ καιρῷ τῆς τοῦ Κυνὸς ἐπιτολῆς.

185 ἡ δὲ Σελήνη τυχοῦσα μετὰ Κρόνου ἐν τῇ τοῦ Κυνὸς ἐπιτολῇ ἐπισημαίνει τῇ χώρᾳ ᾗ προσῳκείωται τὸ ζῴδιον ἐφ' οὗ τυγχάνουσι πόλεμόν τε καὶ λοιμὸν καὶ τὰ τικτόμενα ζῷα φθαρήσεσθαι· σὺν τῷ Διὶ δὲ οὖσα ἡ Σελήνη θάνατον μεγάλων ἀνδρῶν, εἰρήνην δὲ καὶ εὐφορίαν· σὺν τῷ Ἄρει δὲ μέγαν καὶ χολώδη λοιμὸν καὶ πόλεμον καὶ ἐμπρησμούς· σὺν δὲ τῷ τῆς Ἀφροδίτης νόσους γυναικῶν καὶ ἐκτρώσεις· σὺν δὲ τῷ τοῦ Ἑρμοῦ ἐπίνοσον τὸν καιρὸν νέοις καὶ ἐφήβοις. ἐπισκοπητέον δὲ τὸ ζῴδιον τίνι χώρᾳ προσῳκείωται καὶ εἰς ποῖον μέλος παραλαμβάνεται, καὶ οὕτω καταστοχάζεσθαι τῶν νοσημάτων. καὶ τὰς ἀνέσεις δὲ καὶ ἐπιτάσεις ἔκ τε τῶν τῆς Σελήνης φωτισμῶν καὶ τῆς τῶν ἀστέρων φάσεώς τε καὶ δύσεως συνορατέον. Ἔτι δὲ παρετήρησαν οἱ Αἰγύπτιοι κατὰ τὰς τοῦ Κυνὸς ἐπιτολὰς βροντῶν γενομένων ἀπὸ τῆς α′ ἡμέρας ἄχρι τῆς ζ′ πάγκακα ἔσεσθαι τῇ Αἰγύπτῳ καὶ ἀφορίαν, βροχάς τε ἀνωμάλους καὶ τοῦ ἀέρος χειμῶνα. μεγάλου δὲ καὶ λευκοῦ ἀνατείλαντος τοῦ ἀστέρος καὶ διαπορευομένου τῷ χρώματι ὡς τὰ κύματα, μέγαν τὸν Νεῖλον ἔσεσθαι καὶ εὐφορίαν· πυρροῦ δὲ ὄντος καὶ μιλτώδους πόλεμος ἔσται. ἐὰν δὲ μεγάλου ὄντος σύνεγγυς αὐτοῦ ἀστέρες ὡς μέλανες ὀφθῶσιν, λιμὸς ἔσται καὶ σπάνις καρπῶν κατὰ πᾶσαν τὴν γῆν. ὀφθείσης δὲ μικρᾶς γραμμῆς νεφελοειδοῦς ἀποτεινούσης ἀπὸ τοῦ ἀστέρος ἐπὶ ἀπηλιώτην, τοῦ ἄκρου τῆς γραμμῆς πυρώδους ὄντος, ταραχὴ ἔσται καὶ ὁ σμικρότατος τῶν κράτων περιέσται τοῦ μείζονος· γενομένης δὲ τῆς γραμμῆς πυρρᾶς καὶ μακροτέρας καὶ πρὸς βορρᾶν ἀποτεινούσης ἀπὸ νότου καὶ τοῦ ἄκρου λιγνυώδους ὄντος, πόλεμον καὶ θάνατον σημαίνει πάσῃ χώρᾳ. 〈κα′〉 Περὶ μοίρας ὡροσκοπούσης ἐν τῇ συλλήψει Μετὰ τὸ ἐκθεῖναι τὴν τοῦ Πτολεμαίου μέθοδον αὐταῖς λέξεσιν ἐπάγει.

186 (1t) ταῦτα μὲν ὁ Πτολεμαῖος ἐντέχνως πάνυ καὶ φυσικῶς περὶ τῆς ὡροσκοπούσης μοίρας κατὰ τὸν καιρὸν τῆς συλλήψεως ἐκτίθεται, πλὴν καὶ ἡμεῖς ἐκθήσομεν ἐνταυθοῖ καὶ τὰ παρ' ἄλλοις περὶ ταύτης λεγόμενα φιλοκαλίας χάριν ὑπὲρ τοῦ τὸν ὡροσκόπον παχυμερῶς εὑρίσκειν εἰ καὶ μὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὴν τὴν μοῖραν δυνατὸν ἀκριβῶσαι καθὼς ὁ θεῖος εἴρηκε Πτολεμαῖος. φασὶν οὖν τὰς μεταξὺ τῆς πρὸ τῆς σπορᾶς γενομένης συζυγίας καὶ τῆς γενεθλιακῆς ἐποχῆς τοῦ Ἡλίου συναγομένας μοίρας ἐκβάλλοντας ἀπ' αὐτοῦ τοῦ ζῳδίου καθ' ὅ ἐστιν ἡ τοῦ Ἡλίου ἐποχή, ἑκάστῳ ζῳδίῳ διδόντας μοῖρανα · εἰς ὃ ἂν καταντήσῃ ζῴδιον ὁ τῶν μοιρῶν ἀριθμός, ἐκεῖνο τὸ ζῴδιον φάσκειν παχυμερῶς ὡροσκοπεῖν κατὰ τὸν καιρὸν τῆς σπορᾶς. ὁ δὲ Ἀνουβίων οὕτω λέγει· σκέπτου τὸν οἰκοδεσπότην τοῦ ζῳδίου ἐν ᾧ ἐστιν ὁ Ἥλιος ἐπὶ τῶν ἡμερινῶν γενέσεων καὶ ἀπ' αὐτοῦ ἀρίθμει τὰ ζῴδια ἕως τοῦ οἰκοδεσπότου τοῦ ζῳδίου ὃ ἐπέχει τηνικαῦτα ἡ Σελήνη, καὶ τὴν ποσότητα τῶν ζῳδίων ἔκβαλε ἀπὸ τοῦ ζῳδίου ἐν ᾧ ἐστιν ὁ Ἥλιος· καὶ εἰς ὃ ἂν ἐκπέσῃ ζῴδιον ὁ ἀριθμός, ἐκεῖνο ἦν τὸ ὡροσκοποῦν τὴν ὥραν τῆς σπορᾶς. ἐπὶ δὲ τῶν νυκτερινῶν γενέσεων ἀπὸ τοῦ ζῳδίου ἄρξου τοῦ κατὰ τὴν ἐποχὴν τῆς Σελήνης καὶ ἔκβαλε τὴν ποσότητα τῶν ζῳδίων τῶν μεταξὺ τῶν οἰκοδεσποτῶν καὶ αὐτῶν ἐν οἷς εὑρίσκονται οἱ οἰκοδεσπόται· καὶ εἰς ὅπερ ἂν ζῴδιον καταλήξῃ ὁ ἀριθμός, ἐκεῖνο λέγε ὡροσκοπεῖν κατὰ τὴν σποράν. ἐὰν δὲ ὁ Ἥλιος τύχῃ, φησίν, ἐν ἀρχῇ τῶν ζῳδίων, σκοπεῖν χρὴ μὴ ᾖ ὁ ὡροσκόπος ἢ εἰς τὸ διάμετρον τῆς τοιαύτης ποσότητος ἢ εἰς τὸ τετράγωνον.

187 αὕτη δὲ ἡ μέθοδος συμφωνεῖ ἡμῖν σχεδὸν ἐπὶ πάντων, πλὴν ἐκθετέον καὶ ἑτέραν μέθοδον πάνυ συμφωνοῦσαν. Προδεδόσθαι χρὴ τὸ ἐν ἡμέρᾳ τετέχθαι τὸν ζητούμενον ἢ ἐν νυκτί· καὶ τούτου δεδομένου σκοπεῖν τὴν τοῦ Ἡλίου μοῖραν, καὶ ταύτῃ ἀπὸ μὲν τοῦ Θὼθ ἕως τοῦ Ἀθὺρ [καὶ αὐτοῦ] προστιθέναι μοίρας β ⍰ , ἀπὸ δὲ τοῦ Φαμενὼθ ἕως τοῦ Μεσωρῆ ἀφαιρεῖν β ⍰ . καὶ τὴν γινομένην οὕτω ποσότητα τῶν μοιρῶν τοῦ Ἡλίου ιβ ποιοῦντας ἐκβάλλειν ἀπὸ τῆς τοῦ Ἡλίου μοίρας· καὶ εἰς ὃ ἂν ἐκπέσῃ ζῴδιον ὁ ἀριθμός, ἐκεῖνο λέγειν ὡροσκοπεῖν κατὰ τὴν σπορὰν ἢ ἓν τῶν λοιπῶν β ζῳδίων τῶν τριγωνικῶς αὐτῷ συσχηματιζομένων. Ἔστω δὲ τὸ περὶ τούτου δι' ὑποδείγματος σαφηνείας χάριν. ἐγεννήθη τις ἐν ἡμέρᾳ κατὰ τὴν λʹ τοῦ Ἀθὺρ τοῦ Ἡλίου ἐπέχοντος Τοξότου μοίρᾳ δʹ· ταύταις ταῖς δ μοίραις προσέθηκα β ⍰ καὶ ἐγένοντο ς ⍰ · αἱ δὲ ς ⍰ δωδεκαπλασιασθεῖσαι ἐγένοντο οη · ταύτας ἐκβάλλων ἀπὸ τῆς τοῦ Ἡλίου μοίρας καταντῶ περὶ τὰ τελευταῖα τοῦ Ὑδροχόου. ὡροσκοπεῖ οὖν κατὰ τὴν σπορὰν ἢ ὁ Ὑδροχόος ἢ οἱ Δίδυμοι ἢ ὁ Ζυγός. ἀλλὰ τοῦ Ἡλίου περὶ τὰς ἀρχὰς τοῦ Τοξότου τυγχάνοντος ἀπ' αὐτοῦ ἕως τῆς ἀρχῆς τῶν Διδύμων τὸ ὑπὲρ γῆν ἡμισφαίριον τῆς ἡμέρας ἐστίν· οὐκ ἄρα ἐν τοῖς Διδύμοις ἔσται ὁ ὡροσκόπος· ἀλλ' οὐδὲ ἐν τῷ Ζυγῷ δυνατὸν εἶναι διὰ τὸ καὶ τὸν Ζυγὸν ὑπὸ γῆν εἶναι. πιστευτέον οὖν ἐν τῷ Ὑδροχόῳ μόνῳ πίπτειν τὸν ὡροσκόπον. ἐὰν δέ ποτε δύο ζῴδια τοῦ τριγώνου ὑπὲρ γῆν ᾖ εἰς ἃ ὑπονοοῦμεν εἶναι τὸν ὡροσκόπον, καταστοχαζόμεθα ἐκ τοῦ εἴδους τοῦ ἀνθρώπου ποίῳ μᾶλλον τῶν ζῳδίων ἀπείκασται, καὶ πρὸς ἐκεῖνο ἀποφαινόμεθα.

188 Κριοῦ μὲν γὰρ ὡροσκοποῦντος οἱ τικτόμενοι τοιοῦτοί εἰσι τῷ εἴδει· ὀστώδεις, δασεῖς καὶ μέσοι μᾶλλον ἢ εὐμήκεις, ἐνίοτε δὲ καὶ τῷ προσώπῳ κάτω κύπτοντες καὶ δειλοὶ καὶ παῖκται καὶ αἰσχρολόγοι. τοῦ δὲ Ταύρου σιμοί, ταυρόφθαλμοι, ὑπομέλανες, πλατυμέτωποι, πλατύρρινοι, ἀνεσταλμένοι, ἔσθ' ὅτε φαλακροὶ καὶ μικρὰ ὦτα ἔχοντες, ὑποκριταί, ψευδεπιεικεῖς, τὰ χείλη ἐνίοτε μείζονα ἔχοντες τοῦ συμμέτρου καὶ τοὺς μυκτῆρας μεγάλους καὶ τὰς ὀφρῦς· τὰ δὲ ἔσχατα αὐτοῦ κιναίδους ποιεῖ. τῶν δὲ Διδύμων ὡροσκοπούντων οἱ γεννώμενοι σύμμετροι τῷ σώματι, ἐπίρρινοι, ἔσθ' ὅτε οὖλοι καὶ μεγάλα ὦτα ἔχοντες καὶ τοῖς ὤμοις εὔσαρκοι. ὁ δὲ Καρκίνος ποιεῖ ὀστώδεις, στρογγυλοπροσώπους, ἔσθ' ὅτε μέλανας ὡς πρὸς τὸ κλίμα καὶ ἀναφαλαντίας, τοὺς δὲ ὀδόντας πολλούς, ἔσθ' ὅτε τὸ δὲ μῆκος ἀσυμμέτρους (καὶ γὰρ τὰ κάτωθεν μέρη μείζονα ἔχουσιν, τὰ δὲ ἄνωθεν ἐλάσσονα), καὶ τὴν γαστέρα ἔχουσιν ὑπὸ τὸ στῆθος προκύπτουσαν καὶ αὐτὸ τὸ στῆθος πλατὺ καὶ τοὺς ὀφθαλμοὺς ὑποκεχυμένους, μάλιστα ὅσοι τὸν ὡροσκόπον ἐγγὺς ἔχουσι τῆς Φάτνης νεφελοειδοῦς οὔσης. ὁ δὲ Λέων γλαυκούς, πυρ 〈ρ〉 ότριχας, ἰσχυρούς, ὑποκύρτους, πλατεῖς τὰ ἄνωθεν καὶ δυσειδεῖς, μάλιστα τοὺς ἐν ταῖς πρώταις μοίραις τικτομένους, ποιεῖ δὲ ὅλως καὶ παχυρρίνους καὶ λεοντοπροσώπους, τρώκτας,

λεπτοὺς τὰς κνήμας, ἐν δὲ ταῖς τελευταίαις μοίραις περὶ τὴν ῥάχιν ψιλοὺς τὰς τρίχας, ἀναφαλαντίας, ἔσθ’ ὅτε καὶ κιναίδους. ἡ δὲ Παρθένος συμμέτρους τῇ ἡλικίᾳ καὶ μᾶλλον μικρούς, εὐπλάστους, μακροκοιλίους καὶ ὀρθοὺς καὶ κοσμίους. ὁ δὲ Ζυγὸς εὐοφθάλμους, ὑπομέλανας, ἔσθ’ ὅτε καὶ μακροὺς καὶ οὔλους τὰς τρίχας, δικαίους καὶ γνωστικούς. ὁ δὲ Σκορπίος μικροφθάλμους, ὠχρούς, ὦτα μικρὰ ἔχοντας, ἔσθ’ ὅτε μαδαροὺς τὸ γένειον ἢ γλαυκοὺς τοὺς ὀφθαλμούς, τὴν δὲ φάρυγγα ἐξέχουσαν ἔχοντας καὶ τοὺς ὤμους πλατεῖς, μακροσκελεῖς καὶ ὠκεῖς, φθονεροὺς καὶ ἅρπαγας· τὰ δὲ ἔσχατα περὶ τὸ κέντρον ποιεῖ κιναίδους, ἔσθ’ ὅτε δὲ καί τινας ἔχοντας ὑποχύσεις ἐν τοῖς ὀφθαλμοῖς διὰ τὸ νεφέλιον τὸ περὶ τὸ κέντρον· ποιεῖ δὲ καὶ ἀναφαλαντίας.

189 ὁ δὲ Τοξότης μακροὺς τοῖς μηροῖς, ταῖς δὲ κνήμαις εὐπλάτους, εὐγενείους, προγάστορας, εὐχρόους, ταχεῖς, εὐκολύμβους, φιλοῦντας τὸ ὀχεῖσθαι ζῷα, φαλακρούς· τὰ δὲ τελευταῖα ποιεῖ κιναίδους, ἔστι δ’ ὅτε καὶ τοὺς πώγωνας προπολιοῦντας. ὁ δὲ Αἰγόκερως μικροφυεῖς ποιεῖ, μάλιστα ἐν ταῖς πρώταις μοίραις, καὶ κούφους τὸ στῆθος, λεπτοὺς τὰ σκέλη, ὀξυπώγωνας, ἔσθ’ ὅτε δασεῖς τὰ σκέλη, ὀστώδεις, κάτω κύπτοντας, ἀσελγεῖς. ὁ δὲ Ὑδροχόος εὐσώμους, εὐγενείους, εὐυπολήπτους, ἔσθ’ ὅτε καὶ προγάστορας καί τινας ἔχοντας τὴν μίαν κνήμην μείζονα τῆς ἑτέρας. οἱ δὲ Ἰχθύες ποιοῦσιν εὐρυτέρους τοῖς ὤμοις, εὔτριχας, λευκούς, τὸ μέτωπον καὶ μέγα καὶ στενὸν ἔχοντας, ἔσθ’ ὅτε καὶ προκύπτον, μελανοφθάλμους, βραδέως φθεγγομένους, ἰδιοπράγμονας. Ταῦτα μὲν καὶ τὰ τοιαῦτα σημαίνει τὰ ζῴδια αὐτὰ καθ’ ἑαυτὰ ὡροσκοποῦντα, τυχόντες δὲ ἐν αὐτοῖς καὶ οἱ πλανώμενοι ἕκαστος πρὸς τὸ ἑαυτοῦ ἰδίωμα μεταποιεῖ πως. Κρόνος μὲν γὰρ μέλανας ποιεῖ, δυσειδεῖς τε καὶ αὐχμηρούς, Ἄρης δὲ ξανθούς, γλαυκοφθάλμους, τετανότριχας, γοργούς, ὦτα μικρὰ ἔχοντας, Ζεὺς δὲ λευκούς, εὐσάρκους, μεγαλοφθάλμους, εὐπώγωνας, ἀγαθοὺς τῷ τρόπῳ, ἡ δὲ Ἀφροδίτη σὺν τούτοις οἷς ποιεῖ ὁ Ζεὺς ποιεῖ καὶ ἁβροὺς καὶ εὐόπτους, ὁ δὲ Ἑρμῆς ἰσχνούς, ὠχρούς, συμμέτρους καὶ οὐλοκόμους, καλούς τε καὶ γενναίους, ὁ δὲ Ἥλιος καὶ ἡ Σελήνη συντρέπονται μὲν οἷς ἂν ἐντύχωσιν, ἰδίᾳ δὲ ὁ Ἥλιος εὐτραφεῖς καὶ εὐεκτοῦντας ποιεῖ, ἡ δὲ Σελήνη εὐκράτους καὶ εὐσάρκους.

190 Ἐκ μὲν οὖν τῶν προλελεγμένων τῆς τε τῶν ζῳδίων φύσεως καὶ τῶν πλανωμένων παχυμερῶς μὲν ἔστιν εὑρεῖν τὸ ὡροσκοποῦν ζῴδιον κατὰ τὴν ὥραν τῆς σπορᾶς τῇ συνεχεῖ πείρᾳ καὶ γυμνασίᾳ, χρωμένους τῇ τῶν ζῳδίων τε καὶ ἀστέρων φύσει καὶ τοῖς κλίμασιν ἐπὶ τῶν ἤδη τελειωθέντων ἀνθρώπων, ἐξακριβοῦντες δὲ τὴν ὡροσκοποῦσαν μοῖραν κατὰ τὴν τοῦ θείου Πτολεμαίου μέθοδον σχεδὸν ἐπὶ πάντων εὑρίσκομεν ἀληθεύουσαν. 〈κβʹ〉 Περὶ γονέων Μετὰ τὸ ἐκθεῖναι τὰ τῷ θείῳ Πτολεμαίῳ περὶ τούτου κατὰ λέξιν εἰρημένα φησίν. τὸν μέντοι χρόνον τῆς κατὰ τὸ ἀποτελούμενον ἐκβάσεως εὑρίσκομεν ἔκ τε τῆς κολλήσεως τῶν ποιούντων ἀστέρων ἤτοι σωματικῶς ἢ καὶ κατ’ ἀκτῖνα καὶ τῶν ἀνατολῶν τῶν ζῳδίων ἐφ’ ὧν τυγχάνουσιν οἱ γονικοὶ τόποι. καὶ ταῦτα μὲν εὑρίσκομεν συμφωνοῦντα οἷς ἐκτίθεται φυσικῶς τε καὶ θαυμαστῶς σκεπτόμενος ὁ θεῖος οὗτος ἀνήρ. Ὁ δὲ Δωρόθεος συμβουλεύει τοὺς τριγωνοκράτορας τῶν φώτων σκοπεῖν καὶ αὐτὰ τὰ φῶτα ἐν ποίοις τόποις τυγχάνουσι καὶ μοίραις καὶ τίνες τῶν ἀστέρων σύνεισιν ἢ ὁρῶσιν, καὶ πρὸς τούτους ἀποφαίνεσθαι περὶ ἑκατέρου τῶν γονέων, Ἡλίου μὲν δηλονότι σημαίνοντος τὰ περὶ τὸν πατέρα, Σελήνης δὲ τὰ περὶ τὴν μητέρα. ἐὰν μὲν γὰρ συνῇ ὁ Ἥλιος ἀγαθοποιοῖς τόποις καὶ ἄστρασιν, ὑπονοητέον εὐτυχῆ καὶ πλούσια τὰ περὶ τὸν πατέρα καὶ αὐτῷ τῷ τέκνῳ τὰ πατρῷα φυλαχθήσεσθαι, ὁμοίως δὲ καὶ ἡ Σελήνη ἐν τοιούτοις τυχοῦσα τὰ αὐτὰ περὶ τὴν μητέρα σημαίνει. τὸ δ’ ἐναντίον συμβήσεται ἐν τοῖς ἐναντίοις εὑρεθέντων τῶν φώτων (τουτέστι κακωθέντων)· εἴωθε γὰρ πρὸς ταῖς δυσπραγίαις καὶ σίνη ἐν τοῖς σώμασι τῶν γονέων ἐμφαίνεσθαι.

191 ἐν δὲ ταῖς ἐσχάταις μοίραις τῶν ζῳδίων τυχόντα τὰ φῶτα, μάλιστα τῶν κακοποιῶν ὁρώντων, ἄδοξα τὰ περὶ τοὺς γονεῖς σημαίνει, ὁμοίως δὲ καὶ ἐν τοῖς ἐκλειπτικοῖς ὅροις τυγχάνουσα ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σελήνη, κἂν ἐν ἀγαθοποιοῦ ὁρίοις ᾖ. Ὁ μέντοι τῆς μητρὸς κλῆρος λαμβάνεται οὕτως· τὰς ὥρας τῆς γενέσεως λαβὼν ἔκβαλε ἀπὸ τοῦ ζῳδίου ἐν ᾧ ἐστιν ὁ Ἥλιος, ἑκάστῳ ζῳδίῳ ἐφεξῆς διδοὺς α ὥραν· καὶ εἰς ὃ ἂν λήξῃ ζῴδιον ὁ ἀριθμός, ἐκεῖ .......... σκόπει δὲ καὶ τὰς ἄλλας σχέσεις, καὶ οὕτως ἀποφαίνου τὰ κατὰ τὴν μητέρα. 〈κγʹ〉 Περὶ προτελευτῆς γονέων Σκέπτου ἐν τῇ γενέσει ποῖον τῶν φώτων κεκάκωται καὶ ἀπ’ ἐκείνου στοχάζου περὶ τοῦ προτελευτήσοντος τῶν γονέων· ὅρα δὲ καὶ τοὺς κλήρους αὐτῶν καὶ τίς μᾶλλον κεκάκωται καὶ ὁμοίως στοχάζου. ἐπίβλεπε δὲ καὶ τοῦτο, ποῖον τῶν φώτων ἐν τῇ γενέσει στρεφομένης τῆς τοῦ παντὸς φορᾶς πρῶτον ἔρχεται εἰς τὸ ὑπόγειον, καὶ οὕτω λογίζου τὸν προλαμβάνοντα· σημαίνει γὰρ τὴν προτελευτὴν ὁ μὲν Ἥλιος τοῦ πατρός, ἡ δὲ Σελήνη τῆς μητρός. ὁ Δωρόθεος δὲ καὶ τοῦτό φησιν, ὅτι ὁ Ἄρης τυγχάνων μετὰ Κρόνου, καὶ μάλιστα ἐπίκεντροι, προτελευτᾶν ποιοῦσι τὸν πατέρα τῆς μητρός. Ὁ δὲ Ἀνουβίων οὕτω φησίν· Σελήνη πλησιφωτοῦσα, ἐὰν τύχῃ ἐν τοῖς Ἰχθύσιν, προτελευτᾶν ποιεῖ τὸν πατέρα· καὶ ληξιφωτοῦσα δ’ ὁμοίως καὶ πρὸς σύνοδον ἐρχομένη, ἐὰν ἐν ἀρσενικῷ ζῳδίῳ τύχῃ, προτελευτᾶν ποιεῖ τὸν πατέρα, ἐὰν δὲ ἐν θηλυκῷ ζῳδίῳ, τὴν μητέρα.

192 〈κδʹ〉 Περὶ ἀτρόφων Μετὰ τὸ ἐκθεῖναι τὴν τοῦ Πτολεμαίου λέξιν ὑποδειγματίζων φησίν. ἔστω ἡ Σελήνη ὡροσκοποῦσα ἐν Ταύρῳ μοίρᾳ κεʹ, συνέστω δὲ αὐτῇ ἢ διαμετρείτω ὁ Κρόνος ἢ ὁ Ἄρης ἐν Σκορπίῳ μοίρᾳ κεʹ, μηδεὶς δὲ τῶν ἀγαθοποιῶν τριγωνικῶς ἢ τετραγωνικῶς ἢ ἄλλως πως ἐπιθεωρείτω τὴν Σελήνην, ἔστω δὲ καὶ ἡ Ἀφροδίτη ἥτις οἰκοδεσποτεῖ τοῦ Ταύρου ἐν ὁρίοις ἢ οἴκοις Ἄρεως ἢ Κρόνου· ἐξ ἀνάγκης τὸ οὕτως ἔχον ἄτροφον ἔσται. καὶ Ἀπολινάριος δὲ καὶ Ἀντίοχος τούτοις συμφωνοῦσιν, ἀλλ’ ἔστω μὴ κατ’ ἰσομοιρίαν τὸ τοῦ κακοποιοῦ διάμετρον· ἐνταῦθα οὖν πλήθους χρεία τῶν κακοποιῶν ( β δὲ οὗτοι Ἄρης καὶ Κρόνος) καὶ πλήθους τῶν κακουμένων ( β δὲ καὶ οὗτοι Ἥλιος καὶ Σελήνη)· καὶ β σχήματα ἰσχυρὰ πρὸς κακοποίησιν, τό τε διάμετρον καὶ τὸ τῆς ἐπαναφορᾶς. Φησὶν οὖν δηλαδὴ ὁ Πτολεμαῖος ὡς ἐὰν μὴ κατ’ ἰσοσκελίαν ἤγουν ἰσομοιρίαν τοῦτο συμβῇ, ἀλλ’ ἐγγὺς ἐπαναφέρωνται τοῖς τῶν φώτων τόποις αἱ τῶν κακοποιῶν βολαί, καὶ ἢ τὸ ἕτερον τῶν φώτων ἢ καὶ ἀμφότερα βλάψωσιν· ὁ δὲ τρόπος τῆς βλάβης, φησίν, κατ’ ἐπαναφορὰν ἢ διάμετρον, οἷον ἐὰν ὁ Ἄρης καὶ ὁ Κρόνος διαμετρῶσι τὸν Ἥλιον ἢ τὴν Σελήνην ἢ καὶ ἀμφοτέρους ἀμφότεροι διαμετρῶσιν· ἓν μὲν δὴ τοῦτο σχῆμα. ἕτερον δὲ ἐὰν ὁ Κρόνος καὶ ὁ Ἄρης ἅμα ἐπαναφέρωνται αὐτοῖς, καὶ πάλιν ἄλλο σχῆμα, φησίν, ἐὰν τὸν μὲν Ἥλιον διαμετρῇ ὁ Ἄρης, τῇ δὲ Σελήνῃ ἐπαναφέρηται ὁ Κρόνος, ἢ ἔμπαλιν τῷ μὲν Ἡλίῳ ἐπαναφέρηται ὁ Ἄρης, τὴν δὲ Σελήνην διαμετρῇ ὁ Κρόνος.

193 πάντα γὰρ ταῦτα ἀχρόνων ἐστὶ σχήματα, τοῦ πλήθους τῶν κακώσεων ἀφανίζοντος καὶ ἐκ διαστήματος τῆς ἐπαναφορᾶς τὸ εἰς ἐπιμονὴν τῆς ζωῆς φιλάνθρωπον. Καὶ Ἀπολινάριος δὲ καὶ οἱ Αἰγύπτιοι ἀξιοῦσι σκοπεῖν καὶ τὸ προανηνεγμένον ζῴδιον τοῦ ὡροσκόπου, ὃ καὶ κακὸν δαίμονα προσαγορεύουσιν, καὶ τὸ ἐπαναφερόμενον, ὃ καὶ βίον καλοῦσιν. τοῦ γὰρ κακοδαιμονήματος ὄντος μέγαν τὸν κίνδυνον συμβαίνει γίνεσθαι τῇ τε τικτούσῃ καὶ τῷ γεννωμένῳ, τοῦ μὲν βρέφους εἰς τὸ στόμιον τῆς ὑστέρας ἐμπίπτοντος, τῶν δὲ ἁρμῶν τῆς κυοφορούσης λυομένων, καὶ ἀμφοτέροις ἐντεῦθεν κίνδυνον ἰσοθάνατον ἐπισυμβαίνειν, τῷ μὲν βρέφει διὰ τὸ συμπνίγεσθαι, τῇ δὲ τικτούσῃ διὰ τὸ τοὺς πόρους τῆς γυναικείας φύσεως ὑπὲρ τὸ δέον χαλᾶσθαι. καὶ πάλιν δὲ μετὰ τὸ γεννηθῆναι ἐὰν κακοποιοὶ εὑρεθῶσιν ἐν τῷ βίῳ καὶ διαδέξωνται τὴν Σελήνην ἢ τὸν Ἥλιον, ἀφανίζουσι τὴν ζωὴν καὶ ὀλιγοχρόνια ποιοῦσιν. Πάλιν δὲ λέγει ὁ Πτολεμαῖος· βλάπτει ἐξαιρέτως κατ’ ἐπαναφορὰν Ἥλιον μὲν ὁ τοῦ Ἄρεως, Σελήνην δὲ ὁ τοῦ Κρόνου, κατὰ δὲ τὰς διαμετρήσεις ἢ καθυπερτερήσεις (τουτέστι κατὰ τὸ δεξιὸν τετράγωνον) τὸ ἀνάπαλιν Ἥλιον μὲν ὁ τοῦ Κρόνου, Σελήνην δὲ ὁ τοῦ Ἄρεως. καὶ ἄλλοι δὲ τῶν ἀρχαίων εἰρήκασι τὰ σχήματα ταῦτα φυσικῶς σκεπτόμενοι· ἄκρατον γὰρ τυγχάνων πῦρ ὁ τοῦ Ἄρεως ταῖς ἐπαναφοραῖς ἐντείνει τὸν Ἥλιον θερμὸν ὄντα εἰς ἀναίρεσιν, ὁ δὲ τοῦ Κρόνου ψυχρὸς τὴν Σελήνην ὑγρὰν οὖσαν ψύχει. λέγει δὲ τὴν ἐπίτασιν μάλιστα γίνεσθαι τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κακώσεως ὅταν οἱ κακοποιοὶ τύχωσι κατειληφότες τοὺς τόπους τῶν οἰκοδεσποτούντων τοῖς φωσίν, οἷον εἰ τὰ μὲν φῶτα εἴη ἐν Ἰχθύσιν, καθυπερτερεῖ δὲ Ἄρης ἢ Κρόνος ἐν Τοξότῃ ὅς ἐστιν οἶκος τοῦ Διὸς τοῦ οἰκοδεσποτοῦντος τοῦ τόπου τῶν φώτων (τουτέστι τῶν Ἰχθύων).

194 ἐπαναφέρεσθαι δὲ δύναται εἰ τὰ μὲν φῶτα εἴη ἐν Αἰγοκέρωτι, οἱ δὲ κακοποιοὶ εἶεν ἐν Ὑδροχόῳ· διαμετρεῖν δὲ οὐκέτι δύνανται τὰ φῶτα, ἀλλ' ἢ ἄρα ἐκ τῶν ὁρίων διὰ τὸ ἐν ἑκάστῳ ζῳδίῳ εἶναι ὅρια τῶν ε ἀστέρων. Ἐὰν δὲ καὶ δύο διαμετρήσεις τυγχάνωσι τῶν φώτων ἐπικέντρων κατ' ἰσομοιρίαν, δῆλον, φησίν, ὅτι νεκρὰ καὶ ἡμιθανῆ τίκτεται τὰ βρέφη, ἐὰν δὲ ἀπόρροιαν ἀπό τινος τῶν ἀγαθοποιῶν ἔχοντα τὰ φῶτα τυγχάνῃ καὶ ἄλλως αὐτοῖς ἐσχηματισμένα ἐν τοῖς προηγουμένοις αὐτῶν μέρεσι, μὴ μέντοι γε τὰς ἀκτῖνας αὐτοῖς ἐπιφερόντων, ἐπιζήσεται τὸ τεχθέν, ἀντὶ τῶν μεταξὺ τῆς τε ἀφέσεως καὶ τῶν ἐγγυτέρω κακοποιῶν ἀκτίνων ἀριθμούντων ἡμῶν τοὺς ἴσους μῆνας ἢ ἡμέρας ἢ ὥρας παρὰ τὸ μέγεθος τῆς κακώσεως καὶ τὴν δύναμιν τῶν τὸ αἴτιον ποιούντων. ἐπὰν γὰρ ὁ Ἥλιος καὶ ἡ Σελήνη ἀπό τινος τῶν ἀγαθοποιῶν ἀπόρροιαν ποιούμενοι τοῖς κακοποιοῖς συνάπτωσιν ἐν ταῖς ἐπαναφοραῖς αὐτῶν ὑπάρχουσι κατὰ τὸ διάστημα τὸ πρὸς τοὺς κακοποιοὺς τῆς Σελήνης καὶ τοῦ Ἡλίου, κατ' αὐτὴν τὴν ἀναφορὰν μεριζομένων αὐτοῖς τῶν ἐτῶν ἢ τῶν μηνῶν ἢ τῶν ἡμερῶν παρὰ τὸ μέγεθος τῆς κακώσεως γινομένης τῆς διαφορᾶς. Ἐκτίθησι δὲ τούτου καὶ ὑπόδειγμα ὁ πολυμαθέστατος Πορφύριος. ἔστω, φησίν, ὁ Ζεὺς ἐν Καρκίνῳ, Σελήνη δὲ ἀπορρεύσασα ἀπ' αὐτοῦ (φερέσθω ἐπὶ μοῖραν η′ τοῦ Λέοντος), ὁ δὲ Ἄρης ἔστω ἐπαναφερόμενος τῇ Σελήνῃ ἐν Παρθένῳ μοίρᾳ η′. τοσοῦτον χρόνον ζήσεται τὸ γεννηθὲν ὅσαι αἱ μεταξὺ μοῖραι τοῦ Λέοντος ἐπὶ η′ μοῖραν Παρθένου, οὐ μέντοι τῶν μεταξὺ μοιρῶν εἰς ἐνιαυτοὺς λογιζομένων, ἀλλ' εἰς μῆνας ἢ ἡμέρας ἢ ὥρας, κἂν μὴ ὁ Ζεὺς δὲ ᾖ ἐν Καρκίνῳ, συσχηματίζηται δὲ τῇ Σελήνῃ ἐν Λέοντι οὔσῃ κατὰ τρίγωνον ἀκτῖνα ἀπὸ Κριοῦ ταύτην ἐπιθεωρῶν· βαλλέτω δὲ τὴν ἀκτῖνα μὴ εἰς τὰ μετὰ τὰς η μοίρας τοῦ Λέοντος, ἀλλ' εἰς τὰ πρὸ τῶνη · ἐὰν γὰρ μεσεμβολῶνται παρὰ τοῦ Διὸς αἱ ἀκτῖνες, οὐδὲν πείσονται.

195 οὕτω δὲ ἐχόντων τῶν κακοποιῶν κατὰ τὴν πρὸς τὰ φῶτα ἐπαναφοράν, ἐπιζήσεται μὲν τὸ τεχθέν, οὕτω δὲ ὀλιγοχρονήσει ὡς τὰς ἐπαναφερομένας μοίρας μὴ ἐτῶν παρέχειν ἀριθμόν, ἀλλὰ μηνῶν ἢ ἡμερῶν. Ἑξῆς δέ φησιν ὁ Πτολεμαῖος· ἐὰν δὲ αἱ τῶν κακοποιῶν ἀκτῖνες εἰς τὰ προηγούμενα φέρωνται τῶν φώτων, αἱ δὲ τῶν ἀγαθοποιῶν εἰς τὰ ἑπόμενα, τὸ γεννώμενον ἐκτεθὲν ἀναληφθήσεται καὶ ζήσεται. τοῖς δὲ ἐφεξῆς Ἀντίοχός τε καὶ Ἀπολινάριος σχεδὸν τὰ αὐτὰ λέγουσιν· ἔστω, φασίν, ὁ Ἥλιος καὶ ἡ Σελήνη ἐν Λέοντι μοίρᾳ ι′, βαλλέτωσαν δὲ ἀκτῖνας Κρόνος μὲν ἐκ Κριοῦ ἐπὶ Καρκίνον τετραγωνικῶς, Ἄρης δὲ ἐπὶ τὰς πρώτας μοίρας Λέοντος κατὰ διάμετρον ἐξ Ὑδροχόου, Ἡλίου καὶ Σελήνης ἀφεστηκότων τῆς ἀρχῆς τοῦ Λέοντος μοίρας ι , βαλλέτω δὲ καὶ ὁ Ζεὺς ἀκτῖνα τριγωνικῶς ἀπὸ Τοξότου ἐπὶ τὴν κ′ ἢ ιε′ τοῦ Λέοντος. τὸ οὖν οὕτω γεννώμενον ἐὰν μὴ ἐκ τῆς συνόδου τῶν φώτων ἄλλως βλάπτηται, ἐκτεθὲν ἀναληφθήσεται καὶ ζήσεται, ἀλλὰ τοῦ μὲν Διὸς καθυπερτεροῦντος τριγωνικῷ σχήματι τὸν Κρόνον, εἰς τεκνοποιίαν ἀναληφθήσεται, εἰ δὲ καθυπερτεροῖντο οἱ ἀγαθοποιοὶ ὑπὸ τῶν κακοποιῶν ἀναληφθήσεται μὲν καὶ ζήσεται πλὴν δουλεύσει τῷ ἀναληψομένῳ. εἰ μέντοι οἱ ἀγαθοποιοὶ ἢ τούτων τις ἀνατολικὸς εἴη ἢ συναφὴν ποιοῖτο πρὸς Σελήνην, οἱ δὲ κακοποιοὶ πρὸς δύσιν εἶεν ἢ τούτων τις, ὑπ' αὐτῶν πάλιν τῶν γονέων ἀναληφθήσεται. Κατὰ τὸν αὐτὸν δὲ τρόπον, φησίν, καὶ ἐπὶ τῶν διδυμογόνων σχημάτων ἢ πλειστογόνων συμβαίνει, θεωρεῖται δὲ τὸ σχῆμα τοῦτο ἀπό τε τῶν φώτων καὶ τοῦ ὡροσκόπου, τῶν τε λόγον ἐχόντων πρὸς αὐτοὺς ἀστέρων ἢ τόπων.

196 δισώμων γὰρ ὄντων τῶν τριῶν τόπων, καὶ μάλιστα τῶν δεσποζόντων ἀστέρων τῶν τόπων ἐν δισώμοις ὁμοίως ὄντων καὶ τῶν περὶ τὰ φῶτα καὶ τὸν ὡροσκόπον συμπτωμάτων θεωρουμένων, συμβαίνειν δίδυμα γεννᾶσθαι. ἐὰν δέ, φησίν, ὑπὸ δύσιν τις ᾖ καὶ διὰ τοῦτο ἐλαττούμενος τῶν κατὰ δύο ἢ πλείους συνεσχηματισμένων ἀστέρων, ἡμιθανὲς ἔσται τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συντεχθησόμενον τῷ γεννωμένῳ ἢ σάρκωμά τι ἀτελές, ὅπερ ἐπικύημα καλοῦσιν, ἐὰν δὲ μὴ ὑπὸ δύσιν ᾖ, καθυπερτερῆται δὲ ὑπὸ κακοποιῶν, ἄτροφον, φησίν, ἢ ἄχρονον ἔσται τὸ ὑπὸ τῆς κατ' αὐτὸν αἰτίας συγγεγεννημένον, ὅθεν συμβαίνει τῶν διδύμων τὸ μὲν ζῆν, τὸ δὲ παραυτίκα θνῄσκειν ἢ μετ' ὀλίγον τινὰ χρόνον. Λέγει δὲ καὶ ταῦτα Δωρόθεος ἐν τοῖς περὶ χρόνων ζωῆς. ἀρίθμει, φησίν, ἐπὶ τῶν νυκτὸς γεννωμένων ἀπὸ Ἄρεως ἐπὶ Κρόνον, καὶ τὰ τοσαῦτα ἀπὸ ὡροσκόπου ἔκβαλλε, καὶ ἐὰν καταλήξῃ εἴς τι ζῴδιον οὗ κυριεύει Κρόνος ἐπίκεντρος ὤν, ἄτροφον γεννᾶται. ἐπὶ δὲ τῶν ἡμερινῶν ἔμπαλιν ἀπὸ Κρόνου ἐπὶ Ἄρην, καὶ τὰ ἴσα ὁμοίως ἀπὸ ὡροσκόπου, καὶ ἐὰν τοῦ τόπου εἰς ὃν καταλήξει Ἄρης ἐπίκεντρος ὢν κύριος εὑρίσκηται, ἄτροφον ὁμοίως ποιήσει. κἂν Ἄρης δὲ καὶ Κρόνος ὑπόγειοι ὦσιν ἐν θηριώδεσι ζῳδίοις καὶ τὴν Σελήνην ὁρῶσιν, τὸ παραπλήσιον ποιοῦσιν. Κριτόδημος δὲ ταῦτά φησιν. οἱ φωστῆρες ἐν ταῖς ἐσχάταις μοίραις τῶν ζῳδίων ὄντες ἀχρόνους ποιοῦσιν· Σελήνη ἐν ἐκλειπτικῷ συνδέσμῳ οὖσα καὶ ὑπὸ Ἡλίου καὶ Ἄρεως ὁρωμένη ἄχρονα ποιεῖ· Σελήνη ἐν τῷ βορείῳ πέρατι ὁμοίως ὑπὸ Κρόνου ὁραθεῖσα ἄχρονα ποιεῖ· Σελήνη δύνουσα πληρουμένη μὲν Ἄρεως ὡροσκοποῦντος, μειουμένη δὲ Κρόνου, ἄχρονα ποιεῖ. ἐὰν δὲ οἱ κακοποιοὶ τὰ κέντρα ἔχωσιν ἐν ἀλλοτρίοις τόποις, οἱ δὲ φωστῆρες ἐν ἀργῷ τόπῳ, ἄχρονα καὶ κυνόβρωτα ποιεῖ, καὶ ἐὰν οἱ κακοποιοὶ ἔχωσιν ἀνατολάς, οἱ δὲ ἀγαθοποιοὶ κρύψεις, τὸ αὐτὸ ποιοῦσιν.

197 καὶ ἐὰν ἐν ταῖς ἐκλείψεσιν Ἡλίου καὶ Σελήνης ὁ κύριος τοῦ ὡροσκόπου κρύψιν ἔχῃ καὶ μὴ χρηματίζῃ ὀλιγοχρόνια ποιεῖ, ἐὰν δὲ μηδεὶς χρηματίζῃ ἄχρονα. καὶ ἐὰν τοῦ ζῳδίου τὰ ἔσχατα μέρη ὡροσκοπῇ, τὰς δὲ πρώτας μοίρας κατέχωσιν οἱ κακοποιοί, ἄχρονα γεννᾶται, ὡς ἐπίπαν δὲ καὶ οἱ τικτόμενοι ἐν ταῖς ἐκλείψεσιν ἢ ἄχρονοι ἢ τυφλοὶ τίκτονται. καὶ ἐὰν ἡ Σελήνη ἀστέρι κακοποιῷ στηρίζοντι συνάψῃ, ὀλιγοχρόνια τὰ τικτόμενα ποιεῖ. Ἰστέον δὲ ὅτι χρὴ σκεπτομένους τὸν περὶ χρόνων ζωῆς τόπον χρήσασθαι ταῖς τῶν ζῳδίων ἀναφοραῖς κατὰ Πτολεμαῖον, οὗ καὶ τῇ μεθόδῳ ὡς ἀληθεστέρᾳ χρησόμεθα καὶ φυσικωτέρᾳ. κατὰ γὰρ τὰς ἐκ τούτου μεθόδους σκέψασθαι χρὴ καὶ τὰς οἰκείας ἀναφοράς, οὐχ ὑπονοητέον μέντοι ὡς τῶν ἀναφορῶν ἄλλως καὶ ἄλλως εὑρισκομένων ὑπὸ τὸν αὐτὸν παράλληλον. πόσοι τοίνυν χρόνοι τοῦ ἰσημερινοῦ συναναφέρονται ἑκάστῳ ζῳδίῳ οἵπερ καὶ εἰς ἐνιαυτοὺς παραλαμβάνονται, ἐκ τῶν κανόνων τῶν ἀναφορῶν ἑκάστου κλίματος ἐν τοῖς ἑξῆς γνωσόμεθα ἐκ τῆς μεθόδου ἣν αὐτὸς ἐκτίθεται. εἰ δ' ἀπὸ χειρὸς ὁλοσχερῶς βουληθοίημεν εὑρεῖν τὰς συναναφορὰς ἑκάστου ζῳδίου ἢ καὶ συμμεσουρανήσεις οὕτω ποιοῦμεν. ἔστω γὰρ Κριὸν ἀνατέλλειν ἐν μοίρᾳ κα′ ⍰ ″ κατὰ τὸν Πτολεμαῖον· γίνονται ἐνιαυτοὶ κα καὶ μῆνες η . ἀναλύω τὰ κα ἔτη εἰς μῆνας καὶ γίνονται οἱ πάντες μῆνες σξ , οὓς μερίζω παρὰ τὰς τοῦ ζῳδίου μοίρας λ , καὶ εὑρίσκω ἀνήκοντας ἑκάστῃ μοίρᾳ μῆνας η καὶ ἡμέρας κ , ταῖς δὲ δυσὶ μοίραις δηλονότι μῆνας ιζ καὶ ἡμέρας ι , ταῖς δὲ γ ὁμοίως τὸ τριπλοῦν ἤγουν μῆνας κς , καὶ ἐφεξῆς ὁμοίως. ἢ καὶ οὕτως· ἀναλύω τὰς κα ⍰ ″ μοίρας εἰς ξ καὶ γίνονται ἑξηκοστὰ ͵ ατ · ταῦτα μερίζω παρὰ τὰς λ μοίρας τοῦ ζῳδίου καὶ εὑρίσκω ἀνήκοντα ἑκάστῃ μοίρᾳ ζῳδίου λεπτὰ πρῶτα μγ καὶ β′κ · καὶ τὰ μὲν μ πρῶτα λεπτὰ ποιοῦσι μῆνας η , τὰ δὲ γ πρῶτα καὶ κ δεύτερα ἡμέρασκ · φανερὸν γὰρ ὡς ἑκάστῳ μηνὶ λεπτῶν πρώτων ε ἀνηκόντων ταῖς κ ἡμέραις γ πρῶτα ἀνήκουσι καὶ β′ κ .

198 αὕτη οὖν ἡ ἔφοδος ἔστω καθ' ἕκαστον ζῴδιον καὶ κλίμα. 〈κε′〉 Περὶ χρόνων ζωῆς Ἐκτίθησι μὲν τὴν τοῦ Πτολεμαίου λέξιν παραφράζων καί τινα διὰ τὸ σαφέστερον. καί, φησίν, ὁ περὶ χρόνων ζωῆς λόγος ἀνύεται ἔκ τε τῶν ἀφετῶν καὶ τῶν ἀφετικῶν τόπων. εἰσὶ δὲ ἀφέται μὲν ὁ Ἥλιος καὶ ἡ Σελήνη καὶ ὁ κλῆρος τῆς τύχης καὶ ἡ σύνοδος ἢ ἡ πανσέληνος καὶ ὁ ὡροσκόπος, ἀφετικοὶ δὲ τόποι τά τε γ κέντρα, τὸ ὡροσκοποῦν, τὸ μεσουρανοῦν καὶ τὸ δῦνον, καὶ ἡ ἐπαναφορὰ καὶ ἡ προαναφορὰ τοῦ μεσουρανήματος, ἵνα πρὸς τὸν ὡροσκόπον οἱ λοιποὶ τοὺς δ τῶν σχημάτων ἀποδιδῶσι λόγους, ὁ μὲν ἐπαναφερόμενος τῷ μεσουρανήματι τὸν τοῦ ἑξαγώνου, ὁ δὲ τοῦ μεσουρανήματος τὸν τοῦ τετραγώνου, ὁ δὲ προαναφερόμενος τὸν τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τριγώνου, ὁ δὲ κατὰ τὸ δῦνον τὸ διάμετρον. δεῖ οὖν, φησίν, τὸν ἀφέτην καὶ ἐν ἀφετικῷ εἶναι τόπῳ καὶ ὁρᾶσθαι ὑπὸ τοῦ οἰκοδεσπότου ἤγουν τοῦ κυρίου τοῦ τόπου κατὰ τὸν οἶκον ἢ κατὰ τὰ ὅρια ἢ κατὰ τὸ ὕψωμα ἢ κατὰ τὸ τρίγωνον· εἰ γὰρ μὴ θεωροῖτο, οὐκ ἔσται ἀφέτης. Δεῖ δὲ πρῶτον τὸν τῆς αἱρέσεως τοῦ φωτὸς ζητεῖν, οἷον εἰ μὲν εἴη ἡ γένεσις ἡμερινὴ τὸν Ἥλιον, εἰ δὲ νυκτερινὴ τὴν Σελήνην. καὶ εἰ μὲν εὑρεθείη τὸ τῆς αἱρέσεως φῶς— ἤγουν ἡμέρας μὲν ὁ Ἥλιος, νυκτὸς δὲ ἡ Σελήνη—ἐν ἀφετικῷ τόπῳ καὶ θεωροῖτο ὑπό τινος οἰκοδεσπότου, αὐτῷ χρησόμεθα τῷ κατὰ τὴν αἵρεσιν. εἰ δὲ μὴ εἴη, τὸν ἄλλον φωστῆρα σκοπήσομεν τὸν παρὰ τὴν αἵρεσιν, οἷον τοῦ μὲν Ἡλίου μὴ ὄντος ἐν ἀφετικῷ τόπῳ κατὰ τὴν ἡμερινὴν γένεσιν τῇ Σελήνῃ, τῆς δὲ Σελήνης μὴ οὔσης κατὰ τὴν νυκτερινὴν γένεσιν τῷ Ἡλίῳ.

199 εἰ δὲ μηδέτερον τῶν φώτων εἴη ἀφέτης ὡς μὴ ἔν τινι τῶν ἀφετικῶν εὑρεθὲν τόπων, παραληψόμεθα ἐκ τῶν ε πλανωμένων τὸν πλείους ἔχοντα λόγους οἰκοδεσποτίας πρός τε τὸν Ἥλιον καὶ τὴν πρὸ τῆς γενέσεως γεγενημένην σύνοδον (ἡμερινῆς δηλονότι τῆς γενέσεως οὔσης) καὶ ἔτι πρὸς τὸν ὡροσκόπον, νυκτὸς δὲ εἰ μήτε ἡ Σελήνη μήτε ὁ Ἥλιος παραλήψεται τὸ ἀφιέναι, ὁ πλείους ἔχων λόγους οἰκοδεσποτίας πρός τε τὴν Σελήνην καὶ τὴν προγενομένην πανσέληνον παραλήψεται τὴν κυρείαν τῆς ἀφέσεως. εἰ δὲ μηδὲ οὗτος, συνοδικῆς μὲν οὔσης τῆς προγεγενημένης συζυγίας ὁ ὡροσκόπος, πανσεληνιακῆς δὲ ὁ κλῆρος τῆς τύχης. εἰ δὲ καὶ ἀμφότερα τὰ φῶτα ἢ καὶ ὁ τῆς οἰκείας αἱρέσεως οἰκοδεσπότης ἐν ἀφετικοῖς εἶεν τόποις, ὁ ἐν τῷ κυριωτέρῳ τόπῳ τῶν ἀφετικῶν παραληφθήσεται· τάξιν γὰρ αὐτῶν παραδέδωκε τοιαύτην ὥστε προκρίνεσθαι μὲν τὸ ὑπὲρ γῆν μεσουράνημα, εἶτα τὸν ὡροσκόπον, μεθ' ὃν τὸ ἐπαναφερόμενον τῷ μεσουρανήματι, εἶτα τὸ δῦνον, καὶ ἐπὶ πᾶσι τὸ προηγούμενον τοῦ μεσουρανήματος. ἤρτηται οὖν, ὡς ἔφημεν, τὸ πᾶν τοῦτο κεφάλαιον ἔκ τε τῶν ἀφετικῶν τόπων καὶ τῶν ἄφεσιν δυναμένων ποιεῖν τῶν χρόνων τῆς ζωῆς καὶ ἔμπαλιν τῶν ἀναιρεῖν δυναμένων, διακρίνεται δὲ ἕκαστον τούτων οὕτως. Τόπους μὲν γὰρ ἀφετικοὺς ε ὡρίσατο ὧν ἐν ἑνὶ χρὴ εἶναι τὸν τὴν κυρείαν τῆς ἀφέσεως λαμβάνοντα ἀστέρα, τό τε περὶ τὸν ὡροσκόπον δωδεκατημόριον ἀπὸ ε μοιρῶν τῶν προαναφερομένων ἄχρι καὶ τῶν λοιπῶν κε τῶν ἐπαναφερομένων τῇ ὡροσκοπούσῃ (εἰσαγομένης δηλονότι καὶ αὐτῆς), καὶ ταύταις ταῖς λ μοίραις δεξιὰς (τουτέστιν εἰς τὰ προηγούμενα) ἑξαγώνους μὲν τὰς τοῦ ια′ τόπου ὃν καὶ ἀγαθὸν δαίμονά φασιν, τετραγώνους δὲ τὰς τοῦ ὑπὲρ γῆν μεσουρανήματος, τριγώνους δὲ τὰς τοῦ θ′ τόπου ὃς ἀπόκλιμα μέν ἐστι καὶ προαναφορὰ τοῦ μεσουρανήματος, καλεῖται δὲ θεοῦ, καὶ διαμέτρους τὰς τοῦ δύνοντος ὡς συμβαίνειν καὶ ἐπὶ τῆς δυνούσης μοίρας ε μὲν εἶναι τὰς προκαταδυομένας μοίρας, κε δὲ μετ' αὐτῆς τῆς πρὸς τὴν δύσιν τὰς ἔτι ὑπὲρ γῆν καὶ ἑπομένας αὐτῇ τῇ δυνούσῃ.

200 σημειωτέον δὲ ὅτι οὐκ εἶπε δωδεκατημόρια ἀλλὰ πλευρὰς ἑξαγώνους τε καὶ τετραγώνους καὶ τριγώνους διὰ τὸ μὴ πάντοτε εἰς τὸ ἀπὸ ὡροσκόπου δ′ ζῴδιον ἤγουν τὸν ι′ τόπον πίπτειν τὸ μεσουράνημα μήτε εἰς τὸν ια′ τὸν ἀγαθὸν δαίμονα μήτε εἰς τὸν θ′ ὃς καλεῖται θεός· διὰ γὰρ τοῦ εἰπεῖν ἑξαγώνους καὶ τετραγώνους καὶ τριγώνους πλευρὰς ὑπηνίξατο ὡς μὴ δεῖν πάντοτε τριακονταμοιρίαις διακρίνειν τοὺς τοιούτους τόπους (τοὺς περὶ τὸ μεσουράνημα δηλαδή), ἀλλ' ἔστιν ὅτε καὶ πλείοσι τῶν λ καὶ αὖ ἐλάττοσι κατὰ τὸ ἀνάλογον τῆς διαστάσεως τῶν β κέντρων τοῦ τε ὡροσκόπου καὶ τοῦ μεσουρανοῦντος, ἢ τοῦ μεσουρανοῦντος καὶ τοῦ δύνοντος. Γίνεται δὲ ἡ τούτων διάκρισις οὕτως, ὡς ὁ Παγχάριος ἐπεσημήνατο τὸν τόπον τοῦτον ὑπομνηματίζων καὶ φάσκων οὑτωσί. οὐχ ἁπλῶς δεῖ λαμβάνειν τὰς προαναφερομένας ε μοίρας καὶ ἐπαναφερομένας κε · πολλάκις γὰρ οὐχ εὑρίσκεται λ μοιρῶν τελείων τὸ δωδεκατημόριον καθάπερ οἱ πολλοὶ ποιοῦσι μὴ κατὰ λόγον. λαμβάνειν οὖν χρὴ τὴν διάστασιν τῶν μοιρῶν ἀπὸ τῆς μεσουρανούσης ἄχρι τῆς ὡροσκοπούσης καὶ ζητεῖν πότερον ἐλλείπει τῶν ϙ μοιρῶν ἢ πλεονάζει, καὶ λαβόντας τὴν διαφορὰν σκοπεῖν πηλίκον μέρος ἐστὶν αὕτη τῶν ϙ , καὶ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τηλικοῦτον μέρος ἢ ἀφαιρεῖν τῆς τριακονταμοιρίας τῶν δωδεκατημορίων ὅταν ἡ διάστασις τῶν κέντρων ἐλάττων ᾖ τῆς ἐνενηκονταμοιρίας τοῦ τεταρτημορίου ἢ προστιθέναι ὅταν δηλονότι πλείων ᾖ.

201 καὶ φανερὸν ὡς ὅταν ἡ διάστασις τῶν μοιρῶν τῆς τε ὡροσκοπούσης καὶ τῆς μεσουρανούσης ἐλάττων ᾖ τῶν ϙ μοιρῶν, ἡ διάστασις τῆς μεσουρανούσης καὶ δυνούσης πλείων ἔσται τῶν ϙ ταῖς αὐταῖς μοίραις αἷς ἐκείνη ἐλάττων ἐστίν· συναμφότεραι γὰρ αἱ διαστάσεις τὰς τοῦ ἡμικυκλίου περιέχουσι μοίρας ρπ . Ἐκκείσθω δὲ ἡμῖν καὶ ὑπόδειγμα τούτου χάριν σαφηνείας ἕνεκεν. ἔστω τινὰ ἔχειν τὸν ὡροσκόπον Ὑδροχόου μοῖραν κε′, τὸ δὲ μεσουράνημα Τοξότου μοῖραν ε′. ἀριθμήσας ἀπὸ τῆς ε′ μοίρας τοῦ Τοξότου ἕως τῆς κε′ μοίρας τοῦ Ὑδροχόου ἔχω μοίραςπ · ἔχω γὰρ κε τοῦ Τοξότου καὶ Αἰγοκέρωτος λ καὶ Ὑδροχόου κε . οὐκοῦν ἐλλείπουσι μοῖραι ι , αἵπερ εἰσὶ μέρος τῶν ϙ θ′. λαβὼν οὖν ἀπὸ τῆς ε′ μοίρας τοῦ Τοξότου ὡς πρὸς ἀνατολὰς μοίρας ιε καὶ τούτων τὸ θ′ (ὅπερ ἐστὶ μοῖρα α ἑξηκοστὰ μ ) ἀφελὼν τῶν ιε μοιρῶν, τὰς λοιπὰς ιγ κ προσθεὶς ταῖς ε μοίραις τοῦ κατὰ τὸν Τοξότην μεσουρανήματος, τὰς γινομένας τοῦ Τοξότου ιη κ ἔσχον τέλος μὲν τοῦ μεσουρανοῦντος δωδεκατημορίου, ἀρχὴν δὲ τοῦ ια′ τόπου, τουτέστι τοῦ ἀγαθοῦ δαίμονος. πάλιν δὲ τῶν τοῦ δωδεκατημορίου λ τὸ θ′ (ὅ ἐστι μοῖραι γ κ ) ἀφελὼν αὐτῶν τῶν λ , τὰς λοιπὰς κϛ μ προσθεὶς ταῖς εὑρεθείσαις τοῦ Τοξότου μοίραις ιη κ καὶ τῶν γενομένων μοιρῶν με ἀφελὼν τὰς τοῦ Τοξότου λ , τὰς λοιπὰς ιε αἵ εἰσι τοῦ Αἰγοκέρωτος ἔσχον τέλος μὲν τοῦ ἀγαθοῦ δαίμονος, ἀρχὴν δὲ τοῦ κακοδαιμονήματος.

202 καὶ ἔτι ταῖς αὐταῖς ιε τοῦ Αἰγοκέρωτος προσθεὶς τὰς ἀποδεδειγμένας τοῦ δωδεκατημορίου κϛ μ καὶ τῶν γενομένων μα κ ἀφελὼν τὰς τοῦ Αἰγοκέρωτος μοίρας λ , τὰς λοιπὰς ια κ τοῦ Ὑδροχόου ἔσχον τέλος μὲν τοῦ κακοδαιμονήματος, ἀρχὴν δὲ τοῦ ὡροσκοποῦντος δωδεκατημορίου ὥστε αἱ προαναφερόμεναι κατὰ ταύτην τὴν θέσιν τῇ ὡροσκοπούσῃ μοίρᾳ μοῖραί εἰσι ιγ μ καὶ οὐ ε . εἶτα μετελθὼν εἰς τὰ πρὸς δυσμὰς β κέντρα τό τε μεσουράνημα καὶ τὸ δῦνον, ἐπεὶ ἡ τούτων διάστασις μοιρῶν ἐστιν ρ , πλεονάζουσαι τῶν ϙ μοιρῶν ι αἵτινες πάλιν μέρος θ′ εἰσὶν αὐτῶν, καὶ λαβὼν ἀπὸ τῆς ε′ μοίρας τοῦ κατὰ τὸν Τοξότην μεσουρανήματος ὡς πρὸς δυσμὰς μοίρας ιε καὶ ταύταις τὸ θ′ αὐτῶν α μ προσθεὶς καὶ τῶν γενομένων ιϛ μ ἀφελὼν τὰς ε τοῦ Τοξότου καὶ τὰς λοιπὰς ια μ ἀφελὼν τῶν τοῦ Σκορπίου λ , τὰς λοιπὰς ιη κ τοῦ Σκορπίου ἔσχον ἀρχὴν μὲν τοῦ μεσουρανοῦντος δωδεκατημορίου, τέλος δὲ τοῦ καλουμένου θεοῦ. ταῖς δὲ τοῦ δωδεκατημορίου λ μοίραις προσθεὶς τὸ θ′ μέρος αὐτῶν (ὅ ἐστι μοῖραι γ κ ) καὶ τὰς γενομένας λγ κ προσθεὶς ταῖς τοῦ Σκορπίου ια κ καὶ τῶν γενομένων ὁμοῦ μοιρῶν μδ μ ἀφελὼν μὲν τὰς τοῦ Σκορπίου λ , ἀπὸ δὲ τῶν τοῦ Ζυγοῦ λ τὰς ιδ μ , τὰς λοιπὰς ιε τοῦ Ζυγοῦ ἔσχον μὲν ἀρχὴν τοῦ θ′ τόπου, τουτέστι τοῦ καλουμένου θεοῦ, τέλος δὲ τοῦ η′ τόπου ὃν καὶ τόπον ἀργὸν καλοῦσιν. πάλιν δὲ τὰς ἀποδειχθείσας τοῦ δωδεκατημορίου λγ κ προσθεὶς ταῖς τοῦ Ζυγοῦ ιε καὶ τῶν γενομένων μη κ ἀφελὼν μὲν τὰς τοῦ Ζυγοῦ λ , ἀπὸ δὲ τῶν τῆς Παρθένου λ τὰς ιη κ , τὰς λοιπὰς τῆς Παρθένου ια μ ἔσχον ἀρχὴν μὲν τοῦ η′ τόπου, τέλος δὲ τοῦ δύνοντος δωδεκατημορίου.

203 Οὕτως οὖν χρὴ ἡμᾶς ποιεῖν τὴν τῶν δωδεκατημορίων διαίρεσιν ἵνα μὴ λάθῃ ποτὲ ὁ ἀφέτης ἐκπεσὼν εἰς ἀργὸν τόπον ἢ ἐν ἀργῷ ὢν δόξῃ ἐν ἀφετικῷ εἶναι, ἢ ὄντα ἐπὶ τοῦ μεσουρανήματος ἢ ἄλλης θέσεως εἰς ἑτέραν ἡμεῖς αὐτὸν παραλάβωμεν μὴ ἀληθῶς οὕτως ἔχοντα. Ταῦτα μὲν σαφηνείας χάριν ἡμῖν μέχρι τούτων εἰρήσθω· οὐκ ὀκνητέον μέντοι καὶ ἔτι παρεκτεῖναι τὸ σκέμμα διὰ τὴν πολυμερῆ καὶ πολυθρύλλητον αὐτοῦ θεωρίαν. τοὺς μὲν οὖν ἀφετικοὺς ε τόπους οὕτως ἔχομεν διευκρινημένους, ἕκαστον εἰς τὴν οἰκείαν ποσότητα τῶν μοιρῶν. προκρίνονται δὲ ἐν τούτοις εἰς δύναμιν ἐπικρατήσεως πρῶτον μὲν τὸ ὑπὲρ γῆν μεσουράνημα (τουτέστιν ὅλον τὸ περὶ τὴν μεσουρανοῦσαν μοῖραν δωδεκατημόριον καθὰ διακέκριται), εἶτα τὸ κατὰ τὴν ἀνατολὴν ἤγουν τὴν ὡροσκοποῦσαν μοῖραν (καὶ τοῦτο ὡς διακέκριται), εἶτα τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ τὴν ἐπαναφορὰν τοῦ μεσουρανήματος, εἶτα τὸ περὶ τὴν δύνουσαν μοῖραν, καὶ ἐπὶ πᾶσι τελευταῖον τὸ κατὰ τὸν θʹ τόπον τὸν καλούμενον θεόν. τὸ δὲ ὑπὸ γῆν, φησίν, πᾶν ἡμισφαίριον ἀθετητέον πρὸς τὴν τηλικαύτην κυρείαν πλὴν μόνων τῶν παρ’ αὐτὴν τὴν ἐπαναφορὰν εἰς φῶς ἐρχομένων καὶ ἔτι τῶν πρὸ τῆς δυνούσης καταδεδυκυιῶν μοιρῶν, καὶ ἔτι τοῦ ὑπὲρ γῆν ἡμισφαιρίου οὔτε τὸ ἀσύνδετον τῷ ὡροσκόπῳ ὅπερ ἐστὶ τὸ ηʹ, ὃ ἀργὸς τόπος καλεῖται, οὔτε τὸ ιβʹ τὸ καὶ κακοδαιμόνημα λεγόμενον παραληπτέον διὰ τὸ τὰ ἄστρα, φησίν, ἐν αὐτοῖς ὄντα μετὰ τοῦ ἀποκεκλικέναι ἔτι καὶ τὸ ἐκ τῶν τῆς γῆς ὑγρῶν ἀναθυμιάσεων παχὺ καὶ ἀχλυῶδες ἐμπόδιον ἔχειν πρὸς τὴν ἀπ’ αὐτῶν ἐπὶ τὴν γῆν ἀπόρροιαν, δι’ ὃ καὶ παρὰ τὰ χρώματα καὶ τὰ μεγέθη ἃ κατὰ φύσιν ἔχουσι φαίνονται. Ἀφέτας δ’ ὡρίσατο ἡμέρας μὲν τὸν Ἥλιον πρῶτον, εἴπερ δηλονότι ἔν τινι τῶν ἀφορισθέντων ἀφετικῶν ε τόπων εὑρεθείη, εἰ δὲ μὴ τὴν Σελήνην ὁμοίως, εἰ δὲ μηδὲ αὕτη εὑρίσκοιτο ἔν τινι τούτων τὸν δυνάμενον ἐκ τῶν ε ἀστέρων λόγους ἔχειν οἰκοδεσποτίας πρός τε τὸν Ἥλιον (ἤγουν τὸ δωδεκατημόριον ὃ ἐπέχει ὁ Ἥλιος) καὶ τὴν προγενομένην τῆς γενέσεως σύνοδον καὶ τὸν ὡροσκόπον, οὐχ ἵν’ ἐξ ἀνάγκης καὶ πρὸς τοὺς τρεῖς λόγους ἔχῃ οἰκοδεσποτίας (τοῦτο γὰρ ἀδύνατον εἰ μὴ εἴη ἡ σύνοδος κατ’ αὐτὴν τὴν ὥραν τῆς γενέσεως ἢ καὶ πρὸ αὐτῆς ἔγγιστα), ἀλλὰ κἂν μὴ πρὸς τὰ γ ἀλλ’ οὖν πρὸς τὰ β ἢ τέως πρὸς τὸ α , εἰ δὲ μηδ’ ἐκ τῶν ε ἀστέρων εὑρίσκοιτό τις τὴν κυρείαν τῆς ἀφέσεως εἰληφώς, τὸν ὡροσκόπον.

204 ἐπισαφηνίζων δ’ ἐφεξῆς ὁ Πτολεμαῖος τίνας εἶπεν οἰκοδεσποτικοὺς λόγους ἐπάγει λέγων· ὅταν τῶν οἰκοδεσποτικῶν λόγων ε ὄντων, τοῦ τε κατὰ τοὺς οἴκους, τοῦ κατὰ τὰ ὑψώματα, τοῦ κατὰ τὰ ὅρια, τοῦ κατὰ τὰ τρίγωνα, καὶ ἔτι τοῦ κατὰ τὰς φάσεις, εὑρεθῇ τις τῶν ε ἀστέρων πλείονας ἔχων λόγους πρὸς ἕνα τῶν εἰρημένων γ Ἡλίου, συνόδου ἢ ὡροσκόπου, 〈…〉. καὶ οὕτω μὲν ἐπὶ τῶν ἡμερινῶν γενέσεων, ἐπὶ δὲ τῶν νυκτερινῶν πρῶτον μὲν ἀφέτην ὡρίσατο τὴν Σελήνην εἴπερ ἔν τινι τῶν ἀφετικῶν τόπων εὑρίσκοιτο, εἰ δὲ μὴ τὸν Ἥλιον. δῆλον δὲ ὡς οὐκ ἂν εὑρεθείη ὁ Ἥλιος ἀφέτης ἐν νυκτὶ εἰ μὴ μόνον πλησίον τοῦ ὁρίζοντος ὑπὸ γῆν ἔν τε ταῖς κε μοίραις ταῖς ἐπαναφερομέναις μοίραις τῇ ὡροσκοπούσῃ καὶ ἐν ταῖς ε ταῖς προδεδυκυίαις τῆς δυνούσης. ἐὰν δὲ μηδὲ οὗτος τύχῃ ἔν τινι τῶν ἀφετικῶν τόπων, τὸν πλείονας οἰκοδεσποτίας λόγους ἔχοντα πρός τε τὴν Σελήνην καὶ τὴν προγενομένην πανσέληνον καὶ πρὸς τὸν κλῆρον τῆς τύχης 〈…〉. παρέδωκε δὲ καὶ μέθοδον τῆς εὑρέσεως τοῦ κλήρου τῆς τύχης, ὅστις καὶ σαφὴς ὢν οὐ δεῖται τῆς ἡμῶν ἑρμηνείας.

205 Ἐνταῦθα δ’ ὁ Παγχάριος ἐπιστατῶν ὡς ἐν εἴδει ἀπορίας περὶ τοῦ λόγον ἔχοντος οἰκοδεσποτίας πρὸς τὴν προγεγονυῖαν πανσέληνον τίνος χάριν εἴρηκε πανσέληνον καὶ οὐχ ἁπλῶς πρὸς τὴν ἔγγιστα συζυγίαν 〈…〉. ἴσως γὰρ ἀπίθανον δόξειεν ἂν τὸ ζητεῖν πανσεληνιακὴν συζυγίαν πρὸ τῆς γενέσεως γεγενημένην εἴπερ συνοδικὴ γένοιτο ἐγγύτερον. ἐπὶ μὲν γὰρ τῆς ἡμερινῆς γενέσεως κἂν ἡ ἔγγιστα προγεγενημένη συζυγία πανσεληνιακὴ εἴη οὐκ ἀλόγως δοκεῖ ἐπὶ τὴν συνοδικὴν ἀνατρέχειν ὡς προκαταρκτικὴν μᾶλλον οὖσαν ἢ τὴν πανσεληνιακήν, ἐπὶ δὲ τῶν νυκτερινῶν τίνα λόγον ἔχει ἀφέντας τὴν ἐγγύτερον συνοδικὴν ἐπὶ τὴν πανσεληνιακὴν ἀνατρέχειν; ἀλλ’ ἴσως, φησίν, διὰ τὸ τῆς νυκτὸς ἀφώτιστον, ἅμα δὲ καὶ τὸ τῆς Σελήνης κατὰ τὴν σύνοδον εὔλογον εἰς τὴν πανσέληνον ἀνατρέχειν φωτὸς οὖσαν πλήρη καὶ τὸ τῆς νυκτὸς ἀφώτιστον ἀναπληροῦσαν, ἴσως δ’ ὅτι καὶ οὗτος εὔλογον ἡγεῖται τὸ τὴν προγενομένην ἁπλῶς συζυγίαν ζητεῖν καὶ οὐκ ἐξ ἀνάγκης τὴν πανσεληνιακὴν ἐκ τῶν ἐφεξῆς εἰρημένων αὐτῷ δίδωσιν ὑπονοεῖν. φησὶ γὰρ ὡς ἐὰν μηδὲ ὁ οἰκοδεσπότης εὑρίσκηται ἔν τινι τῶν ἀφετικῶν τόπων χρῆσθαι δεῖ ἀφέτῃ εἰ μὲν ἡ προγενομένη συζυγία πανσεληνιακὴ εἴη τῷ κλήρῳ τῆς τύχης εἰ ἔν τινι τῶν ἀφετικῶν τόπων εἴη, εἰ δὲ συνοδικὴ τῷ ὡροσκόπῳ. σημειωτέον δ’ ὅτι ὁ ὡροσκόπος οὐ μόνον ἀφετικός ἐστι τόπος, ἀλλὰ καὶ ἀφέτης ἐστὶν ὅτε γίνεται ἐπὶ τούτοις. Ἐὰν δέ, φησὶν ὁ Πτολεμαῖος, συμβαίῃ εἶναι τὸν Ἥλιον καὶ τὴν Σελήνην κατὰ ἀφετικῶν τόπων,

εἶναι δὲ καὶ τὸν τῆς οἰκείας αἱρέσεως οἰκοδεσπότην (τουτέστιν ἡμέρας μὲν τὸν τοῦ Ἡλίου ἢ τὸν τῆς συνόδου ἢ τὸν τοῦ ὡροσκόπου, νυκτὸς δὲ τὸν τῆς Σελήνης ἢ τῆς πανσελήνου ἢ τοῦ κλήρου τῆς τύχης), τότε σκοποῦμεν τίς αὐτῶν τὸν δυνατώτερον ἐπέχει τόπον καὶ πλείονας οἰκοδεσποτίας λόγους ὧν ἐξηγήσατο, κἀκείνῳ δίδομεν τὴν κυρείαν τῆς ἀφέσεως.

206 Τότε δὲ μόνον τὸν οἰκοδεσπότην δεῖ προκρίνειν καὶ ἀμφοτέρων τῶν λοιπῶν ὅταν πρὸς τῷ κυριωτέρῳ ἐπεῖναι τόπῳ καὶ πρὸς ἑκατέρας τὰς αἱρέσεις οἰκοδεσποτίας λόγον ἔχῃ. Μετὰ δὲ τὸ διορίσασθαι καὶ τοὺς ἀφέτας ἐπὶ τοὺς τρόπους τῆς ἀφέσεως ἔρχεται, καὶ τούτους β παραδίδωσιν οἵ καί εἰσιν ὅ τε εἰς τὰ ἑπόμενα μόνον τῶν ζῳδίων ὅν φησιν ὑπὸ τὴν καλουμένην ἀκτινοβολίαν, περὶ ἧς ἀκτινοβολίας ἐν ταῖς ἀρχαῖς εἴρηται, ὅταν ἐν τοῖς ἀπηλιωτικοῖς (τουτέστι τοῖς ἀπὸ τοῦ μεσουρανήματος ἐπὶ τὸν ὡροσκόπον τόποις) ὁ ἀφέτης ᾖ, καὶ ὁ οὐ μόνον εἰς τὰ ἑπόμενα ἀλλὰ καὶ εἰς τὰ προηγούμενα κατὰ τὴν λεγομένην ὡριμαίαν ὅταν ἐν τοῖς ἀποκεκλικόσι τοῦ μεσουρανήματος τόποις ᾖ ὁ ἀφέτης. ὡριμαία δὲ ἐκλήθη ἡ τοιαύτη ἄφεσις ὅτι μόνη ἡ τοῦ δυτικοῦ κέντρου μοῖρα ἀναιρεῖ αὐτήν, προστιθέασι δὲ οἱ ἀγαθοποιοὶ καὶ ἀφαιροῦσιν οἱ κακοποιοὶ κατὰ τὴν ποσότητα τῶν ὡριαίων χρόνων ἑκάστης μοίρας αὐτῶν καὶ κατὰ τὴν ἀπὸ τοῦ ὡροσκόπου ἀπόστασιν. Τούτων δέ, φησίν, οὕτως ἐχόντων κατὰ μὲν τὴν εἰς τὰ προηγούμενα τῶν ζῳδίων ἄφεσιν ἀναιρετικὴ γίνεται μοῖρα ἡ τοῦ δυτικοῦ ὁρίζοντος μόνη διὰ τὸ ἀφανίζειν τὸν κύριον τῆς ζωῆς, δύνοντα δηλαδή, αἱ δὲ τῶν οὕτως ὑπαντώντων ἢ μαρτυρούντων ἀστέρων ἀφαιροῦσι μόνον καὶ προστιθέασιν ἔτη τοῖς μέχρι τῆς καταδύσεως τοῦ ἀφέτου συναγομένοις, οὐκ ἀναιροῦσι δὲ διὰ τὸ μὴ αὐτούς, ἤγουν τοὺς ἀστέρας, ἐπιφέρεσθαι, ἤγουν ἐπέρχεσθαι, ἐπὶ τοὺς τόπους τῶν ἀφετῶν ἀλλὰ τοὺς τόπους τῶν ἀφετῶν ἐπὶ τοὺς τόπους τῶν ἀστέρων.

207 τοῦτο δέ φησιν οὐ πρὸς τὴν ἐπὶ τοῦ ζῳδιακοῦ κίνησιν τῶν ἀστέρων ἀποσκοπῶν (κατὰ ταύτην γὰρ ἀπὸ τῶν προηγουμένων ἐπὶ τὰ ἑπόμενα οἱ ἀστέρες κινοῦνται), ἀλλὰ πρὸς τὴν ἐπὶ τοῦ διαθέματος καθ’ ἣν ὡς ἀπὸ τῶν ἑπομένων ἐπὶ τὰ προηγούμενα τοὺς τόπους μεταμείβουσιν. διὰ τοῦτο οὖν φησιν ἐπὶ τῆς τοιαύτης θέσεως· οὐκ ἀναιροῦσιν οἱ κακοποιοί, ἀλλὰ μόνον ἀφαιροῦσιν ὅτι οὐκ ἔρχονται οἱ κακοποιοὶ ἐπὶ τοὺς τόπους τῶν ἀφετῶν (τουτέστιν ὡς ἀπὸ τῶν προηγουμένων ἐπὶ τὰ ἑπόμενα), ἀλλὰ τὸ ἀνάπαλιν οἱ ἀφέται ἐπὶ τοὺς τόπους τῶν κακοποιῶν, ὡς ἀπὸ τῶν ἑπομένων δηλονότι ἐπὶ τὰ προηγούμενα. προστιθέασιν οὖν, φησίν, οἱ ἀγαθοποιοὶ ἐπὶ ταύτης τῆς θέσεως καὶ ἀφαιροῦσιν οἱ κακοποιοί, τοῦ τοῦ Ἑρμοῦ πάλιν ὁποτέροις ἂν αὐτῶν συσχηματισθῇ προστιθεμένου. ὁ δὲ ἀριθμὸς τῆς προσθέσεως ἢ ἀφαιρέσεως θεωρεῖται διὰ τῆς καθ’ ἕκαστον μοιροθεσίας· ὅσοι γὰρ ἂν ὦσι τῆς ἑκάστου μοίρας ὡριαῖοι χρόνοι ἐν τῷ οἰκείῳ κλίματι, ἡμέρας μὲν οὔσης οἱ τῆς ἡμέρας, νυκτὸς δὲ οἱ τῆς νυκτός (τουτέστιν οἱ τῇ διαμετρούσῃ παρακείμενοι μοίρᾳ), τοσοῦτον πλῆθος ἐτῶν ἔσται τὸ τέλειον, ὅπερ ἐπὶ τῆς ἀνατελλούσης μοίρας ὄντων τῶν κακοποιῶν ἢ τῶν ἀγαθοποιῶν ὅλον λογιστέον, κατὰ τὸ ἀνάλογον δὲ τῆς ἀποχωρήσεως ὑφαιρετέον ἕως ἂν πρὸς τὴν δύσιν εἰς τὸ μηδὲν καταντήσῃ. Ἵνα δὲ μᾶλλον καὶ ἔτι σαφέστερον ποιήσωμεν τὸ τοιοῦτον ὅλον χωρίον, τουτέστι τὸ λεγόμενον ὑπ’ αὐτοῦ ὅτι ἐὰν εὑρεθῇ ὁ ἀφέτης ἐν ταῖς ἀποκεκλικυίαις τοῦ μεσουρανήματος μοίραις ποιήσεται τὴν τῶν χρόνων ἄφεσιν ὡς ἐπὶ τὰ προηγούμενα κατὰ τὴν δύνουσαν μοῖραν ἣν καὶ ἀναιρετικὴν καλεῖ διὰ τὸ κατ’ αὐτὴν γενόμενον τὸν ἀφέτην, ἤγουν τὸν κύριον τῆς ζωῆς, καταδύεσθαι καὶ οἷον ἀφανίζεσθαι.

208 συνάγονται δὲ οἱ χρόνοι οἱ ἀπὸ τοῦ ἀφέτου ἄχρι τῆς δυνούσης μοίρας οὕτως· λαβόντες γὰρ τοὺς παρακειμένους ἀναφορικοὺς χρόνους τῇ τοῦ ἀφέτου μοίρᾳ ἐπὶ τοῦ ὑποκειμένου κλίματος καὶ ἔτι τοὺς παρακειμένους τῇ δυνούσῃ, καὶ ἀφελόντες ἀπὸ τῶν πλειόνων τὰς ἐλάσσονας, τὰς λοιπὰς τοσοῦτον πλῆθος ἐτῶν ἕξομεν ἀπὸ τῆς ἀφετικῆς μοίρας ἄχρι τῆς ἀναιρετικῆς. Οἷον ἔστω ἐπὶ ἡμερινῆς γενέσεως εἶναι μὲν τὸν ἀφέτην ἐν Τοξότου μοίρᾳ η′, τὴν δὲ δύνουσαν ἐν

Ζυγοῦ μοίρᾳ ι′. παράκεινται δὲ τῇ μὲν η′ τοῦ Τοξότου ἐπὶ τοῦ δι᾽ Ἑλλησπόντου κλίματος χρόνοι ἀναφορικοὶ σξς με , τῇ δὲ ι′ τοῦ Ζυγοῦ ρφα μ . ἀφαιρουμένων δὲ τῶν ρφα μ ἀπὸ τῶν σξς με , λείπονται οε ἔγγιστα ἃ καὶ εἰς ἔτη καταλογίζεται. μετὰ δὲ ταῦτα ζητοῦμεν καὶ τὸν ὑπαντήτορα εἴτε ἀγαθοποιὸν εἴτε κακοποιόν. καὶ εὑρόντες τὴν μοῖραν αὐτοῦ εἰσάγομεν ταύτην εἰς τὸ αὐτὸ κανόνιον τοῦ ὑποκειμένου κλίματος καὶ τοὺς παρακειμένους αὐτῇ ὡριαίους χρόνους ἔτη ἀπογραφόμεθα. καὶ ταῦτα ἔχοντες ὁλόκληρα εἴπερ ὁ ὑπαντήτωρ ἐν τῇ ὡροσκοπούσῃ μοίρᾳ εὑρίσκεται ἢ προστίθεμεν τοῖς τοῦ ἀφέτου ἔτεσιν εἴ ἐστιν ἀγαθοποιὸς ὁ ὑπαντήτωρ ἢ ἀφαιροῦμεν ἐξ αὐτῶν εἴ ἐστι κακοποιός.

209 καὶ τὰ οὕτω μετὰ τὴν προσθήκην ἢ ἀφαίρεσιν συναγόμενα ἔτη ἀποφαινόμεθα. Οἷον ἔστω ἐπὶ τοῦ προεκτεθέντος ὑποδείγματος ἐν ᾧ εὕρηται τὰ ἀπὸ τοῦ ἀφέτου ἔτη οε ὁ τοῦ Κρόνου κατὰ τὴν ὡροσκοποῦσαν μοῖραν τοῦ Κριοῦ ι′. καὶ ἐπεὶ κατὰ τὸ αὐτὸ τῶν ἀναφορῶν κανόνιον ἐπὶ τοῦ αὐτοῦ κλίματος τῇ ι′ τοῦ Κριοῦ παράκεινται χρόνοι ὡριαῖοι ιε ⍰ ἔγγιστα, τούτους ὡς ἔτη ἀφαιρῶν ἀπὸ τῶν τοῦ ἀφέτου οε τὰ λοιπὰ νθ ⍰ φήσομεν εἶναι τὸν ὅλον χρόνον τῆς ζωῆς τοῦ γεννωμένου. εἰ δὲ ἦν ὁ ἐπὶ τῆς ὡροσκοπούσης μοίρας ὑπαντήτωρ ἀγαθοποιός, ὡς φέρε εἰπεῖν ὁ Ζεὺς ἢ ἡ Ἀφροδίτη, προσετίθεμεν ἂν τὰ ιε ⍰ τοῖς οε , καὶ τὰ γενόμενα ϙ ⍰ ἐλέγομεν εἶναι τὸν χρόνον τῆς ζωῆς τοῦ γεννωμένου. καὶ ταῦτα μὲν εἰ ὁ ὑπαντήτωρ ἐπὶ τῆς ὡροσκοπούσης τύχοι μοίρας, εἰ δὲ μὴ κατὰ ἀναλογίαν τῆς ἀποχωρήσεως ἔσται καὶ ἡ λῆψις τῶν ὡριαίων χρόνων. ὅσων γὰρ ἂν καιρικῶν ὡρῶν ἡ ἀπὸ τῆς ὡροσκοπούσης μοίρας ἀπόστασις τοῦ ὑπαντήτορος ᾖ, τοσαῦτα ιβ′ τῶν ἐκ τοῦ κανόνος ὡριαίων χρόνων ἀφελόντες αὐτῶν τὰ λοιπὰ ἢ προσθήσομεν τοῖς τοῦ ἀφέτου ἢ ἀφελοῦμεν αὐτῶν. Οἷον ἔστω ὁ Κρόνος μὴ ἐπὶ τῆς ὡροσκοπούσης μοίρας, ἀλλ᾽ ἀφεστάτω ταύτης ὡς πρὸς δυσμὰς ὥραις καιρικαῖς γ . καὶ ἐπεὶ αἱ γ καιρικαὶ ὧραι γ ιβ′ εἰσὶ τῆς ἡμέρας, εἰσὶ δὲ καὶ τῶν ιε λ ὡριαίων χρόνων τὰ γ ιβ′ γ νβ ἔγγιστα, ταῦτα ἀφαιροῦμεν τῶν ιε λ καὶ τὰ λοιπὰ ια λη ἀφαιροῦμεν πάλιν ἀπὸ τῶν τοῦ ἀφέτου οε . καὶ τὰ λοιπὰ ξγ γ′ ἔγγιστα λέγομεν εἶναι ἔτη τῆς ὅλης ζωῆς τοῦ ἀνθρώπου, ὥστε εἰ ἔτυχεν ὁ Κρόνος ἐπὶ τῆς δυνούσης ο ἂν ἀφῃροῦμεν τῶν οε ἐτῶν τοῦ ἀφέτου. Καὶ οὕτω μὲν εἴπερ εἷς ἐστιν ὁ ὑπαντήτωρ, εἰ δὲ δύο, εἰ μὲν καὶ ἄμφω κακοποιοὶ καὶ ἀμφοτέρων ὁμοίως τὰ ἀπὸ τῶν ὡριαίων χρόνων οἰκείως ἑκάστου συναγόμενα ἔτη ἀφελοῦμεν τῶν τοῦ ἀφέτου ἐτῶν, εἰ δ᾽ ἀγαθοποιοὶ καὶ ἀμφότεροι προσθήσομεν, εἰ δ᾽ ἀγαθοποιὸς μὲν ὁ εἷς, κακοποιὸς δὲ ὁ ἕτερος, τὰ ἐλάσσονα ἐκ τῶν μειζόνων ἀφελόντες τὰ λοιπά, εἰ μὲν ἐκ τῶν τοῦ ἀγαθοποιοῦ ἦσαν προσθήσομεν τοῖς τοῦ ἀφέτου, εἰ δ᾽ ἐκ τῶν τοῦ κακοποιοῦ ἀφελοῦμεν.

210 οὕτω μὲν οὖν ἐπὶ τῶν ἡμερινῶν ποιοῦμεν γενέσεων, ἐπὶ δὲ τῶν νυκτερινῶν τἆλλα μὲν ἀπαραλλάκτως, τοὺς μέντοι ἀναφορικοὺς χρόνους τοῦ ἀφέτου καὶ τοὺς ὡριαίους τοῦ ὑπαντήτορος ἐκ τῶν παρακειμένων ταῖς διαμετρούσαις τῇ τε τοῦ ἀφέτου καὶ τῇ τοῦ ὑπαντήτορος λαμβάνομεν. Ἐὰν δὲ ἐπὶ τοῦ δύνοντος δωδεκατημορίου τύχῃ ὢν ὁ ἀφέτης, ὅρα, φησὶν ὁ Παγχάριος, μὴ ἐὰν οὕτω ποιῶμεν (τουτέστιν εἰς τὰ προηγούμενα ἀπὸ τῆς συνεγγιζούσης τῇ δυτικῇ μοίρᾳ ἣν καὶ ἀναιρετικήν φησιν) τῆς ἀφέσεως γινομένης ἄχρονος ἔσται ὁ τῆς ζωῆς κύριος. τοῦτο δέ φησιν ἢ λαθεῖν τὸν Πτολεμαῖον εἰς τὸ διευκρινῆσαι ἢ μὴ λαθὸν παραπέμπειν τὴν τούτου διάκρισιν πρὸς τοὺς ἐπιστήμονας, ὅθεν ἐγκρίνει ὁ Παγχάριος ὡς ἐὰν εὑρεθῇ ὁ ἀφέτης ἐπὶ τοῦ δυτικοῦ ὁρίζοντος εἰς τὰ ἑπόμενα τὴν ἄφεσιν αὐτοῦ ποιήσομεν· οὕτω γὰρ καὶ τὸ προαναφωνηθὲν αὐτῷ συμφωνήσει περὶ τῆς ἀφέσεως ὅτι οὐ μόνον εἰς τὰ προηγούμενα γίνεται, ἀλλὰ καὶ εἰς τὰ ἑπόμενα. ἐπὶ μὲν γὰρ τῶν ε μοιρῶν τῶν πρὸ τῆς δυνούσης οὐκ ἀμφίβολόν φησιν εἶναι ὅτι εἰς τὰ ἑπόμενα οἴσομεν τὸν ἀφέτην ἐπ᾽ αὐτὴν τὴν δύνουσαν, ἀλλ᾽ ὅμως εἰ αὕτη ἀναιρετικὴ εἴη ὀλιγοχρόνια ἔσται. εὕρομεν δὲ πολλάκις, φησίν, τῇ πείρᾳ καὶ ἐπὶ τούτων τῶν μοιρῶν καὶ ἐπὶ τῶν ἑξῆς τῇ δυνούσῃ μοίρᾳ δυνάμενον εἶναι ἀφέτην καὶ ὀλιγοχρονίους μὴ ποιεῖν τὰς γενέσεις. περὶ μὲν δὴ τοῦ ἑνὸς τρόπου τῶν ἀφέσεων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ εἰς τὰ προηγούμενα τοσαῦτα εἰρήσθω. Μεταβὰς δ' ἐντεῦθεν ὁ Πτολεμαῖος καὶ ἐπὶ τὸν ἕτερον τρόπον τὸν εἰς τὰ ἑπόμενα ποιοῦντα τὴν ἄφεσιν ὅταν ἀπὸ τῆς μεσουρανούσης μοίρας ἄχρι καὶ τῆς ὡροσκοπούσης ὁ ἀφέτης εὑρίσκηται, κατὰ δὲ τὴν εἰς τὰ ἑπόμενα, φησίν, τῶν ζῳδίων ἄφεσιν ἀναιροῦσιν οἵ τε τῶν κακοποιῶν τόποι Κρόνου καὶ Ἄρεως ἤτοι σωματικῶς ὑπαντώντων ἢ ἀκτῖνα ἐπιφερόντων ὁθενδήποτε τετράγωνον ἢ διάμετρον, ἐνίοτε δὲ καὶ ἐπὶ τῶν ἀκουόντων ἢ βλεπόντων κατ' ἰσοδυναμίαν ἑξάγωνον, καὶ αὐτὸς δὲ ὁ τῷ ἀφετικῷ τόπῳ τετράγωνος ἀπὸ τῶν ἑπομένων, ἐνίοτε δὲ καὶ ἐπὶ τῶν πολυχρονιούντων κακωθεὶς ὁ ἑξάγωνος ἀναιρεῖ, ἐπὶ δὲ τῶν ὀλιγοχρονιούντων πάλιν κακωθεὶς ὁ τρίγωνος.

211 Ὅταν, φησίν, ὁ ἀφέτης ἐν τῷ ἑτέρῳ τόπῳ τῷ ἀπὸ τῆς μεσουρανούσης μοίρας ἄχρι τῆς ὡροσκοπούσης ὑπάρχῃ, παρατηρητέον τὰς ὑπαντήσεις τῶν κακοποιῶν Κρόνου καὶ Ἄρεως ἢ σωματικῶς ὑπαντώντων, τουτέστιν ἐν τῷ αὐτῷ ζῳδίῳ ὄντων ἐν ᾧ δηλονότι καὶ ὁ ἀφέτης ἐστίν, ἢ ἀκτῖνα ἐπιφερόντων ποθὲν τετράγωνον ἢ διάμετρον ἢ καὶ ἐν ταῖς ἐφεξῆς μοίραις τοῦ ἀφέτου ὁμοίως· ὑποτίθεται δὲ τὸν μὲν ἀφέτην ὡς ἀκίνητον, τὸν δὲ ἀναιρέτην ἐπὶ τὸν ἀφέτην παραγίνεσθαι καὶ οὕτως ἀναιρεῖν. Τὰ μὲν οὖν τετράγωνα σχήματα καὶ διάμετρα ὡς ἀναιρετικὰ παρείληφεν, τὰ δὲ τρίγωνα ὡς συμπαθῆ καὶ τὰ ἑξάγωνα δὲ ὁμοίως, ἀλλ' ὡς ἀσθενέστερα. ἐνίοτε γάρ, φησίν, καὶ ἐκ τούτων ἀναίρεσις γίνεται, οὐ μέντοι ἁπλῶς οὐδ' ὡς ἔτυχεν, ἀλλ' ὡς ἐπὶ τῶν ἀκουόντων ἢ βλεπόντων κατ' ἰσοδυναμίαν ἑξάγωνον. ἀκούειν δὲ ἀλλήλων λέγονται τὰ ἀπὸ τοῦ αὐτοῦ ἢ καὶ ὁποτέρου τῶν ἰσημερινῶν σημείων κατ' ἴσην διάστασιν ἐσχηματισμένα ζῴδια, βλέποντα δέ εἰσι τὰ ἴσον ἀπέχοντα τῶν τροπικῶν, ἰσοδυναμοῦντα δὲ ἑξαγώνοις ἐστὶν ὅταν ἐν δύο ζῳδίοις ἡ ἀπόστασις ξ μοιρῶν ᾖ.

212 οἷον ὁ ἀφέτης ἔστω ἐν Ἰχθύων μοίρᾳ α′, ὁ δὲ ἀναιρέτης ἐν Κριοῦ μοίρᾳ λ′· τοῦτο τὸ σχῆμα ἑξάγωνόν ἐστι β ζῴδια ἀκούοντα ἄλληλα περιέχον. ἢ πάλιν ἔστω ἀφέτης ἐν Διδύμων μοίρᾳ α′, ἀναιρέτης δ' ἐν Καρκίνου λ′· καὶ τοῦτο τὸ σχῆμα ἰσοδυναμεῖ ἑξαγώνῳ ἐν ζῳδίοις ὄντι βλέπουσιν ἄλληλα. καὶ οὕτω γὰρ ἐὰν τύχωσιν ἔχοντες οἱ κακοποιοὶ πρὸς τοὺς ἀφέτας ἀναιροῦσιν. Καὶ πάλιν φησίν· ἐνίοτε δὲ καὶ ἐπὶ τῶν πολυχρονιούντων ζῳδίων κακωθεὶς ὁ ἑξάγωνος (τουτέστι παρεκταθείσης τῆς ἑξηκονταμοιρίας εἰς πλείονα ποσότητα μοιρῶν ὡς γενέσθαι τὸν ἑξάγωνον ἔγγιστα τετράγωνον διὰ τὸ ἑκάτερον τῶν περιεχομένων ζῳδίων πλείονας περιέχειν ἀναφορὰς τῶν λ ), καὶ ἐπὶ τῶν ὀλιγοχρονιούντων δὲ ὡσαύτως κακωθεὶς ὁ τρίγωνος (τουτέστιν ἐπὶ τῶν ὀλιγαναφόρων ζῳδίων δ ὄντων ἐλάττων συνάγηται ἡ ποσότης τῶν ἀναφορῶν αὐτῶν τῆς τῶν ρκ μοιρῶν κυρίως τριγωνικῆς πλευρᾶς). Τοῦτο δὲ τὸ λεχθὲν ὑπὸ Πτολεμαίου, φησὶν ὁ Παγχάριος, καὶ τῷ εἰρημένῳ μοι ἔμπροσθεν ὅτι οὐ δεῖ τὰ μεταξὺ τῶν κέντρων δωδεκατημόρια ἀνὰ λ μοίρας ποιεῖν, ἀλλὰ κατὰ τὴν ἐκτεθεῖσάν μοι μέθοδον πάνυ συμφωνεῖ. ἀναιρετικὸν δὲ τόπον διὰ μέσων τῶν ῥηθέντων εἶπεν, [τὸ] καὶ αὐτὸς δὲ ὁ τῷ ἀφετικῷ τόπῳ τετράγωνος ἀπὸ τῶν ἑπομένων· τὴν γὰρ τετράγωνον πλευρὰν πρὸς τὸν ἀφετικὸν καὶ μὴ ὄντος κακοποιοῦ ἐν αὐτῇ τὰ αὐτὰ δύνασθαι τῷ κακοποιῷ ὥστε καὶ ἄφευκτον ὡρίσαντο ταύτην οἱ παλαιοί. Ἑξῆς δέ φησιν ὁ Πτολεμαῖος. καὶ τῆς Σελήνης ἀφιείσης ὁ τοῦ Ἡλίου τόπος ἀναιρεῖ· ἰσχύουσι γὰρ αἱ κατὰ τὴν τοιαύτην ἄφεσιν ὑπαντήσεις καὶ ἀναιρεῖν καὶ σῴζειν ἐπειδὴ καὶ αὗται τῷ τοῦ ἀφέτου τόπῳ ἐπιφέρονται, καὶ τὰ λοιπὰ ἄχρι τοῦ βοηθούμενος ἢ ἀναλελυμένος. Σελήνης δὲ ἀφιείσης, φησίν, καὶ ὁ ἡλιακὸς τόπος ἀναιρεῖν δύναται, μάλιστα δὲ ἂν συντραπῇ ὑπό τινος κακοποιοῦ συνόντος, ὑπὸ μηδενὸς δὲ ἀγαθοποιοῦ βοηθηθῇ ἢ ἀναλυθῇ ἤγουν ἐμποδισθῇ τοῦ κακοποιῆσαι, καὶ πάλιν σῴζειν δύναται ἐναντίως ἔχων.

213 ἐπάγει δὲ καὶ ἐπὶ πάντων τὸ αὐτὸ τοῦτο παρατηρεῖσθαι τῶν φθοροποιεῖν δυναμένων ἐὰν εἰς ὅρια ἐκπέσωσιν ἀγαθοποιοῦ ἢ καὶ ἐὰν τῶν ἀγαθοποιῶν τις ἀκτῖνα συνεπιφέρῃ τετράγωνον ἢ τρίγωνον ἢ διάμετρον ἤτοι ἰσομοίρως πρὸς αὐτὴν τὴν ἀναιρετικὴν μοῖραν ἢ εἰς τὰ ἑπόμενα αὐτῆς (ἐπὶ μὲν Διὸς μὴ ὑπὲρ τὰς ιβ μοίρας, ἐπὶ δὲ Ἀφροδίτης μὴ ὑπὲρ τὰς η ), καὶ ἐὰν σωμάτων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄντων ἀμφοτέρων (τουτέστι σωματικῶς συνόντων τοῦ τε ἀφέτου καὶ τοῦ ἀναιρέτου) μὴ ᾖ καὶ ἀμφοτέρων τὸ αὐτὸ πλάτος (τουτέστι μὴ κατὰ τὸν αὐτὸν ἄνεμον τρέχωσιν)· ἐὰν γὰρ ἐπὶ τοῦ αὐτοῦ ὦσιν ἀνέμου ἀναίρεσις γίνεται ὄντως. ὑπαύγους δὲ ὄντας τοὺς ἀστέρας ἀδρανεῖς εἶναι πρὸς τὸ ἀναιρεῖν ἢ σῴζειν. ἐπιλέγει δὲ καὶ ὅπως δεῖ τά τε βοηθοῦντα καὶ βλάπτοντα συγκρίνειν καὶ ὁποῖα τούτων ἐπικρατεῖ ἔκ τε τοῦ πλήθους καὶ τῆς δυνάμεως ἑκατέρων πρὸς ἐπίτασιν ἢ ἄνεσιν τῶν ἑκατέρωθεν συμβαινόντων. Ταῦτα παραγγείλας καὶ διδάξας ὅπως δεῖ τὸν ἀναιρέτην ἐκλέγεσθαι μεταβαίνει εἰς τὸν περὶ διαστάσεων λόγον, τουτέστι τοὺς βιωσίμους χρόνους ὅπως δεῖ λογίζεσθαι, διδάσκων καὶ ἅμα αἰτιώμενος τοὺς πρὸ αὐτοῦ ὡς οὐκ εὐλόγως τοῖς ἀναφορικοῖς χρωμένοις χρόνοις μόνοις, ἀλλὰ τούτοις μὲν μόνοις φησὶ δεῖν χρῆσθαι ὅταν ἡ ἄφεσις ἀπὸ τοῦ ὡροσκόπου γίνηται ἤ τινος τῶν ἐπόντων αὐτῷ ἀστέρων, ἐπὶ μέντοι τοῦ μεσουρανήματος τοῦ ἀφέτου ὄντος ταῖς συμμεσουρανήσεσι ταῖς ἐπὶ τῆς ὀρθῆς σφαίρας δεῖ χρῆσθαι, ἐπὶ δὲ τοῦ δυτικοῦ ὁρίζοντος ταῖς καταφοραῖς (τουτέστι ταῖς τῶν διαμετρούντων ζῳδίων καταφοραῖς), ἐπὶ δὲ τῶν μεταξὺ τῶν κέντρων ὄντος τοῦ ἀφέτου ἀνάλογον τῇ πρὸς τὰ β κέντρα θέσει αὐτῶν.

214 ὡς μὲν οὖν συντόμως εἰπεῖν τοῦτο βούλεται, ἐπεὶ δὲ αἰτίαν τῆς ἀνισότητος τῶν τοιούτων χρόνων προαποδίδωσιν, διδασκαλικῶς τε αὐτὴν προάγων καὶ οἱονεὶ γραμμικῶς. Φέρε καὶ ἡμεῖς προσθῶμεν τῷ μέρει τούτῳ εἰς σαφήνειαν τῶν εἰρημένων. οἱ ἰσημερινοί, φησίν, χρόνοι ὁμαλῶς διέρχονται τόν τε ὁρίζοντα καὶ τὸν μεσημβρινὸν ἐπὶ μόνης τῆς ὀρθῆς σφαίρας· ἐπὶ ταύτης γὰρ ἀνατέλλει τε καὶ δύνει τὰ ζῴδια ἐν ὅσοις χρόνοις καὶ τὸν μεσημβρινὸν διέρχεται πανταχόθι, καὶ διὰ τοῦτο χρησίμους ἡγεῖται εἶναι πρὸς τὸ προκείμενον τοὺς ἐπὶ τοῦ κανόνος τῆς ὀρθῆς σφαίρας χρόνους. ἐπεὶ δὲ οὐδὲν ἕτερον πρόκειται νυνὶ ἰδεῖν ἢ τὸ μετὰ πόσους ἰσημερινοὺς χρόνους ἡ ἀποδειχθεῖσα ἀναιρετικὴ μοῖρα παραγίνεται ἐπὶ τὸν τοῦ ἀφέτου τόπον, οὐκ ἐν πᾶσι δὲ τοῖς κλίμασιν ὁμαλῶς οἱ χρόνοι διέρχονται τὸν ὁρίζοντα καὶ τὸν μεσημβρινὸν ὥσπερ ἐπὶ τῆς ὀρθῆς σφαίρας (ἄλλοι μὲν γὰρ οἱ τῆς ἀνατολῆς, ἄλλοι δὲ τῆς μεσουρανήσεως, καὶ ἕτεροι τῆς καταδύσεως, ὧν τὴν παραλλαγὴν ἰδεῖν ἔστιν ἐν τοῖς τῶν ἀναφορῶν κανόσιν), διὰ τοῦτο, φησίν, ἐὰν εὑρεθῇ ἀφέτης μεταξὺ τῶν κέντρων πως δεῖ γνῶναι ἐνταῦθα μετὰ πόσους ἰσημερινοὺς χρόνους ἐπὶ τὴν τοῦ ἀφέτου μοῖραν ἥξει ἡ ἀναιρετικὴ μοῖρα. ἀνάγκη γὰρ παραλλαγήν τινα τῶν χρόνων εἶναι τῆς διελεύσεως παρὰ τὰς ἐν τοῖς κέντροις. τίνα δὲ τρόπον ἡ τοιαύτη γίνεται διαφορὰ δείκνυσι διὰ τούτων. ὅμοιος μὲν γάρ, φησίν, καὶ ὁ αὐτὸς τόπος ἐστὶν 〈...〉. ἕως τοῦ δι’ ἀνίσων ἐκείνοις χρόνων τὰς παρόδους ἀπεργάζεται. Πάλιν ὁ Παγχάριος ἐξηγούμενος τὸν τόπον τοῦτον, ὥσπερ εἴπομεν, φησίν, ἐπὶ τῆς λοξώσεως τοῦ ζῳδιακοῦ πρὸς τὸν ἰσημερινὸν ὅτι ὅμοιός ἐστι καὶ ὁ αὐτὸς τόπος ὁ τὴν ὁμοίαν καὶ ἐπὶ τὰ αὐτὰ μέρη θέσιν ἔχων ἅμα πρός τε τὸν ὁρίζοντα καὶ τὸν μεσημβρινόν, ἀνόμοιος δὲ ὁ ἄλλως ἔχων, τοῦτο κἀνταῦθα συμβαίνει· ἂν γὰρ μεταξὺ τῶν κέντρων ἡ τοῦ ἀφέτου μοῖρα ᾖ ἐπὶ τοῦ ζῳδιακοῦ, οὐκ ἔχει τὴν αὐτὴν καὶ ὁμοίαν θέσιν καὶ ἐπὶ τὰ αὐτὰ μέρη (τὰ αὐτὰ δὲ μέρη λέγει τά τε βορειότερα τοῦ ἰσημερινοῦ καὶ τὰ νοτιώτερα) καθὰ δὴ καὶ ἡ λόξωσις οὐχ ὁμοίαν ποιεῖ τὴν θέσιν πανταχοῦ ἐπὶ τοῦ ὁρίζοντος καὶ τοῦ μεσημβρινοῦ.

215 συμβαίνει δέ, φησίν, ὁμοιότητα γίνεσθαι ἐὰν ἡμικύκλιον ποιήσαντες ἀπὸ τῶν τομῶν τοῦ τε ὁρίζοντος καὶ τοῦ μεσημβρινοῦ διαγάγωμεν διὰ τῆς μοίρας τοῦ ζῳδιακοῦ ἧς τὴν ὁμοίαν ζητοῦμεν διάστασιν ἀπό τε τοῦ ὁρίζοντος καὶ τοῦ μεσημβρινοῦ· περιενεχθείσης γὰρ τῆς σφαίρας καὶ ἐπὶ τοῦ κατὰ τὸ ἡμικύκλιον ἑτέρου σημείου τὴν μοῖραν περιαγαγούσης, αἱ αὐταὶ ἔγγιστα καιρικαὶ ὧραι γενήσονται τῆς ἀπὸ τοῦ μεσημβρινοῦ ἀποστάσεως. ὥσπερ δέ, φησίν, τῆς στροφῆς γινομένης ἡ αὐτὴ μὲν θέσις (ὥσπερ εἴπομεν) ἐπὶ τῶν κέντρων (τουτέστιν ἐπί τε τοῦ μεσημβρινοῦ καὶ τοῦ ὁρίζοντος) γίνεται, αἱ δὲ τοῦ ζῳδιακοῦ διελεύσεις ἄνισοι ἐφ’ ἑκατέρου εἰσίν, οὕτω κἂν μεταξὺ τούτων τοῦ τε ὁρίζοντος καὶ τοῦ μεσημβρινοῦ ἡ θέσις ᾖ δι’ ἀνίσων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκείνοις χρόνων αἱ διελεύσεις ἔσονται. Τὴν οὖν αἰτίαν τῆς τοιαύτης ἀνισότητος δείξας ἐπὶ τὴν μέθοδον ἔρχεται δι’ ἧς τὸ ζητούμενον εὑρίσκεσθαι δύναται. λαβὼν γάρ, φησίν, τὴν μεσουρανοῦσαν μοῖραν καὶ τὴν τοῦ ἀφέτου ἣν προηγουμένην καλεῖ σκόπει τὴν τῆς προηγουμένης θέσιν πόσας καιρικὰς ὥρας ἀπέχει τοῦ μεσημβρινοῦ. γίνεται δὲ τοῦτο οὕτως (δεήσει γὰρ σαφέστερον ἐκθέσθαι τὴν μέθοδον ἐπειδὴ καὶ ἐπὶ πάσης θέσεως τῇ αὐτῇ μεθόδῳ κέχρηται ὡς ἀκριβεστάτῃ). πρὸς γὰρ τὸ εὑρεῖν πόσας ὥρας ἀπέχει τοῦ μεσημβρινοῦ ποιοῦμεν οὕτως. ὁρῶμεν ἐπὶ τοῦ κανόνος τῆς ὀρθῆς σφαίρας πόσοι χρόνοι παράκεινται τῇ τοῦ μεσουρανήματος μοίρᾳ καὶ πόσαι τῇ τοῦ ἀφέτου, καὶ ἀφελόντες ἀπὸ τῶν πλειόνων τὰς ἐλάττους τὰς λοιπὰς μερίζομεν παρὰ τὸ ὡριαῖον μέγεθος τὸ παρακείμενον τῇ τοῦ ἀφέτου ἐν τῷ ὑποκειμένῳ κλίματι ἐὰν ᾖ ὑπὲρ γῆν, εἰ δὲ ὑπὸ γῆν (τουτέστιν ἐν ταῖς περὶ τὸν ὁρίζοντα μοίραις) τὸ τῇ διαμέτρῳ αὐτοῦ παρακείμενον, καὶ τὰς ἐκ τοῦ μερισμοῦ ὥρας ἢ καὶ μέρος ἔχομεν ἃς ἀπέχει ὁ ἀφέτης τοῦ μεσουρανήματος καιρικὰς ὥρας.

216 ἔπειτα τὸν ἑπόμενον τόπον ὁρῶμεν ποίαν καὶ αὐτὸς θέσιν ἔχει πρὸς τὸ μεσουράνημα, ἰδόντες πάλιν καὶ αὐτῷ τί παράκειται ἐπὶ τοῦ κανόνος τῆς ὀρθῆς σφαίρας καὶ συγκρίναντες πρὸς ἃς ἔχομεν τοῦ μεσουρανήματος, τουτέστιν ἀφελόντες τὰς ἐλάττους ἀπὸ τῶν πλειόνων. ἔχοντες οὖν τὰς ὑπολοίπους, πάλιν τε ἰδόντες ἐν τῷ οἰκείῳ κλίματι τί παράκειται αὐτῇ τῇ τοῦ ἑπομένου μοίρᾳ ἐὰν ὑπὲρ γῆν ᾖ ὁ ἑπόμενος, εἰ δ’ ὑπὸ γῆν τὸ τῇ διαμετρούσῃ (ὡριαῖον δηλαδὴ μέγεθος), καὶ ἐπὶ τούτου πολλαπλασιάσαντες τὰς ὥρας ἃς ἀπεῖχε τοῦ μεσουρανήματος ὁ προηγούμενος, τὸν γενόμενον ἀριθμὸν συγκρίνομεν πρὸς ὃν ἔχομεν τῆς θέσεως τοῦ ἑπομένου (τουτέστιν ἀφαιροῦμεν τὰς ἐλάττους ἀπὸ τῶν πλειόνων) καὶ τοὺς λοιποὺς ἕξομεν χρόνους μεθ’ ὅσους ὁ ἑπόμενος ἥξει ἐπὶ τὸν τόπον τοῦ προηγουμένου, οἵπερ χρόνοι ἀντὶ ἐτῶν παραλαμβάνονται. ἡ μὲν δὴ μέθοδος αὕτη καθολική τέ ἐστι καὶ ἀκριβεστάτη· ἐπὶ πάσης γὰρ θέσεως ὄντος τοῦ ἀφέτου τὸ ἀκριβὲς εὑρίσκει. Ἐφοδεύεται δὲ τῷ Πτολεμαίῳ ἀπὸ τῆς προειρημένης αἰτίας· φησὶ γὰρ ἀναστρέψας αὐτός. ἐπειδὴ τὰ τὰς αὐτὰς καιρικὰς ὥρας ἀπέχοντα τοῦ μεσημβρινοῦ τμήματα τοῦ ζῳδιακοῦ καθ’ ἑνὸς καὶ τοῦ αὐτοῦ γίγνεται τῶν εἰρημένων ἡμικυκλίων, δεήσει λαβεῖν μετὰ πόσους ἰσημερινοὺς χρόνους καὶ τὸ ἑπόμενον τμῆμα τὰς ἴσας τῇ προηγουμένῃ καιρικὰς ὥρας ἀφέξει τοῦ μεσημβρινοῦ. ταῦτα δὲ εἰληφότες ἐπισκεψόμεθα πόσους κατὰ τὴν ἐξ ἀρχῆς θέσιν ἀπεῖχεν ἰσημερινοὺς χρόνους ἡ ἑπομένη μοῖρα τῆς κατὰ τὸ μεσουράνημα ἐπὶ τοῦ κανόνος πάλιν τῆς ὀρθῆς σφαίρας καὶ πόσους [ὅτε τὰς καιρικὰς ὥρας] ἐποίει ἡ προηγουμένη.

217 πολλαπλασιάσαντες καὶ ταύτας ἐπὶ τὸ πλῆθος τῶν τῆς ἑπομένης μοίρας ὡριαίων χρόνων (εἰ μὲν πρὸς τὸ ὑπὲρ γῆν εἴη μεσουράνημα πάλιν ἡ σύγκρισις τῶν καιρικῶν ὡρῶν τὸ τῶν ἡμερινῶν, εἰ δὲ πρὸς τὸ ὑπὸ γῆν τῶν τῆς νυκτός) καὶ ἐκ τῶν γινομένων τὴν ὑπεροχὴν ἀμφοτέρων τῶν διαστάσεων λαβόντες ἔχομεν τὸ τῶν ἐπιζητουμένων ἐτῶν πλῆθος. Ἵνα δέ, φησίν, φανερώτερον γένηται τὸ λεγόμενον ἐκκείσθω ὑπόδειγμα. καὶ ὑποτίθεται τὸν ἀφέτην εἶναι ἐπὶ τῆς τοῦ Κριοῦ ἀρχῆς, τὸν δὲ ἑπόμενον ἐπὶ τῆς τῶν Διδύμων, κλίμα δὲ τὸ διὰ τῆς κάτω Αἰγύπτου. διαφόροις δὲ χρῆται ταῖς θέσεσιν. πρῶτον μὲν ὡς ὡροσκοποῦντος τοῦ ἀφέτου, μεσουρανούσης δὲ τῆς ἀρχῆς τοῦ Αἰγοκέρωτος ὡς ἀπέχειν τὴν ἀρχὴν τῶν Διδύμων τοῦ ὑπὲρ γῆν μεσουρανήματος χρόνους ρμη μζ οἵτινες ἐπὶ τοῦ κανόνος τῆς ὀρθῆς σφαίρας παράκεινται τῇ ἀρχῇ τῶν Διδύμων. καὶ ἐπεὶ ϛ ὥρας καιρικὰς ἀπέχει τὸ μεσουράνημα τοῦ ὡροσκόπου, τῇ δὲ ἀρχῇ τῶν Διδύμων ἐπὶ τοῦ κανόνος τῶν ἀναφορῶν τοῦ αὐτοῦ κλίματος παράκειται ὡριαῖον μέγεθος χρόνων ιζ η , τούτους πολλαπλασιάζων ἐπὶ τὰς ϛ ὥρας καιρικὰς ἐπειδὴ πρὸς τὸ ὑπὲρ γῆν μεσουράνημά ἐστιν ἡ τῶν ρμη μζ χρόνων ἀποχή, ποιεῖ πλῆθος χρόνων ρβ μη , καί ἐστιν ὑπεροχὴ τούτων χρόνοι μϛ . μετὰ μϛ ἄρα χρόνους ἰσημερινοὺς ὁ ἑπόμενος τόπος ἐπὶ τὸν τοῦ προηγουμένου μεταβήσεται. πάλιν ὑποτίθησι μεσουρανεῖν μὲν τὸν ἀφέτην (τουτέστι τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρχὴν τοῦ Κριοῦ), τὸν δὲ ἑπόμενον ὡς πρότερον εἶχεν, ἤγουν ἐπὶ τῆς ἀρχῆς τῶν Διδύμων, ὡς ἀπέχειν κατὰ τὴν τοιαύτην θέσιν τὴν ἀρχὴν τῶν Διδύμων τοῦ ὑπὲρ γῆν μεσουρανήματος χρόνους νζ νβ · ἐὰν γὰρ τῶν ρμη μζ χρόνων τῶν παρακειμένων τῇ ἀρχῇ τῶν Διδύμων ἐπὶ τοῦ κανόνος τῆς ὀρθῆς σφαίρας ἀφέλωμεν τοὺς παρακειμένους τῇ ἀρχῇ τοῦ Κριοῦ ϙ νε , τοὺς λοιποὺς ἕξομεν νζ νβ ἐν οἷς πάλιν διὰ τὸ μεσουρανεῖν τὸν ἀφετικὸν τόπον διέρχεται τὸν μεσημβρινὸν ὅ τε Κριὸς καὶ ὁ Ταῦρος.

218 ἔρχεται καὶ ἐπὶ τὴν γ′ θέσιν καὶ ὑποτίθησι πάλιν τὸν ἀφέτην, ἤγουν τὴν ἀρχὴν τοῦ Κριοῦ, δύνουσαν ὡς ἀπέχειν τοῦ μεσουρανήματος ὥρας ϛ , ὄντος τοῦ μεσουρανήματος ἐπὶ τῆς ἀρχῆς τοῦ Καρκίνου. πάλιν δὴ ἐπὶ τῆς τοιαύτης θέσεως ἀπέχει ἡ ἀρχὴ τῶν Διδύμων τῆς μεσουρανούσης μοίρας ὡς ἐπὶ τὰ ἑπόμενα χρόνους λβ ιθ · πάλιν γὰρ καὶ ἐνταῦθα ἐπὶ τοῦ κανόνος τῆς ὀρθῆς σφαίρας τῇ μὲν ἀρχῇ τοῦ Καρκίνου παράκεινται χρόνοι ρπα ϛ , τῇ δὲ ἀρχῇ τῶν Διδύμων ρμη μζ , καί ἐστιν ἡ τούτων διαφορὰ λβ ιθ . καὶ πολυπλασιάσας τὰς ϛ καιρικὰς ὥρας ἃς ἀπέχει ἡ ἀρχὴ τοῦ Κριοῦ τῆς μεσουρανούσης μοίρας ἐπὶ τοὺς ιζ η ὡριαίους χρόνους τοὺς παρακειμένους τῇ ἀρχῇ τῶν Διδύμων ἐπὶ τοῦ κανόνος τῶν ἀναφορῶν τοῦ γ′ κλίματος καὶ τοὺς γινομένους χρόνους ρβ μη συγκρίνας πρὸς τοὺς λβ ιθ εὑρίσκει τὴν ὑπεροχὴν χρόνους ο κθ · ἐν τοσούτοις ἄρα χρόνοις μεταβήσεται ἡ ἑπομένη μοῖρα ἐπὶ τὴν τῆς προηγουμένης. μετὰ δὲ τὴν τῶν γ τούτων θέσεων διαφορὰν ἐν αἷς καθ’ ἕκαστον τῶν γ κέντρων τὸν ἀφέτην ὑπέθετο πάλιν ὑποτίθησι τοῦτον μεταξὺ ὄντα τῶν β κέντρων τοῦ τε μεσουρανοῦντος καὶ τοῦ δύνοντος, καὶ ἐκτίθησι μεσουρανεῖν Ταύρου μοῖραν ιη′. ἐπεὶ τοίνυν ἡ τοῦ Κριοῦ ἀρχὴ ἔχει μὲν ὡριαίους χρόνους ιε , τῆς δὲ τοῦ Ταύρου μοίρας ιη′ ἀπέχει ἐπὶ τοῦ κανόνος τῆς ὀρθῆς σφαίρας χρόνους ἔγγιστα με , μερίσας αὐτοὺς παρὰ τὸν ιε , εὑρίσκει ποιοῦντας γ ὥρας καιρικάς.

219 διὰ τοῦτό φησιν ἀπέχειν τὸν ἀφέτην τοῦ μεσουρανήματος εἰς τὰ προηγούμενα ὥρας καιρικὰς γ . καὶ ταύτας πολυπλασιάσας ἐπὶ τοὺς ιζ η ὡριαίους χρόνους τοὺς παρακειμένους τῇ ἀρχῇ τῶν Διδύμων, τοῦ ὡριαίου δηλονότι μεγέθους ἐπὶ τοῦ γ′ κλίματος, εὑρίσκει χρόνους να κδ . ἐπεὶ δὲ καὶ ἡ ἀρχὴ τῶν Διδύμων ἀπέχει τῆς μεσουρανούσης μοίρας εἰς τὰ ἑπόμενα χρόνους ιγ (ἐπὶ γὰρ τοῦ κανόνος τῆς ὀρθῆς σφαίρας τῇ μὲν ἀρχῇ τῶν Διδύμων παράκεινται χρόνοι νβ κγ , τῇ δὲ μεσουρανούσῃ μοίρᾳ ἤτοι τοῦ Ταύρου τῇ ιη′ μ η , καί ἐστιν ἡ τούτων ὑπεροχὴ ιβ ιε ), οὓς συνθεὶς τοῖς να κδ τοὺς γινομένους ξγ λθ ἔσχε μεθ’ ὅσους χρόνους ἰσημερινοὺς ὁ ἑπόμενος τόπος τὸν προηγούμενον ἐφέξει. ἐπὶ τούτοις εἰς ἀπόδειξιν τοῦ ἀκριβοῦς τῆς μεθόδου ἐκτίθησι τὴν παρὰ τὰς τοιαύτας θέσεις γινομένην διαφορὰν τῶν ἰσημερινῶν χρόνων καθ’ οὓς ὁ ἑπόμενος τὸν τοῦ προηγουμένου τόπον ἐπικαταλαμβάνει. ἐπὶ μὲν γὰρ τῆς κατὰ μὲν ὡροσκόπον θέσεως τοῦ ἀφέτου μϛ ἀνεφάνησαν οἱ ἰσημερινοὶ χρόνοι, ἐπὶ δὲ τῆς κατὰ τὸ μεσουράνημα νζ νβ , ἐπὶ δὲ τῆς κατὰ τὸ δῦνον ο κθ , ὁμοίως δὲ καὶ ἐπὶ τῆς μεταξὺ τοῦ μεσουρανοῦντος καὶ τοῦ δύνοντος ξγ λθ . διήνεγκε γὰρ καὶ αὕτη κατὰ τὸ ἀνάλογον τῆς τῶν γ ὡρῶν ἀπὸ τοῦ μεσουρανήματος ἀποχῆς· ἐπὶ γὰρ τῶν ἄλλων κατὰ τὰ κέντρα τεταρτημορίων ϛ ὥραις ἀλλήλων ἀπεχόντων ιβ χρόνων ἦν ἔγγιστα ὡς τῆς α καιρικῆς ὥρας β χρόνους πλείονας ἐχούσης τῶν τῆς ἰσημερινῆς ιε , ἐπὶ δὲ τῆς τῶν γ ὡρῶν ἀποστάσεως χρόνοι ϛ . Ἐπεὶ οὖν ἐπὶ πάντων ἡ αὐτὴν σχεδὸν ἀναλογία συντηρεῖται δυνατόν ἐστι κατὰ τοῦτον τὸν τρόπον ἁπλούστερον τῇ μεθόδῳ χρῆσθαι, ἀλλὰ τοῦτο μὲν ὕστερον ῥηθήσεται. νῦν δ’ ἄξιον σκέψασθαι περὶ τῆς ἄνωθεν ἐκτεθείσης αὐτῷ τελευταίας θέσεως ἐν ᾗ ὑπέθετο τὸν ἀφέτην ἐν τῷ θ′ τόπῳ· δοκεῖ γὰρ ἐναντία λέγειν οἷς εἶπε πρότερον ὅτε τὸν πρῶτον τρόπον τῆς ἀφέσεως παρεδίδου.

220 ἐν ἐκείνῳ μὲν γὰρ ἔλεγεν ὡς εἰ τύχοι ὁ ἀφέτης εἰς τὰ προηγούμενα τῆς μεσουρανήσεως πρὸς τὴν δύνουσαν δεῖ ποιεῖσθαι τὴν ἄφεσιν, ἐνταῦθα δ’ ὡς πρὸς τὰ ἑπόμενα ἤγουν τὴν ἀρχὴν τῶν Διδύμων. μήποτε οὖν εἰς σαφήνειαν μόνην τῆς μεθόδου καὶ τοῦτο συνῆψεν, ἀλλ’ οὐχ ἵνα κατ’ ἀνάγκην καὶ ἐπὶ τῆς τοιαύτης θέσεως ὁμοίως ταῖς ἄλλαις ποιῶμεν. οὐδὲ γὰρ κακολογήσομεν

τὸν θεῖον ἄνδρα ἐκεῖνον ὡς μὴ καλῶς ἐπισκεψάμενον. Καὶ ἣν δ’ ἔφησεν ἁπλουστέραν μέθοδόν ἐστιν αὕτη. ἀνατελλούσης μὲν τῆς προηγουμένης μοίρας, φησίν, ταῖς μέχρι τῆς ἑπομένης ἀναφοραῖς συγχρησόμεθα, μεσουρανούσης δὲ ταῖς ἐπ’ ὀρθῆς τῆς σφαίρας, δυνούσης δὲ ταῖς καταφοραῖς. ὅταν δ’ ὁ ἀφέτης μεταξὺ τῶν κέντρων τύχῃ (ὡς φέρε εἰπεῖν τοῦ μεσουρανήματος καὶ τοῦ δύνοντος) χρὴ τάς τε συμμεσουρανήσεις καὶ συγκαταδύσεις λαβεῖν ὡς ἐπὶ τῶν προκειμένων μεσουρανήσεων μὲν νη ἔγγιστα, καταδύσεων ο ⍰ . ἔπειτα μαθόντες ὡς πρόκειται πόσας καιρικὰς ὥρας ἀπέχει ὁ ἀφέτης ὁποτέρου τῶν κέντρων, ὅσον ἂν μέρος ὦσιν αὗται τῶν τοῦ τεταρτημορίου καιρικῶν ὡρῶν ς , τοσοῦτον μέρος τῆς ἀμφοτέρων τῶν συναγωγῶν ὑπεροχῆς προσθήσομεν τοῖς τοῦ ἑνὸς κέντρου ἢ ἀφελοῦμεν τῶν τοῦ λοιποῦ. οἷον ἔστω ἐπὶ τῶν προκειμένων τῶν μὲν ὡρῶν τῆς διαστάσεως τῶν κέντρων ἡ ὑπεροχὴ χρόνοι ιβ , ὑπέκειτο δὲ ὁ ἀφέτης ἀπέχων ἑκατέρου τῶν κέντρων ὥρας γ αἵ εἰσιν ⍰ τῶν ς ὡρῶν, καὶ τὸ ⍰ ἄρα τῶν ιβ χρόνων ὅ ἐστι χρόνοι ς ἢ προσθήσομεν τοῖς νη καὶ γενήσονται ξδ ἢ ἀφελοῦμεν ἀπὸ τῶν ο καὶ πάλιν ἔσονται ξδ καθὼς καὶ διὰ τῶν ἄνωθεν εὕρηται ἐπιλογισμῶν. εἰ δέ γε β ὥρας ἀπεῖχεν ὁ ἀφέτης ὁποτέρου τῶν κέντρων αἵ εἰσι τρίτον μέρος τῶν ς , τὸ τρίτον πάλιν τῆς ὑπεροχῆς τῶν χρόνων (τουτέστι τῶν ιβ ) ὅ ἐστι δ εἰ μὲν ἡ τῶν β ὡρῶν ἀποχὴ ἀπὸ τοῦ μεσουρανοῦντος ὑπέκειτο προσεθήκαμεν ἂν τοῖς νη χρόνοις, εἰ δὲ ἀπὸ τοῦ δύνοντος ἀφείλομεν ἂν τῶν ο , καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

221 Τὰς μὲν οὖν μεθόδους τῶν βιωσίμων χρόνων τοιαύτας ἐξέθετο ἡμῖν ὁ θεῖος Πτολεμαῖος. ἐπιλέγει δὲ λοιπὸν ἐπὶ πάσαις πῶς δεήσει διακρίνειν τὰς οὕτω τῶν ἐνιαυτῶν εὑρισκομένας διαστάσεις ἢ ὡς τέλεον ἀναιρετικάς, ὅταν πρὸς τῷ κεκακῶσθαι τὴν ὑπάντησιν καὶ αἱ ἐπεμβάσεις αἱ κατὰ τὸν χρόνον βλαπτικαὶ πρὸς αὐτοὺς τοὺς τόπους εὑρίσκωνται, ἢ μόνον κλιμακτηρικάς, ὅταν τις, ὡς προείρηται, παρὰ τῶν ἀγαθοποιῶν ἐπὶ τῆς γενέσεως βοήθεια [τις] ᾖ ἢ ἡ κατὰ τὸν χρόνον τῆς ὑπαντήσεως ἐπέμβασις αὐτῶν ἐπικουρῇ, ἰσχύουσα μᾶλλον τῶν ἐναντίων, φιλανθρωπούντων δὲ πάντων νωθρείας ἢ βλάβας μόνον ὑπονοητέον. οὐδὲν μέντοι ἔφη κωλύειν δισταζομένης τῆς τῶν ἀναιρούντων κυρείας ἐκ τῶν προσυμβάντων τὰς μᾶλλον συμφωνούσας καὶ πρὸς τὰ μέλλοντα ἐφαρμόζειν ἢ κατ’ ἰσότητα εὑρισκομένων πρὸς ἅπαντα παρατηρητικῶς ἔχειν τὴν ἐπίτασιν καὶ ἄνεσιν, ὡς προείρηται, διακρίνοντας. Διὰ δὴ τούτων πάντων τὸ δύσκολον εἰς πρόγνωσιν τῆς συντελείας τῶν βιωσίμων χρόνων ὑπονοεῖν δίδωσιν ὁ Πτολεμαῖος· πολλαὶ γὰρ ἀμφίβολοι προσθῆκαι. διὸ συμπερανθέντος μὲν τοῦ βίου ἄδηλον εὑρεῖν τὰς αἰτίας δι’ ἃς τέθνηκεν, ἔτι δὲ ζῶντος χαλεπόν, καὶ μάλιστα ὅταν τις ἄσκεπτος ὢν τύχῃ τῶν κατὰ τὴν ἔκβασιν τῶν ἐτῶν ἐπεμβάσεων τῶν λοιπῶν ἀστέρων. ἐφ’ ὧν μέντοι γενέσεων ἀναμφίβολος ὁ ἀφέτης καὶ ὁ ἀναιρέτης μετὰ τοῦ γνωσθῆναι καὶ τὰς κατὰ τὴν τῶν ἐτῶν ἔκβασιν ἐπεμβάσεις καὶ θέσεις τῶν ἀστέρων εὐχερές ἐστιν, οἶμαι, ἀποφαίνεσθαι περὶ βίου συντελείας. καὶ Μανέθων δὲ ταῦτα εἶπεν ἐν τοῖς ἔπεσι περὶ χρόνων ζωῆς. 〈κς′〉 Περὶ τύχης ἀξιωματικῆς Μετὰ τὸ παραθεῖναι τὰ τῷ Πτολεμαίῳ περὶ τούτου ῥηθέντα εὔλογον δέ φησι καὶ τὰ παρὰ τοῖς ἄλλοις καὶ μάλιστα Δωροθέῳ ἐκθεῖναι ἵνα ἐκ πολλῶν δοκίμων τὴν συμφωνίαν τῆς ἀληθείας λάβωμεν.

222 (1t) φησὶν οὖν δεῖν καὶ τοῦ ὡροσκόπου τὸν κύριον καὶ τοῦ μεσουρανοῦντος καὶ τοῦ βίου πῶς κεῖνται ἐν τῇ γενέσει σκοπεῖν (ἐὰν γὰρ εὑρεθῶσι καλῶς κείμενοι καλὰ σημαίνουσιν, ἐὰν δὲ ἐναντίως ἐναντία, ἐὰν δὲ μέσως μέσα), καὶ τὸν κλῆρον δὲ τῆς τύχης τὸν κατ’ αὐτήν (τουτέστιν ἐπὶ μὲν ἡμερινῶν γενέσεων ἀπὸ Ἡλίου ἐπὶ Σελήνην καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, ἐπὶ δὲ νυκτερινῶν ἀπὸ Σελήνης ἐπὶ τὸν Ἥλιον καὶ τὰ ἴσα ὁμοίως ἀπὸ ὡροσκόπου) καὶ τοὺς ὁρῶντας αὐτὸν ἀστέρας ποῖοί τέ εἰσι καὶ πῶς κεῖνται. ἐὰν οὖν ὁ τοῦ κλήρου κύριος εὑρεθῇ ἐν κακῷ τόπῳ καὶ οἱ ἀγαθοποιοὶ ἀπόστροφοι ὦσι τῆς Σελήνης, οἱ δὲ κακοποιοὶ κεκεντρωμένοι ἢ ἐπανερχόμενοι, γνῶθι δυστυχῆ εἶναι τὸν οὕτως ἔχοντα. ἐὰν δὲ ἐν οἰκείοις ὦσι τόποις καὶ τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σελήνην ἀγαθοὶ ἐποπτεύωσιν εὐτυχῆ γνῶθι, δηλονότι αὐτῶν ὁρώντων καὶ τὸν κλῆρον. ἐὰν δὲ πάλιν ἐν ταῖς γενέσεσιν εὕρωμεν τοὺς μὲν κακοποιοὺς ἐπικέντρους, τοὺς δὲ ἀγαθοποιοὺς ἐπανερχομένους, καὶ ἡ Σελήνη δὲ τῶν μὲν κακοποιῶν ἀπορρεύσῃ, συνάψῃ δὲ τοῖς ἀγαθοῖς, οἱ τοιοῦτοι τὰ ὕστερα τοῦ βίου εὐτυχῶς ἕξουσιν. Ἄλλοι μέντοι τῶν ἀρχαίων εἰρήκασιν ἐν τῷ τόπῳ τούτῳ τῷ ια′ μὴ κακοποιεῖν τοὺς κακοποιοὺς παρατυχόντας (ὧν εἷς καὶ Πορφύριος)· ὅμως χρὴ αὐτοὺς παραδέχεσθαι ποσῶς βλάπτοντας προϊούσης τῆς ἡλικίας. πάλιν, φησίν, ἀρίθμει ἀπὸ τοῦ κυρίου τοῦ β′ τόπου ἕως αὐτοῦ τοῦ β′ καὶ τὸν ἴσον ἀριθμὸν ἔκβαλλε ἀπὸ τοῦ ὡροσκόπου, καὶ εἰς ὃ ἂν ζῴδιον ἐκπέσῃ ἐκεῖνο πάλιν σκόπει ποῖος τῶν ἀστέρων ἔχει καὶ πῶς κεῖται ὁμοίως τοῖς ἄνω πρὸς τὸν τόπον καὶ ἀποφαίνου.

223 καὶ ἐὰν μὲν ἀγαθοποιοὶ ἴδωσι τὸν τόπον ἀγαθὰ σημαίνουσιν, εἰ δὲ κακοποιοὶ κακά, ἐὰν δέ τις τῶν ἀγαθοποιῶν ἴδῃ τὸν τόπον δυτικὸς ὢν καὶ μέλλων μετὰ ζ ἡμέρας ἀνατολικὸς γενήσεσθαι καὶ οὕτως ὄλβον καὶ πλοῦτον παρέξει. Καὶ περὶ πάντων δὲ τῶν κλήρων ἐντέλλεται οὕτως· ἐὰν καλὸν ζῴδιον ἐπέχῃ ὁ κλῆρος καὶ ὁ τούτου κύριος ἤτοι ὢν ἐν αὐτῷ ἢ ἐν τοιούτῳ καλῷ καὶ ἔξαυγος ἀγαθὰ πάμπολλα φέρει τῇ γενέσει, ἐὰν δὲ ᾖ ὕπαυγος ἢ μέλλῃ κρύπτεσθαι ἔγγιστα σίνη σημαίνει ὀλίγον φανέντα καὶ ταχέως μαρανθέντα. λέγει δὲ καὶ τοῦτο· σκέπτου τίς πρῶτος τῶν ἀστέρων ἐν τῇ γενέσει ἔρχεται εἰς τὸν τῆς Σελήνης τόπον ἢ καὶ τὸν τοῦ ὡροσκόπου· ὁ γὰρ προλαμβάνων ἐλθεῖν εἰς τοὺς τόπους τούτους οὗτος μηνύσει τὰ μέτρα τῆς τύχης. Φέρε δὴ οὖν καὶ ἐνταῦθα προσθῶμεν τὸν τρόπον καθ’ ὃν ἄλλοι ἐπισκέπτονται τὰς γενέσεις οἱ περὶ Πετόσιριν καὶ Νεχεψὼ καὶ ἐξ αὐτῶν Ἀντίγονος ὁ Νικαεύς. ἐγένετό τις, φησίν, ἔχων τὸν μὲν Ἥλιον Ὑδροχόου μοίρᾳ η′, τὴν δὲ Σελήνην καὶ τὸν Δία καὶ τὸν ὡροσκόπον ἅμα τοὺς γ ἐπὶ τῆς α′ μοίρας τοῦ αὐτοῦ ζῳδίου ἤγουν τοῦ Ὑδροχόου, τὸν δὲ Κρόνον Αἰγοκέρωτος μοίρᾳ ε′, τὸν δὲ Ἑρμῆν ἐπ’ αὐτοῦ μοίρᾳ ιβ′, τὴν δὲ Ἀφροδίτην Ἰχθύων μοίρᾳ ιβ′, τὸν δὲ Ἄρην ἐπ’ αὐτοῦ μοίρᾳ κβ′, τὸ δὲ μεσουράνημα Σκορπίου μοίρᾳ κβ′. ὁ τοιοῦτος υἱοθετήθη παρά τινος αὐτοκράτορος συγγενοῦς, καὶ αὐτὸς δ’ ὁμοίως περὶ τὸ μβ′ ἔτος αὐτοκράτωρ ἐγένετο, ἦν δὲ φρόνιμος καὶ πεπαιδευμένος, συνεζεύχθη δὲ καὶ μιᾷ γυναικὶ ἀπὸ παρθενίας, ἐγένετο δὲ καὶ ἄτεκνος, καὶ ἀδελφὴν μίαν ἔσχεν, ἐν ὑπονοίᾳ δὲ καὶ στάσει ἐγένετο πρὸς τοὺς ἰδίους.

224 περὶ δὲ ξγ ἔτη ἐτελεύτησεν ὑδρωπικῇ δυσπνοίᾳ περιπεσών. Διὰ τί δὲ οὕτως ἐγένετο τὰ περὶ αὐτὸν ἐπεξεργάζεται οὕτως. γέγονε μὲν γάρ, φησίν, αὐτοκράτωρ διὰ τὸ τὰ β φῶτα ἐπὶ τοῦ ὡροσκόπου εἶναι καὶ μάλιστα διὰ τὴν Σελήνην οὖσαν τῆς αὐτῆς αἱρέσεως τῇ γενέσει (νυκτερινὴ γὰρ ἡ γένεσις) καὶ πρὸς τούτῳ διὰ τὸ συνάπτειν τὴν Σελήνην τῷ τε ὡροσκόπῳ μοιρικῶς καὶ τῷ Διὶ μέλλοντι καὶ αὐτῷ μετὰ ζ ἡμέρας ἑῴαν φάσιν ποιήσασθαι, καὶ αὐτῶν δὲ τῶν δορυφορούντων αὐτὴν ἀστέρων οἰκείως εὑρεθέντων, τῆς μὲν Ἀφροδίτης ἐν ἰδίῳ ὑψώματι ὑπαρχούσης, τοῦ δὲ Ἄρεως ἐν ἰδίῳ τριγώνῳ καὶ ἐν ἰδίαις μοίραις τὴν στάσιν ἔχοντος, ἀμφοτέρων ἰδιοτοπούντων καὶ ἐπαναφερομένων τῇ Σελήνῃ. πρὸς τούτοις δ’ ἔτι καὶ ὁ Ἥλιος ἐδορυφόρει αὐτὴν ἐν ταῖς ἑξῆς μοίραις ὤν, δορυφορούμενος καὶ αὐτὸς παρά τε τοῦ Κρόνου ὄντος ἐν τῷ ἰδίῳ οἴκῳ καὶ τοῦ Ἑρμοῦ, ἀμφοτέρων ὄντων ἐπὶ ἑῴας ἀνατολῆς.

225 ἐπισημαντέον δὲ ὅτι καὶ ἡ Σελήνη συνάπτειν ἔμελλε λαμπρῷ τινι τῶν ἀπλανῶν τῶν ἐπὶ τῆς κ′ μοίρας· οὐ γὰρ μόνον ἐπὶ τῶν πλανωμένων ἀστέρων τὴν συναφὴν τῆς Σελήνης δεῖ σκοπεῖν ἀλλὰ καὶ τῶν ἀπλανῶν. Εὐμεγέθης δὲ καὶ ἀνδρεῖος καὶ εὐχαρὴς ἐγένετο διὰ τὸ τὰ β φῶτα κεκεντρῶσθαι μάλιστα ἐπὶ τοῦ ὡροσκόπου καὶ ἐν ἀνθρωποειδεῖ καὶ ἀρρενικῷ εἶναι ζῳδίῳ. φρόνιμος δὲ καὶ πεπαιδευμένος καὶ βαθὺς διὰ τὸ τὸν Ἑρμῆν ἐπὶ ἑῴας φάσεως μετὰ Κρόνου ἐν τῷ ιβ′ τόπῳ τυχεῖν καὶ δορυφορεῖν τὸν Ἥλιον. ἐκ νέας δὲ ἡλικίας τοιοῦτος ἀπετελέσθη διὰ τὴν φάσιν· ἀεὶ γὰρ αἱ μὲν ἑῷοι ἀνατολαὶ ἐκ νεότητος ποιοῦσιν, αἱ δ’ ἑσπέριοι προβάσης τῆς ἡλικίας δηλοῦσι τὰς πράξεις. Δεῖ δὲ σκοπεῖν καὶ τοῦ κατὰ κορυφὴν τόπου τὸν κύριον εἰ καλῶς κεῖται καὶ ὁρᾷ τὸν τόπον· ἀνατολικὸς γὰρ ὢν ἐπισήμους καὶ ἐμπράκτους καὶ δυσκαταγωνίστους ποιεῖ

καὶ εἰ ἑσπέριος δὲ εἴη καλῶς κείμενος ὥσπερ ἐπὶ τοῦ προκειμένου θέματος (μεσουρανεῖ μὲν Σκορπίος, κύριος δὲ τοῦ Σκορπίου ὁ Ἄρης καὶ ἀκάκωτος ὢν ἐν Ἰχθύσι τῷ ἰδίῳ τριγώνῳ καὶ ταῖς ἰδίαις μοίραις ἤγουν τοῖς ὁρίοις καὶ ὁρῶν τὸ μεσουρανοῦν τριγωνικῶς), ἐὰν δὲ κακῶς κέηται ὁ κύριος τοῦ κατὰ κορυφὴν τόπου τὰ ἐναντία ποιῇ. ἐὰν δέ ποτε οἱ τῶν ἀχρηματίστων τόπων δεσπόται ἐπὶ τῶν χρηματιστικῶν τόπων τύχωσι μετριότητας βίου δηλοῦσιν, τὸ δὲ δοξαστικὸν καὶ μεγαλόφρον καὶ δωρητικὸν καὶ ἀνυστικὸν ὁ τοῦ Διὸς παρέσχεν ἐν τῷ ὡροσκόπῳ ὢν καὶ δορυφορῶν τὸν Ἥλιον καὶ ὁμόκεντρος ὢν τῇ Σελήνῃ. ἡ δὲ αἰτία τοῦ πολλοὺς ἀντιδίκους καὶ ἐπιβούλους ἐσχηκέναι ἐγένετο ἐκ τοῦ τὰ β φῶτα τὰ τὴν δύναμιν παρέχοντα ἐμπεριέχεσθαι ὑπὸ τῶν δύο κακοποιῶν, τοῦ μὲν Κρόνου ὄντος ἐπὶ τῆς ἑῴας ἀνατολῆς καὶ δορυφορίας, τοῦ δὲ Ἄρεως ἐπὶ τῆς ἑσπερίας.

226 τὸ δὲ περιγενέσθαι τῶν ἐχθρῶν συνέβη μάλιστα διὰ τὸν Ἑρμῆν ἐν τῷ οἴκῳ τοῦ Κρόνου ὄντα μετ᾽ αὐτοῦ τοῦ Κρόνου καὶ ἐν τῷ ιβʹ τυγχάνειν ἀμφοτέρους. Τὸ δὲ τιμᾶσθαι αὐτὸν καὶ προσκυνεῖσθαι παρὰ πάντων συνέβη διὰ τὸν τοῦ Διὸς ἀστέρα ἐπίκεντρον ὄντα δορυφορεῖν τὸν Ἥλιον· αἰεὶ γὰρ οὗτος δορυφορῶν τὸν Ἥλιον ἢ τὴν Σελήνην ποιεῖ ὑπὸ τῶν ὁμοτίμων ἢ καὶ κρειττόνων δοξάζεσθαι καὶ δορυφορεῖσθαι καὶ προσκυνεῖσθαι, καὶ τὸ εὐεργετικὸν δ᾽ ὁμοίως διὰ τὸν Δία ἔσχεν οὕτω τυγχάνοντα. τὸ δὲ καὶ πολλοὺς οὕτως εὐεργετεῖν καὶ ὑπὸ πολλῶν, ὡς ἔφην, προσκυνεῖσθαι συνέβη διὰ τὸ τὴν τοῦ Ἡλίου καὶ τῆς Σελήνης στάσιν ἐπίκεντρον οὖσαν δορυφορεῖσθαι ὑπὸ τῶν ε πλανωμένων οἰκείως· πάντοτε γὰρ ὁ Ἥλιος καὶ ἡ Σελήνη ἢ καὶ ἀμφότερα μάλιστα περὶ τὰ πρακτικὰ κέντρα (τουτέστι τὸ ὡροσκοποῦν ἢ τὸ μεσουράνημα) τυχόντες καὶ κατὰ τρόπον ὑπὸ πάντων τῶν ἀστέρων δορυφορούμενοι ποιοῦσι τοὺς ἐπὶ τῆς τοιαύτης καταστάσεως γεννωμένους βασιλεῖς παμπόλλων ἐθνῶν κρατοῦντας. Ἑρμῆς δὲ καὶ Κρόνος ἐν τῷ ιβʹ τυχόντες ἐπὶ ἑῴας ἀνατολῆς καὶ δορυφοροῦντες τὸν Ἥλιον ποιοῦσι φρονίμους, πεπαιδευμένους, οὐ μὴν ἀγαθοθελεῖς ἀλλὰ δολερούς. Τὸν δὲ τοιοῦτον συνέβη μιᾷ γυναικὶ συζευχθῆναι ἀπὸ παρθενίας οὐ διὰ τὴν Ἀφροδίτην, ἀλλὰ διὰ τὴν Σελήνην ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου φερομένην. καθολικὸν δέ σοι ἔστω ἐπὶ παντὸς θέματος, ἐπὰν ἡ Ἀφροδίτη ἐπί τινος κέντρου τύχῃ ἢ καὶ ἐπαναφορᾶς, ἡ δὲ Σελήνη πρὸς τὴν Ἀφροδίτην συναφὴν ποιῆται καὶ ἑτέροις ἄστρασι συμπαρατετυχηκόσι τῇ Ἀφροδίτῃ ἢ καὶ ἐπιμαρτυροῦσιν αὐτῇ, πολλοὺς τοὺς γάμους ποιεῖ τῷ οὕτω γεννωμένῳ, ἐὰν δὲ μόνη ἡ Σελήνη τῇ Ἀφροδίτῃ τὴν συναφὴν ποιῆται μονογαμίας ἐστὶ δηλωτική, ἐὰν δὲ ἡ Σελήνη μήτε τῇ Ἀφροδίτῃ συνάπτῃ μήτε μὴν τῶν συνόντων αὐτῇ τινι ἢ καὶ συμμαρτυρούντων, ἐπὶ φάσιν δὲ φέρηται συνοδικὴν ἢ καὶ πανσεληνιακήν, αὐτὴ δὲ ἡ Ἀφροδίτη σὺν ἀστέρι τινὶ παρῇ, καὶ οὕτω μονογάμους ποιεῖ ὥσπερ ἐπὶ τῆς προκειμένης γενέσεως.

227 Καὶ ὁ τῆς μοναδελφίας δὲ τρόπος τῷ οὕτω γεννωμένῳ κατὰ τὸ ὅμοιον ἐκ τῆς συναφῆς τῆς Σελήνης ἀποδειχθήσεται· ἡ γὰρ Σελήνη μόνῳ τῷ τοῦ Διὸς συνῆπται μέχρι τῆς πρὸς τὸν Ἥλιον συνοδικῆς φάσεως. εἰ δὲ πλείοσι τὴν συναφὴν ἐπεποίητο ἤτοι κατὰ κόλλησιν ἢ καὶ ἐπιμαρτύρησιν καὶ πλείονας ἂν ἀδελφοὺς εἶχεν· ὅσοι γὰρ ἔχουσιν ἐπὶ γενέσεως τὴν Σελήνην μέχρι τινὸς φάσεως συνάπτουσάν τισιν ἄστρασιν, τοσούτους ἀδελφοὺς ἕξουσιν οἱ οὕτω γεννώμενοι. καὶ τοῦτο δὲ χρεὼν εἰδέναι ὡς κατὰ τὴν τῆς Σελήνης συναφὴν τῶν μὲν ἀγαθοποιῶν διδόντων ἀδελφούς, τῶν δὲ κακοποιῶν παραιρουμένων, καὶ οἱ μὲν ἀγαθοποιοὶ μερισταὶ ἀδελφῶν γίνονται ἐπὶ τῶν κέντρων καὶ ἐπὶ τῶν ἐπαναφορῶν φανέντες ἐπειδὰν τοῖς φωστῆρσι συμπαρατύχωσιν, οἱ δὲ κακοποιοὶ παραιρέται γίνονται ὅταν καὶ αὐτοὶ ἀνοικείως τοῖς φωστῆρσι συμπαρατύχωσιν. ἐπιβλεπτέον δὲ καὶ τὰς τῶν ζῳδίων διαφορὰς ἐπειδήπερ ἐὰν τύχῃ δίσωμα ἢ τροπικὰ καὶ πολύσπερμα τὰ τὸν ἀδελφικὸν λόγον παρέχοντα πολλαδελφίας γίνονται αἴτια. διὰ τί δὲ οὐκ ἄρρενα ἀδελφὸν δέδωκεν ἡ Σελήνη συνάπτουσα τῷ τοῦ Διὸς ἀρρενικῷ ὄντι; διότι ὁ Ἥλιος ὡροσκοπῶν ἐν ἀρρενικῷ ζῳδίῳ καὶ τὴν συναφὴν τῆς Σελήνης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπεκδεχόμενος ὡς ἐπὶ τὸ πλεῖστον σπάνιν ἀδελφῶν ἀρρένων ποιεῖ. Τὸ μὲν οὖν ἄτεκνον τοῦτον γεγενῆσθαι ἡ τοῦ Ἡλίου περὶ τὸν ὡροσκόπον στάσις ἀπειργάσατο· ἀεὶ γὰρ ὁ Ἥλιος ἐπὶ τῶν ἐπαναφορῶν χρηματίζων ἀτεκνίας αἴτιος γίνεται. διὰ τί δὲ ἐν προσκρούσει γέγονε πρὸς τοὺς συγγενεῖς; διὰ τὴν τοῦ Ἑρμοῦ μετὰ Κρόνου στάσιν. τίς δὲ ἡ αἰτία τοῦ υἱοποιηθῆναι τοῦτον; ὅτι ὁ τοῦ Διὸς ὁμόκεντρος ἦν τῇ Σελήνῃ ἐν ζῳδίῳ οἴκῳ ὄντι τοῦ Κρόνου. πόθεν δὲ αὐτῷ τὸ αἴτιον γέγονε τῆς τοῦ ὕδρωπος νόσου καὶ δυσπνοίας καὶ τοῦ θανάτῳ κακῷ μεταστῆναι τοῦ βίου; διότι τῶν κακοποιῶν ἐμπεριεχόντων τὰ δύο φῶτα, πάντων τῶν ἀστέρων ἐν καθύγροις ζῳδίοις τὴν στάσιν ἐσχηκότων, καὶ τοῦ δυτικοῦ [ἤγουν τοῦ Κρόνου] ἐν χερσαίῳ ζῳδίῳ ὑπάρχοντος καὶ ὑπὸ τῶν κακοποιῶν ἀνὰ ἓν σχῆμα ἐμπεριεχομένου, εἴποιμι ἂν ὅτι ἐκ τῶνδε τὸ αἴτιον τοῦ ὕδρωπος καὶ τῆς δυσπνοίας πρόδηλον γενήσεται· ἀεὶ γὰρ οἱ φθοροποιοὶ ἐμπεριέχοντες τὸν Ἥλιον ἢ τὴν Σελήνην ἢ καὶ ἀμφοτέρους κατὰ τὰ κέντρα κακοθανασίας αἴτιοι γίνονται.

228 Οὐ μόνον δὲ δεῖ ταῦτα σκοπεῖν, ἀλλὰ τήν τε τριταίαν καὶ ἑβδομαίαν καὶ τεσσαρακοσταίαν ἡμέραν τῆς ἐκτροπῆς· ἐν γὰρ τῇ τεσσαρακοσταίᾳ ἡμέρᾳ τῇ μετὰ τὴν τοιαύτην γένεσιν εὑρίσκεται ἡ Σελήνη ἐν Καρκίνῳ, ὁ δὲ Ἄρης ἐν Κριῷ, Κρόνος δὲ ἐν Αἰγοκέρωτι, καὶ συνέβη τοὺς β κακοποιοὺς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τὴν Σελήνην καθορᾶν, Κρόνον μὲν ἐκ διαμέτρου, Ἄρην δὲ ἐκ τοῦ δεξιοῦ τετραγώνου· καὶ τοῦτο οὖν κακοθανασίας αὐτῷ αἴτιον γέγονεν. καὶ ἔτι οὐ μόνον δεῖ τὴν Σελήνην παρατηρεῖν ἐν ταύταις ταῖς ἡμέραις ἀλλὰ καὶ τοὺς ἄλλους ἀστέρας πῶς κεῖνται ὡς ἐπὶ γενέσεως. Καὶ πόσους ὁ τοιοῦτος ζωτικοὺς πληρώσας χρόνους τελευτήσει; γνώσῃ δ’ ἐκ τῆς Σελήνης· αὕτη γὰρ ἀφέτης γίνεται ἐπὶ τῆς τοῦ ὡροσκόπου μοίρας εὑρεθεῖσα, ὅσοι δὲ ἀναφορικοὶ χρόνοι τῶν ζῳδίων εἰσὶν ἀπ’ αὐτῆς ἕως τῆς τοῦ τετραγώνου πλευρᾶς (τουτέστι Ταύρου μοίρας α′) τοσαῦτα ἔτη βιώσας τελευτήσει, συνάπτουσα δὲ κακοποιοῖς ἐν ταῖς μεταξὺ μοίραις ἢ καὶ τῷ Ἡλίῳ κλιμακτῆρας ποιεῖ. Τοσαῦτα μὲν ὡς ἐν συντόμῳ ἐκ τῶν παρὰ τοῖς ἀρχαίοις εἰρημένων ἐκτίθεται ὁ Ἀντίγονος περὶ τῆς εἰρημένης γενέσεως, ἑξῆς δὲ καὶ βίας μνημονεύει οὕτως.

229 ἔστω τινὰ ἔχειν τὸν Ἥλιον ἐν Κριῷ περὶ μοίρας ιθ ἐν ὁρίοις Ἑρμοῦ, Σελήνην ἐν Διδύμοις μοίρᾳ ιε′ ὁρίοις Ἀφροδίτης, Κρόνον ἐν Ζυγῷ περὶ μοίρας κ ὁρίοις Διὸς ἀκρόνυχον, Δία ἐν Ὑδροχόῳ μοίρᾳ ϛ′ ὁρίοις Ἑρμοῦ ἀπ’ ἀνατολῆς ἑῴας, Ἄρην δὲ ἐν Κριῷ περὶ μοίρας ιε ὁρίοις Ἑρμοῦ, Ἀφροδίτην ὁμοίως ἐν Κριῷ περὶ μοίρας ε ὁρίοις Διός, Ἑρμῆν δὲ ἐν Κριῷ περὶ μοίρας ϛ ὁρίοις Διός, τῶν γ Ἑρμοῦ, Ἀφροδίτης, Διὸς ἔτι πρὸς δύσιν ὄντων, καὶ ὁ μὲν ὡροσκόπος Καρκίνου μοίρᾳ κδ′, τὸ δὲ δῦνον ὡσαύτως Αἰγοκέρωτος μοίρᾳ κδ′, καὶ τὸ μὲν ὑπέργειον μεσουράνημα Κριοῦ μοίρᾳ ι′, τὸ δ’ ὑπόγειον Ζυγοῦ ι′, καὶ οἰκοδεσποτήσει μὲν ἐνταῦθα τῆς γενέσεως, ὥς φησιν, ὁ Ἄρης. μετὰ δὲ τρίτην ἡμέραν τῆς γενέσεως ἡ Σελήνη ἐν Καρκίνῳ ἔσται, μετὰ δὲ ζ′ ἐν Παρθένῳ, μετὰ δὲ τὴν μ′ ἐν Σκορπίῳ. Ὁ οὖν οὕτως ἔχων τοὺς ἀστέρας ἔσται περιφανὴς ἐκ περιφανῶν, ἐξουσιαστικὸς καὶ πολλοὺς κολάζων καὶ πολυχρήματος μὲν διὰ τὸ ἐν τῷ τριγώνῳ τοῦ Κρόνου τήν τε Σελήνην εἶναι καὶ τὸν Δία, τὴν μὲν Σελήνην ἐν Διδύμοις, τὸν δὲ Δία ἐν Ὑδροχόῳ, ἄδικος δὲ μὴ κατηγορούμενος διὰ τὴν τοῦ Ἄρεως καὶ Ἑρμοῦ στάσιν ἐπὶ τοῦ μεσουρανήματος, ἀμφοτέρων ὄντων ὑπαύγων, περιφανὴς δὲ διὰ τὸ τοὺς δ ἀστέρας ἐν τῷ μεσουρανήματι τυγχάνειν καὶ τὴν προγεγονυῖαν δὲ σύνοδον ἐν τῷ αὐτῷ γεγενῆσθαι ζῳδίῳ· οὐ γὰρ μικρὰ δύναται ἡ προγεγονυῖα σύνοδος ὁπόταν ἐπίκεντρος τύχῃ, καὶ μάλιστα κατὰ τὸ ὡροσκοποῦν ἢ τὸ μεσουράνημα.

230 πρὸς δὲ τὰς θηλείας μίξεις ἀνεπίστροφος τυγχάνει καὶ ῥυπαρὸς πρὸς τὰς ἀρρενικὰς μάλιστα μὲν διὰ τὸ τὸν Ἄρην μετὰ Ἀφροδίτης καὶ Ἑρμοῦ τὴν στάσιν ἔχειν ἐν Κριῷ ἀσελγεῖ ὄντι καὶ ὁρᾶσθαι τετραγωνικῶς τὴν Ἀφροδίτην ὑπὸ τοῦ Κρόνου καὶ προσέτι τῷ πάντας αὐτοὺς τοὺς ἀστέρας ἐν ἀρρενικοῖς ζῳδίοις εἶναι. ὁ δὲ Ἥλιος ἐπὶ τοῦ ἰδίου ὑψώματος ὢν καὶ ἐπὶ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεσουρανήματος καὶ δορυφορούμενος παρά τε τῶν προανηνεγμένων αὐτοῦ ἀστέρων ἔν τε τῷ αὐτῷ ζῳδίῳ καὶ τοῦ Διὸς ἐν Ὑδροχόῳ ὄντος (ἀεὶ γὰρ μέχρι καὶ τετραγώνου στάσεως οἱ προανηνεγμένοι τοῦ Ἡλίου ἀστέρες δορυφοροῦσι τὸν Ἥλιον) λαμπρὸν καὶ ἔνδοξον τὸ θέμα ἀπετέλεσεν. ὁμοίως καὶ ἡ Σελήνη αὐξιφωτοῦσα ἐν τριγωνικῷ σχήματι πρός τε Κρόνον ἢ Δία εὐδαίμονα καὶ πολυχρήματον ἀπειργάσατο καὶ τῇ πατρίδι πολλὰ ἀναθήματα καὶ δωρεὰς παρέχοντα. μὲν λανθανέτω δέ σε μηδὲ τοῦτο ὡς τῶν ἀστέρων ὄντων πάντων ἢ τῶν πλείστων ἐν ἰδίοις ζῳδίοις ἢ τόποις συμβαίνει γίνεσθαι ἀξιωματικοὺς ἄνδρας καὶ ἐπισήμους. οἱ ζωτικοὶ δὲ τούτου γνωρίζονται ἀπὸ τῆς τοῦ Ἡλίου ἀφέσεως ἕως τῆς τετραγωνικῆς αὐτοῦ στάσεως διὰ τὸ εἶναι αὐτὸν ἐπίκεντρον καὶ τὴν προγεγενημένην σύνοδον ἐν τῷ αὐτῷ ζῳδίῳ γενέσθαι. Οὕτω μὲν οὖν χρὴ σκέπτεσθαι τὰς διδομένας γενέσεις· καὶ τρίτης δὲ ἄλλης γενέσεως μνημονεύει οὕτως, καί φησι περὶ τοῦ γεννηθέντος ὅτι ἐπ᾽ ὀλέθρῳ τῷ τε ἰδίῳ καὶ τῶν πατέρων ἐγένετο περὶ τὸ κε′ ἔτος, οὗ τὸ ἐπὶ τῆς γενέσεως θέμα τοιοῦτον ἦν.

231 ὁ Ἥλιος καὶ ὁ ὡροσκόπος ἦν ἐν Κριῷ, Σελήνη ἐν Ταύρῳ μετὰ ἡμέρας γ ἐπὶ ἑσπερίας ἀνατολῆς τὴν φάσιν ποιουμένη, Ἑρμῆς καὶ Κρόνος ἐν Κριῷ ἐπὶ ἑῴας δύσεως, ὁ Ζεὺς ἐν Ἰχθύσιν ἐπὶ ἑῴας ἀνατολῆς, ὁ κλῆρος δὲ τῆς τύχης εἰς τὸν Ταῦρον ἔπιπτεν· οἰκοδεσποτήσει ἐνταῦθα, φησίν, ὁ τοῦ Ἄρεως ἀστὴρ τῆς τοιαύτης γενέσεως. ἡ Σελήνη δὲ ἔσται κατὰ τὴν ζ′ ἐν …, κατὰ τὴν μ′ ἐν Ζυγῷ. Ὁ τοιοῦτος ἐκ μεγίστου γένους καὶ περιφανοῦς, λέγω δὴ πατρὸς καὶ μητρός, ἐνδοξοτάτων μέν, βιαίως δὲ θανόντων· ἐν ἐλπίσι γὰρ μεγάλαις γεννηθεὶς οὗτος καὶ δοκῶν ἤδη ἐπὶ βασιλείαν ἐλθεῖν, κακόβουλος γενόμενος περὶ τὸ κε′ ἔτος ἐσφάλη, καὶ ἐν κατηγορίᾳ πρὸς τὸν βασιλέα γενόμενος ἀνηρέθη μετά τινος πρεσβύτου τῶν τοῦ γένους αὐτοῦ (ἐν διαβολῇ γενομένου καὶ αὐτοῦ δι᾽ αὐτόν), πρὸς δ᾽ ἔτι τῶν ἀπὸ τοῦ γένους αὐτοῦ πάντων δι᾽ αὐτὸν ταπεινῶς ἀπηλλαγμένων. 〈…〉 διὰ τὸ τὸν Ἥλιον ἐν τῷ ὡροσκόπῳ εἶναι καὶ δορυφορεῖσθαι ὑπό τε τοῦ Ἑρμοῦ καὶ τοῦ Διός (εἴρηται γὰρ περὶ τούτου), τὸ δὲ κακόβουλον γεγενῆσθαι διὰ τὸ τὸν τοῦ Ἑρμοῦ καὶ τοῦ Κρόνου ἐν ἀρρενικῷ ζῳδίῳ τετυχηκέναι καί τινα τῶν τοῦ γένους ἀπολέσαι διὰ τὸ αὐτὸ σχῆμα, τὸ δὲ αὐτὸν κατακοπῆναι διὰ τὸ τὴν Σελήνην εἶναι ἐν Ταύρῳ μελεοκοπουμένῳ ζῳδίῳ καὶ ἀκτινοβολεῖν τὸν Ἄρην ἐπὶ τῆς ἐπαναφορᾶς τοῦ μεσουρανήματος ὄντα, τὸ δὲ καὶ ἐξ ἀνθρώπου εἶναι τὴν βλάβην διὰ τὸ τὸν Ἄρην εἶναι ἐν ἀνθρωποειδεῖ ζῳδίῳ· ἐρωτικὸς δὲ ὁ τοιοῦτος ἐγένετο καὶ φιλομόναχος, ἐρωτικὸς μὲν διὰ τὴν Ἀφροδίτην καὶ τὸν Δία, φιλομόναχος δὲ διὰ τὸν Ἄρην ὄντα ἐπὶ τῆς ἐπαναφορᾶς τοῦ μεσουρανήματος καὶ τὸν Ἑρμῆν εἶναι ἐν τῷ οἴκῳ τοῦ Ἄρεως, τὸ δὲ περὶ κε′ ἔτος τεθνάναι κακῶς διὰ τὸ τὰς ἀναφορὰς τοῦ Τ〈αύρ〉ου καὶ τοῦ Ὑδροχόου τὰς αὐτὰς εἶναι.

232 Ἐφεξῆς δὲ καὶ ἑτέρων γενέσεων μνημονεύσας τοιούτῳ τρόπῳ σκέπτεται, ἐν αἷς φησιν ὅτι μονογενῶς ἡ Ἀφροδίτη ἀεὶ ἀποκεκλικυῖα τοῦ κατὰ κορυφὴν τόπου ἐπὶ τῶν 〈…〉 γυναικῶν ἀκαταστασίαν ἐν τοῖς κατ᾽ ἄνδρα ποιεῖ. φησὶ δὲ καὶ ὅτι πάντοτε ἡ Σελήνη ἢ καί τις τῶν ἀπλανῶν τυχόντες ἐπί τινος κέντρου προσθετικοὶ τῷ τε μήκει καὶ τῷ πλάτει ὄντες μετά τινος τῶν λαμπρῶν ἀπλανῶν, οἷον τοῦ ἐπὶ τῆς καρδίας τοῦ Λέοντος ὅν φασι Βασιλίσκον περὶ μοῖραν ε′, ποιοῦσι τὰς τύχας μείζονας καὶ ἐνδοξοτάτας, τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῆς τοῦ Ὑδροχόου κ′ μοίρας ποιοῦσιν. καὶ ἐπὶ τῆς ιε′ μοίρας τοῦ Ταύρου παραβάλλουσα ἡ Σελήνη τῷ πλάτει πλουσίους, οἰκονομικοὺς ποιεῖ καὶ μεγιστᾶνας, καὶ ἐπὶ τῆς κζ′ δ᾽ ὁμοίως μοίρας τυχοῦσα ποιεῖ λαμπροὺς ἄρχοντας, χρηματιστικοὺς δὲ πάντας καὶ εὐσεβεῖς, τῷ δὲ λαμπρῷ ἀστέρι προσβάλλουσα τῷ ἐπὶ τῆς λ′ μοίρας ποιεῖ ἄρχοντας ἢ ναυάρχους λαμπρούς. τὸ δὲ ὅμοιον γίνεται καὶ ἐπὶ τῆς ζ′ μοίρας τοῦ Σκορπίου ἢ φίλους βασιλέων ἢ διαδόχους ὠμοὺς καὶ παραβόλους καὶ ἀποδημητικούς· οὕτως οὖν, φησίν, καὶ ἐπὶ τῶν ἄλλων ἀπλανῶν ἀστέρων καταστοχαστέον. Πάλιν δὲ λέγει ὅτι οἱ ἔχοντες τὴν Σελήνην ἀγαθοῖς συνάπτουσαν, τὴν δὲ ἀπόρροιαν ἀπὸ λαμπρῶν ἀστέρων ποιουμένην, οὗτοι ὑποτάσσονται τοῖς ἔχουσι τὴν Σελήνην παραβεβλημυῖαν λαμπρῷ τινι τῶν

κατά τι ζῴδιον ἀστέρων, οὐ μέντοι παντάπασιν ὄντες ἄδοξοι. εἰσὶ γάρ, φησίν, καί τινες ἐξυπηρετούμεναι λαμπραὶ μοῖραι καθὼς ὁ βασιλεὺς Νεχεψὼ ἐν τῇ καθολικῇ λέγει. ἐπὶ δὲ τῶν ἀδόξων γενέσεων εὑρήσεις τὴν Σελήνην ἀφαιροῦσαν τῷ τε μήκει καὶ πλάτει καὶ τῷ φωτὶ καὶ πρὸς κακοποιοὺς φερομένην· οὕτω γὰρ ποιεῖ τοῖς τε σώμασιν ἀσθενεῖς καὶ ταῖς τύχαις προσκοπτικούς.

233 Καὶ ἐκ τῶν Σαλμεσχινιακῶν δὲ βιβλίων ἀναλεξάμενος ὡς ἔστιν ἐκεῖ οὕτω λέγει. σκοπητέον δὲ καὶ τοὺς δεκανοὺς ἐπειδήπερ ὁ μὲν α′ ὡροσκοπῶν χρηματίζει περὶ τοκετοῦ, ὁ δὲ ἀπὸ τούτου δεκανὸς κη′, ὃς μεσουρανεῖ πρωΐ, χρηματίζει περὶ βίου, ὁ δὲ κε′, ὃς μεσουρανεῖ μεσημβρίαν, χρηματίζει περὶ ἀρρωστίας, ὁ δὲ θ′, ὃς ἀνατέλλει ἐν τῷ ἀπηλιώτῃ ὀψέ, χρηματίζει περὶ σίνους, ὁ δὲ ιζ′, ὃς ἀνατέλλει ἐν τῷ λιβί, γίνεται ὑπόγειον μεσουράνημα καὶ χρηματίζει περὶ γάμου καὶ γυναικῶν, ὁ δὲ η′, ὃς καὶ Ἅιδου θύρα λέγεται, χρηματίζει περὶ τέκνων, ὁ δὲ ἐν τῷ ὑπὸ γῆν χρηματίζει περὶ θανάτου. οὗτοί εἰσιν οἱ τόποι οἷς χρῶνται ἐπὶ πάσης γενέσεως οἱ παλαιοὶ Αἰγύπτιοι. τοσαῦτα μὲν οὖν ἐκκείσθω περὶ τύχης καὶ βίου καὶ προκοπῆς, ἑτέρου δὲ σκέμματος κατὰ τὸ ἑξῆς ὁμοίως ἀρξώμεθα. 〈κζ′〉 Περὶ πράξεως Πρῶτον μὲν ἐκτίθησιν ὡς ἔθος ἔχει ποιεῖν τὴν τοῦ Πτολεμαίου λέξιν περὶ τῆς ἐκλογῆς τοῦ κυρίου τῆς πράξεως, εἶτά φησιν ὡς ἄλλοι δὲ τῶν μὲν κέντρων προτάττουσι τὸ μεσουράνημα, β′ τὸ ὑπὸ γῆν, γ′ τὸν ὡροσκόπον, δ′ τὸν κλῆρον τῆς τύχης· τὸ γὰρ δῦνον παντελῶς παρορῶσιν. καὶ ὅταν τοὺς τόπους τούτους πάντας ἐρήμους εὕρωσιν ἀπό τινος τῶν γ ἀστέρων Ἄρεως, Ἀφροδίτης, Ἑρμοῦ, τότε σκέπτονται τίς τὴν συναφὴν τῆς Σελήνης ἔσχεν ἐν τῇ γενέσει, ἣν δὲ καὶ ταύτην ἔρημον εὕρωσιν σκοποῦσι τίς πρὸς τὸν Ἥλιον ἔσχε συναφήν. ἐγὼ δὲ βέλτιον ἡγοῦμαι μὴ δεῖν τὸν συνάπτοντα τῷ Ἡλίῳ λαβεῖν (ὕπαυγος γὰρ γίνεται), ἀλλὰ μᾶλλον τὸν φάσιν ἑῴαν ἔγγιστα ἀπὸ τῆς πρὸς αὐτὸν συναφῆς πεποιημένον ὡς αὐτός φησιν ὁ Πτολεμαῖος.

234 ἐὰν δὲ καὶ οὕτω μὴ εὕρωσιν τότε τὸ ς′ ζῴδιον ἀπὸ ὡροσκόπου λαμβάνουσιν, τελευταῖον πάντων 〈...〉 ὡς ἀριστερὸν τοῦ μεσουρανήματος τρίγωνον. χρὴ οὖν σκοπεῖν τά τε πρῶτα ἐν τούτοις καὶ τὸν ἐνδύναμον τῶν γ ἀστέρων πρὸς τὸ ποιὸν τῆς πράξεως. Ἡνίκα ὁ τὴν κυρείαν τῆς πράξεως λαχὼν ἢ ἑῷος ᾖ ἢ ἐν ἰδίῳ τριγώνῳ ἢ ὁρίοις ᾖ, προστίθησι δὲ καὶ τοῖς ἀριθμοῖς, καὶ μᾶλλον ἐὰν τύχῃ οὗτος ἐν τῷ μεσουρανήματι ὤν, ὁ τοιαύτης οὖν, φασίν, τυχὼν γενέσεως παραδυναστεύσει βασιλεῖ ἢ τυράννῳ καὶ δόξης παρ᾽ αὐτοῦ καὶ φιλίας ἀπολαύσει καὶ δῶρα λήψεται ἀγλαά. Ταῦτα προσθεὶς καὶ πάλιν τὴν τοῦ Πτολεμαίου λέξιν ἀναλαβὼν εἶτα πρὸς τῷ τέλει προστίθησιν. ἄλλοι δὲ τὰς ποιότητας τῶν πράξεων ἀπὸ τῆς συναφῆς τῆς Σελήνης λαμβάνουσιν· ᾧ γὰρ ἄν, φασίν, συνάπτῃ ἀστέρι σωματικῶς ἢ κατὰ τρίγωνον μοιρικῶς, ἀπὸ τούτων λαμβάνουσιν. κἂν μὲν ὁ Ἄρης ᾖ ποιεῖ ἀνωμάλους τὴν πρᾶξιν καὶ ξενιτείαν ἢ καὶ ἐν στρατείαις κατειλεγμένον εἴπερ ἡμερινή ἐστιν ἡ γένεσις, ἐὰν δὲ ὁ Ζεὺς ᾖ πολυκτήμονας, γραμματεῖς, ἱεροφάντας, τελεστάς, σεμνούς, ἐν βασιλείοις αὐλαῖς διατρίβοντας, ἐν δὲ πολιτικοῖς ἔργοις οὐκ εὐδοκιμοῦντας, εἰ δὲ ἡ Ἀφροδίτη μουσικούς, χαρίεις καὶ ὅσαπερ ἔργα τῆς Ἀφροδίτης ἐρρέθη ἐν τοῖς ἄνω, τὸν δὲ βίον καὶ τὴν κτῆσιν ἐλάσσονα ποιήσουσιν, εἰ δὲ ὁ Ἑρμῆς συνετούς, πεπαιδευμένους, ἐμπόρους, ἀοιδοὺς καὶ τὰ τοιαῦτα. 〈κη′〉 Περὶ τέκνων Μετὰ τὸ περὶ τέκνων τὴν τοῦ Πτολεμαίου λέξιν ἐκθεῖναι προστίθησι λέγων. ταῦτα μὲν ὁ Πτολεμαῖος ἐκ τῶν Πετοσίριδος εἰληφώς, ὁ δὲ Δωρόθεος περὶ τέκνων σκεπτόμενος λέγει.

235 δεῖ τοὺς τριγωνοκράτορας τοῦ Διὸς σκοπεῖν πῶς κεῖνται ἐν τῇ γενέσει εἴτ᾽ ἐν συμπαθέσι τόποις εἴτ᾽ ἐναντίοις, ἢ ὃς μέν ἐστιν, ὃς δὲ οὔ, καὶ πρὸς αὐτοὺς ἀποτελεῖν, τήν τε πρώτην καὶ β′ τάξιν ὁμοίως αὐτοῖς διασημαίνειν, σκοπεῖν δὲ καὶ εἰ ὁ κλῆρος τῆς τύχης ἐν καλοῖς τόποις εἴη καὶ μὴ ἐν ἀσπόροις ἐπειδήπερ ἐὰν εὑρεθῇ ἐν τῷ ς′ ἢ τῷ β′ ἢ ἄγονος, φησίν, ἔσται ἢ κλαύσει τὰ τικτόμενα. ἐὰν δὲ ὁ κλῆρος καὶ τὸ διάμετρον αὐτοῦ ὁμοίως καὶ τετράπλευρα χηρεύει ἄστρων, μάλιστα ἀγαθῶν, 〈...〉. εἰ δὲ τὰ ζῴδια τὰ παρέχοντα τὰ τέκνα καὶ οἱ ἐπόντες ἀστέρες θηλυκῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶεν φύσεως θηλυκὰ ἔσται τὰ τικτόμενα, εἰ δὲ ἀρρενικὰ ἢ μεμιγμένα ὁμοίως ἀρρενικὰ ἢ μεμιγμένα. 〈κθʹ〉 Περὶ φίλων καὶ ἐχθρῶν Ἐν τῷ περὶ φίλων καὶ ἐχθρῶν προστίθησιν ὁ Ἡφαιστίων. ἰδίως δὲ ὁ περὶ δούλων λόγος καὶ τῆς τῶν οἰκοδεσποτῶν πρὸς αὐτοὺς συμπαθείας ἀπὸ τοῦ κακοδαιμονοῦντος ζῳδίου λαμβάνεται καὶ τῆς τῶν ἐπιθεωρούντων ἀστέρων τὸν τόπον μαρτυρίας κατά τε τὴν γένεσιν αὐτὴν καὶ κατὰ τὰς ἐπεμβάσεις ἢ διαμέτρους φυσικῆς ἐπιτηδειότητος, καὶ μάλιστα ὅταν οἱ τοῦ δωδεκατημορίου κυριεύσαντες ἤτοι συμφώνως τοῖς κυρίοις τῆς γενέσεως τόποις ἢ ἐναντίως ποιῶνται τοὺς συσχηματισμούς. Ἄλλοι δέ, φασίν, ἐπιβλέπουσι τὸν κλῆρον τοῦ ἔρωτος, δηλονότι πῶς κεῖται καὶ ὑπὸ ποίων ἀστέρων θεωρεῖται, καὶ πρὸς αὐτὸν τὰ περὶ φιλίας σκοποῦσιν. ὅμως εἴπερ ᾖ ἐν τοῖς ἀκούουσι ζῳδίοις ἤτοι ἐν τοῖς βλέπουσιν, συμπαθεῖς ἔσονται αἱ γενέσεις.

236 ἀκούει δὲ ἀλλήλων τὰ ἴσον ἀπέχοντα τῶν ἰσημερινῶν, οἷον Ταῦρος καὶ Ἰχθύες, Δίδυμοι καὶ Ὑδροχόος, Καρκίνος καὶ Αἰγόκερως, Λέων καὶ Τοξότης, Παρθένος καὶ Σκορπίος· καὶ τούτων τὰ μὲν βόρεια λέγονται προστάσσειν τοῖς νοτίοις, τὰ δὲ νότια ὑπακούειν τοῖς βορείοις. βλέποντα δὲ ζῴδια τὰ ἴσον ἀπέχοντα τῶν τροπικῶν ζῳδίων, ἃ καὶ ἴσοις χρόνοις ἀναφέρονται, μάλιστα δὲ ἐὰν ἐπὶ τῶν β γενέσεων οἱ κλῆροι τοῦ ἔρωτος ἐμπέσωσιν εἰς αὐτά. πλείων ἔσται ἡ ἰσχὺς καὶ ἐλάττων, πλείων μὲν ἐν τοῖς ἀπὸ Κριοῦ μέχρι Παρθένου καὶ αὐτῆς, ἐλάττων δὲ ἐν τοῖς ἀπὸ Ζυγοῦ μέχρι καὶ Ἰχθύων. οὐ μόνον δὲ χρὴ ἐπὶ τῶν φίλων τὰ περὶ φιλίας σκοπεῖν ἐν τοῖς προεκτεθειμένοις σχήμασιν, ἀλλὰ καὶ ἐπὶ γυναικὸς καὶ ἀνδρὸς καὶ πατρὸς καὶ μητρὸς καὶ τέκνων. 〈λʹ〉 Περὶ δούλων Περὶ δὲ δούλων αὐτός φησιν· σκέπτου τὸν κλῆρον αὐτῶν. οὗτος δὲ λαμβάνεται ἀπὸ Ἑρμοῦ ἐπὶ Σελήνην καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου ἐπὶ ἡμερινῆς γενέσεως, ἐπὶ δὲ νυκτερινῆς ἀνάπαλιν. σκόπει οὖν τὸν τόπον εἰς ὃν ἐμπέσειεν ὁ κλῆρος καὶ τοὺς ἐσχηματισμένους πρὸς αὐτὸν ἀστέρας· ἀγαθῶν μὲν γὰρ ὁρώντων ἀγαθοὶ καὶ ἐπὶ καλῷ οἱ δοῦλοι ἔσονται, κακῶν δὲ τὸ ἐναντίον. ἄλλοι δὲ λαμβάνουσι τὰ περὶ δούλων ἀπὸ Ἑρμοῦ ἕως τοῦ κλήρου τῆς τύχης καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. 〈λαʹ〉 Περὶ ξενιτείας Πρὸς τῷ τέλει τοῦ περὶ ξενιτείας λόγου, πάλιν δέ, φησίν, τὰ ἐπὶ τούτοις σαφηνείας χάριν προσγράφομεν. τὴν τριταίαν ἡμέραν τῆς γενέσεως σκεπτέον εἰ ὁ Ἄρης τότε συνίσταται τῇ Σελήνῃ ἢ τετραγωνίζει ἢ διαμετρεῖ ἢ ἐν αὐτῇ ἡ Σελήνη ἐν οἴκῳ γίνεται Ἄρεως.

237 σκόπει δὲ καὶ τοὺς τριγωνοκράτορας τοῦ τῆς αἱρέσεως φωτός· εἰ μὲν γὰρ ἐν οἰκείοις τόποις οὐ ποιοῦσι ξενιτείας, εἰ δὲ ἐν ἀλλοτρίοις ποιοῦσιν. 〈λβʹ〉 Περὶ θανάτου ποιότητος Πρόσκειται καὶ τούτῳ τῷ κεφαλαίῳ περὶ τὸ τέλος· ἄλλοι δὲ σκοποῦσι περὶ θανάτου ποιότητος ἐκ τοῦ κατὰ τὸν ηʹ τόπον ζῳδίου, τὸ εἶδος καὶ τὴν φύσιν αὐτοῦ ὁρῶντες, τὸν τούτου δεσπότην, ἔτι δὲ καὶ τοὺς συσχηματιζομένους ἀστέρας, καὶ ἐκ τούτων ἀποφαίνονται καὶ τὰ εἴδη τοῦ θανάτου ὁμοίως ταῖς προκατειλεγμέναις φύσεσιν ἀστέρων τε καὶ ζῳδίων. 〈λγʹ〉 Περὶ χρόνων διαιρέσεως Μετὰ τὴν συμπλήρωσιν τοῦ παρόντος κεφαλαίου φησὶν ὁ Ἡφαιστίων· ταῦτα μὲν οὖν ὁ Πτολεμαῖος φυσικῶς καὶ καθολικῶς σκεπτόμενος ἐκτίθεται περὶ τῆς τῶν καιρῶν ἐπισκέψεως, τῶν δὲ κατὰ μέρος ἐπιβολῶν τῆς ποιότητος τοῦ ἀποτελέσματος ἑκάστου ἀφῆκεν ἡμῖν καταστοχάζεσθαι ἐκ τῶν καθολικῶν. ἐφεξῆς δὲ τούτοις πάλιν παρατιθέμεθα καὶ τὰ παρὰ τοῖς ἄλλοις καὶ ἃ ἡμεῖς τετηρηκότες τῇ πείρᾳ εὕρομεν ἀληθῆ. Ὁ γὰρ Δωρόθεος διαιρῶν τοὺς χρόνους κέχρηται πρώτῳ ἀφέτῃ εἰ μὲν εἴη ἡμερινὴ ἡ γένεσις καὶ ὁ Ἥλιος ἐπὶ τοῦ ὡροσκόπου ἢ ἐν τῷ μεσουρανήματι ἢ ἐν τῷ ιαʹ τῷ κυρίῳ τῶν ὁρίων τοῦ ἐν τῷ τόπῳ ζῳδίου· οὐχ ἁπλῶς δὲ κέχρηται, ἀλλὰ χρή, φησίν, αὐτὸν ὁρᾶν τὰ ἴδια ὅρια. εἰ δὲ μὴ εἴη οὗτος, ἕτερος δέ τις ἀστὴρ ὁ τὸν Ἥλιον ἔχων τὸν ἑαυτοῦ οἶκον ἐπέχοντα, οὗτος λαμβάνεται, εἰ δὲ καὶ οὗτος ἀπόστροφος εἴη τοῦ Ἡλίου, ἄλλος δέ τις ὁρᾷ τοῦτον ἐπέχοντα τὸ ἴδιον ὕψωμα, οὗτος λαμβάνεται, εἰ δὲ καὶ οὗτος ἀπόστροφος εἴη τοῦ Ἡλίου, ἄλλος δέ τις ἴδοι αὐτὸν ἐπέχοντα τὸ οἰκεῖον τρίγωνον, οὗτος λαμβάνεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

238 ταῦτα μὲν ἐπὶ ἡμερινῆς γενέσεως ἐὰν ᾖ ὁ Ἥλιος ἐν ἐπικαίροις τόποις καὶ ὁρᾶται παρὰ τοῦ κυρίου τῶν ὁρίων τοῦ τόπου ἢ τοῦ οἴκου ἢ τοῦ ὑψώματος ἢ τοῦ τριγώνου. εἰ δὲ μὴ αὐτὸς εἴη, τύχοι δὲ ἡ Σελήνη, τὸν κύριον αὐτῆς προκρίνομεν τῷ αὐτῷ τρόπῳ, εἰ δὲ μηδὲ αὕτη τὸν κύριον τοῦ κλήρου τῆς τύχης, εἰ δὲ πάλιν καὶ ὁ κλῆρος μὴ εὑρεθείη εἰ μὲν εἴη ἡ προγενομένη συζυγία συνοδικὴ ἢ καὶ ἐν ἐπικαίρῳ τόπῳ τὸν κύριον αὐτῆς. εἰ δὲ τούτων ὁ κύριος μὴ εὑρεθείη τελευταῖον πάντων τὸν τοῦ ὡροσκόπου λαμβάνομεν τῷ αὐτῷ τρόπῳ. ἐπὶ δὲ νυκτερινῆς γενέσεως τὴν Σελήνην προκρίνομεν ἐν ἐπικαίρῳ οὖσαν τόπῳ. ἐὰν δὲ μὴ εὑρίσκηται αὕτη, τύχῃ δὲ ὁ Ἥλιος ἐν ταῖς ὑπὸ γῆν μοίραις τοῦ ὡροσκόπου, τῷ κυρίῳ πάλιν αὐτοῦ χρησόμεθα. Πρὸς τούτοις δὲ χρὴ σκοπεῖν καὶ αὐτοὺς τοὺς ἀφετικοὺς τόπους καὶ προκρίνειν τὸν ἀπηλλαγμένον καὶ ἐλεύθερον κακοποιοῦ στάσεως. δίδοται δέ, φησίν, παρ' ἑκάστου τῶν ἀστέρων τῇ τάξει τῶν ..... ἐφεξῆς ὁ χρόνος κατὰ τὰς ἀναφορὰς τοῦ οἰκείου κλίματος. 〈λδʹ〉 Περὶ ἐνιαυτοῦ Ἀπὸ τοῦ ὡροσκόπου τὸ πλῆθος τῶν ἐτῶν ἔκβαλλε, καὶ εἰς ὃ ἂν καταλήξῃ ζῴδιον σκόπει τὸν κύριον ἐκείνου εἰ ὁρᾷ αὐτὸν καὶ εἰ ἀνατολικός ἐστιν ἢ ἐν ὁρίοις ἢ οἴκῳ ἢ τριγώνῳ ἢ ὑψώματι.

239 καὶ εἴπερ εἴη ὑπὸ ἀγαθοποιῶν καλῶς ἐσχηματισμένος ἀποφαίνου τὸν ἐνιαυτὸν κάλλιστον ἔσεσθαι, εἰ δὲ εὑρεθείη ἐν τοῖς ἐναντίοις τῶν προειρημένων ἐναντία δηλονότι ὑπονοητέον, εἰ δὲ καὶ ἐν ἀλλοτρίῳ οἴκῳ τύχοι χαλεπώτερος ἔσται· εἰ οὖν εἶεν οἱ κακοποιοὶ οὕτως ἔχοντες καὶ ἐν ἀλλοτρίῳ οἴκῳ χαλεπώτατοί εἰσιν (ἢ γὰρ νόσον ἢ ἐκ κρίσεως καταδίκην ἢ ξενιτείας διαφόρους ποιοῦσιν), εἰ δὲ οἱ ἀγαθοποιοὶ κουφοτέρους μετεωρισμοὺς ποιοῦσιν· καὶ ἐπὶ μὲν Διὸς δαπάνας ἑκουσίᾳ γνώμῃ, ἐπὶ δὲ Ἀφροδίτης γυναικείους τινὰς μώμους ἐπιφέρει, ἐπὶ δὲ Ἑρμοῦ ζημίας. καλῶς δὲ κείμενοι οἱ κακοποιοὶ ἐν τῇ γενέσει καλὰ ποιοῦσιν, ὁ μὲν Ἄρης πράξεις μετὰ θερμότητος, ὁ δὲ Κρόνος ὁμοίως ἐνεργείας πρὸς γεωπονίαν ἢ οἰκοδομάς. οἱ δὲ ἀγαθοποιοὶ βελτίονα παρέχουσιν, ὁ μὲν Ζεὺς εὐγαμίαν καὶ φιλίαν, ἔσθ' ὅτε καὶ τέκνωσιν, ἡ δὲ Ἀφροδίτη ὁμοίως τὰ αὐτὰ καὶ χάριν παρὰ θηλείας, ὁ δὲ Ἑρμῆς ἐκ λόγων κέρδη. 〈λεʹ〉 Περὶ μηνῶν Καὶ περὶ τῶν μηνῶν δὲ καὶ ἡμερῶν ὡσαύτως σκέπτου τοὺς ἐπόντας ἢ καὶ ὁρῶντας τῶν ἀστέρων τὸ ζῴδιον εἰς ὃ ἐμπίπτει ὁ μὴν ἢ καὶ ἡ ἡμέρα, καὶ οὕτω στοχάζου. γινώσκεται δὲ τὸ ζῴδιον εἰς ὃ ἐμπίπτει ὁ μὴν τοῦ πλήθους τῶν μηνῶν ἐκβαλλομένου ἀπὸ τοῦ γενεθλιακοῦ μηνός, ἑκάστῳ ζῳδίῳ ἑνὸς μηνὸς διδομένου ἀπὸ τοῦ τὸν ἐνιαυτὸν λαχόντος ζῳδίου. ἐπιτήρει δὲ καὶ καθ' ἕκαστον ἔτος τὰ τετράγωνα καὶ τὰ διάμετρα σχήματα τῶν κακοποιῶν πρὸς τὸ λαχὸν ζῴδιον τὸν ἐνιαυτόν, καὶ τὰς συνόδους δὲ καὶ πανσελήνους ὁμοίως εἰ πρὸς ἀγαθοποιοὺς ἐγένοντο ἢ ἐναντίους. 〈λϛʹ〉 Περὶ ἡμέρας Περὶ δὲ ἡμέρας ἔκβαλλε τὸ πλῆθος τῶν ἡμερῶν τῶν ἀπὸ τῆς γενεθλιακῆς ἡμέρας ἀπὸ τοῦ μηνιαίου ζῳδίου ἑκάστῳ ζῳδίῳ διδοὺς ἡμέρας β [?] , καὶ εἰς ὃ ἂν λήξῃ ἐκεῖνο ἕξεις τῆς ἡμέρας ζῴδιον.

240 (1t) 〈λζʹ〉 Διαίρεσις τῆς χρονοκρατορίας ἑκάστου τῶν ἀστέρων Ἤδη δέ τινες τῶν ἀρχαίων Αἰγυπτίων συνθέντες τὰ ἔτη τῶν περιόδων τῶν ζ ἀστέρων συμποσουμένων ὁμοῦ εἰς ἔτη ι καὶ μῆνας θ , ἀρξάμενοι ἀπὸ τοῦ πρώτου (τουτέστι τοῦ Κρόνου) ἐμέρισαν τοῖς ἐφεξῆς κατὰ τὰ ἐφεξῆς ζῴδια ἑκάστῳ διδόντες τὴν ἰδίαν περίοδον, ἔτι δὲ καὶ ὑπομερισμὸν κατ' ἀναλογίαν ἑκάστης περιόδου εἰς βραχυτέρους χρόνους ποιησάμενοι ἀπὸ τοῦ πρώτου χρονοκράτορος τοῖς ἐφεξῆς ὁμοίως δεδώκασιν. οἷον ἔστω ὁ Κρόνος ὁ τοὺς καθολικοὺς χρόνους ἔχων, τουτέστι τὰ ι ἔτη καὶ μῆνασθ · ἐκ τούτων μερίζει ἑαυτῷ μὲν μῆνας λ , Διὶ δὲ (ἐὰν ᾖ ἐφεξῆς) μῆνας ιβ , καὶ Ἄρει πάλιν (εἰ ἐφεξῆς εἴη) μῆνας ιε , καὶ τοῖς ἐφεξῆς ὁμοίως, Ἡλίῳ μὲν μῆνας ιθ , Ἀφροδίτῃ η , Ἑρμῇ δὲ κ , Σελήνῃ δὲ κε . καὶ αὕτη μὲν ἡ ἀκροτάτη καὶ πρώτη διαίρεσις. ἐν δὲ τῇ ὑποδιαιρέσει Κρόνος μὲν ἀφ' ὧν λαμβάνει μηνῶν λ κατ' ἀναλογίαν μερίζει ἑαυτῷ ἡμέρας σι , Διὶ ἡμέρας πδ , Ἄρει ἡμέρας ρε , Ἡλίῳ ἡμέρας ρλγ , Ἀφροδίτῃ ἡμέρας νς , Ἑρμῇ ἡμέρας μ , Σελήνῃ ἡμέρας ρε · πάλιν ὁ Ζεὺς ἐκ τῶν ἑαυτοῦ μηνῶν ιβ ἐπιμερίζει ἑαυτῷ ἡμέρας λδ , Κρόνῳ ἡμέρας πε , Ἄρει ἡμέρας μβ , Ἡλίῳ ἡμέρας μδ , Ἀφροδίτῃ ἡμέρας κβ , Ἑρμῇ ἡμέρας νζ , Σελήνῃ ἡμέρας οα · Ἄρης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκ τῶν ἑαυτοῦ μηνῶν ιε ἐπιμερίζει αὑτῷ ἡμέρας νβ , Κρόνῳ ἡμέρας ρε , Διὶ ἡμέρας νβ , Ἡλίῳ ἡμέρας ξϛ , Ἀφροδίτῃ ἡμέρας κη , Ἑρμῇ ἡμέρας ο , Σελήνῃ ἡμέρας πζ · Ἥλιος ἐκ τῶν ἑαυτοῦ μηνῶν ιθ ἑαυτῷ ἐπιμερίζει ἡμέρας πγ , Κρόνῳ ἡμέρας ρδ , Διὶ ἡμέρας νβ , Ἄρει ἡμέρας ξδ , Ἀφροδίτῃ ἡμέρας λ , Ἑρμῇ ἡμέρας π , Σελήνῃ ἡμέρας ριη · Ἀφροδίτη ἐκ τῶν ἑαυτῆς μηνῶν η ἑαυτῇ ἐπιμερίζει ἡμέρας ιε , Κρόνῳ ἡμέρας νζ , Διὶ ἡμέρας κβ , Ἄρει ἡμέρας κη , Ἡλίῳ ἡμέρας λϛ , Ἑρμῇ λη , Σελήνῃ ἡμέρας ιζ · Ἑρμῆς ἐκ τῶν ἑαυτοῦ μηνῶν κ ἑαυτῷ ἐπιμερίζει ἡμέρας ϙϛ , Κρόνῳ ρμα , Διὶ νϛ , Ἄρει ο , Ἡλίῳ ϙ , Ἀφροδίτῃ λϛ , Σελήνῃ ριζ · Σελήνη ἐκ τῶν ἑαυτῆς μηνῶν κε ἑαυτῇ ἐπιμερίζει ἡμέρας ρμη , Κρόνῳ ροζ , Διὶ οα , Ἄρει πζ , Ἡλίῳ ριε , Ἀφροδίτῃ μϛ , Ἑρμῇ ριθ .

241 Ἵνα δ’ εὐχερῶς καὶ διὰ μνήμης ἔχων ποιῇς τὴν ἀναλογίαν τοῦ ὑπομερισμοῦ, ἐπὶ μὲν Κρόνου τοὺς λ μῆνας ἀναλύσας εἰς ἡμέρας ϡ μέριζε εἰς τοὺς ρκθ μῆνας τῆς κοινῆς τῶν ἀστέρων περιόδου· γίνονται ἔγγιστα ζ . ἑπτάκις οὖν ἑκάστου ἀστέρος ποίει τὴν περίοδον, καὶ εὑρήσεις τὸν λεπτότερον ὑπομερισμὸν οἷον ἐπὶ τοῦ Κρόνου· ὅσον γὰρ μέρος εἰσὶν οἱ λ μῆνες τῶν ρκθ μηνῶν τοσοῦτον μέρος γίνονται καὶ οἱ ζ μῆνες (τουτέστιν αἱ σι ἡμέραι) τῶν λ μηνῶν (τουτέστι τῶν ϡ ἡμερῶν). ἐπὶ μὲν οὖν Κρόνου οὕτως, ἐπὶ δὲ Διὸς ἑπτάκις πάλιν τοὺς ιβ αὐτοῦ μῆνας ποιήσας εὑρήσεις ἡμέρας πδ , καὶ ἐπὶ τῶν λοιπῶν ἀστέρων ὁμοίως. ἐφεξῆς δὲ ἐπὶ τοῦ λεπτοτέρου μερισμοῦ, ἐπεὶ ιβ μῆνές εἰσιν ἡ τοῦ Διὸς περίοδος ἤτοι ἐνιαυτὸς εἷς (τουτέστιν ἡμέραι τξ ), ταῦτα μέρισον εἰς τὴν κοινὴν περίοδον τὰ ρκθ · γίνονται β ⍰ γʹ ἔγγιστα.

242 τούτοις πολλαπλασίασον τὰ ιβ τῆς περιόδου· γίνονται λδ · καὶ ὁμοίως τὰ λ τῆς περιόδου τοῦ Κρόνου· γίνονται πε , καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. τοῖς δὲ ιβ μησὶν ἐφ’ ἑκάστου ἐνιαυτοῦ συλλαμβάνουσι καὶ τὸν πενθήμερον. Ἰστέον τοίνυν ὅτι τότε εὑρίσκομεν συμφωνοῦντα μᾶλλον τὰ ἀποτελέσματα ἐπὶ τῶν χρονοκρατόρων ὅταν ἀπὸ τοῦ αἱρετικοῦ φωτὸς ἐπικέντρου ὄντος τὴν ἄφεσιν τῶν χρόνων μερίζωμεν· ἀποκλίναντος γὰρ καὶ ἀσυνδέτου ὄντος τῷ ὡροσκόπῳ οὐχ ὁμοίως εὑρίσκομεν σύμφωνα τὰ ἀποτελέσματα. ὅταν οὖν μὴ εὕρωμεν καλῶς κείμενον τὸ τῆς αἱρέσεως φῶς, ἄλλον δέ τινα τῶν ἀστέρων ἐπίκεντρον καὶ δυναμικώτερον, ἐκείνῳ διδόναι τὴν κυρείαν ὀφείλομεν τῆς τῶν τοιούτων χρόνων ἀφέσεως. 〈ληʹ〉 Κρόνου χρονοκρατορία Ὁ τοῦ Κρόνου λαμβάνων τοὺς καθολικοὺς χρόνους ἢ καὶ τοὺς μερικοὺς ἐπὶ μὲν ἡμερινῆς γενέσεως χωρὶς τῆς πρὸς Ἄρην διαμετρήσεως ἢ τετραγώνου στάσεως καὶ ἐπὶ ἑῴας ἀνατολῆς οὐ κακὸς ἐγράφη ἀλλ’ ὠφέλιμος, καὶ ἀπὸ παλαιῶν πραγμάτων ἢ μυστηρίων ἢ κληρονομιῶν ποιεῖ κέρδη, ἀπό τε συγγενικῶν προσώπων καὶ μάλιστα πρεσβυτέρων, ἔτι δὲ καὶ γεηπονεῖν παρασκευάζει, καὶ εἰς πάντα οἱ χρόνοι ἀγαθοὶ καὶ ἐπιτευκτικοὶ γίνονται. ἐπὶ δὲ νυκτερινῆς γενέσεως χαλεπὸς ἐν πᾶσι τοῖς ἐνεργουμένοις γίνεται (οὐ γὰρ διαλείπουσι τὸν χρόνον κίνδυνοι καὶ ἀπραγίαι καὶ σωματικαὶ ἀσθένειαι), ποιεῖ δὲ καὶ ἀποβολὰς καὶ ζημίας καὶ λύπας. Καὶ ἐὰν μὲν ἐν ἡλιακῷ ζῳδίῳ τύχῃ ἐξ ὑπερεχόντων βιασθήσεται ζημίαις καὶ κινδύνοις, ποιεῖ δὲ καὶ ἀλγηδόνας νεύρων καὶ νόσους πολυχρονίους.

243 ἐν δὲ σεληνιακῷ τυχὼν ζῳδίῳ ποιεῖ στομαχικοὺς κινδύνους καὶ ἀπραγίας. ἐὰν δὲ καὶ Σελήνη τύχῃ λήγουσα ἐπὶ νυκτερινῆς γενέσεως ποιεῖ λύπας καὶ μερίμνας καὶ θλίψεις βιωτικὰς καὶ ἐξ ὑγρῶν ὀχλήσεις καὶ νόσους μητρὶ ἢ ἀδελφοῖς· ἔχουσι καὶ θηλυκῶν προσώπων κινδύνους, ἡμέρας δὲ καὶ τῆς Σελήνης αὐξιφωτούσης ἀγαθὸς καὶ πρακτικὸς ἐν πᾶσιν ἔσται ὁ χρόνος. Ἐν δὲ ἰδίοις τόποις τυχὼν ἡμέρας ἀγαθά (περίκτησιν σημαίνει), νυκτὸς δὲ κακῶν αἴτιος ἔσται, ἔν τε ζημίαις καὶ νόσοις στομαχικαῖς καὶ ἔχθραις αἰφνιδίοις περιτρέπων. ἐν δὲ Διὸς τόποις ἡμέρας ἐν πᾶσιν ἔσται ἀγαθός (καὶ γὰρ κληρονομίας καὶ δόξαν περιποιεῖ καὶ κέρδη καὶ προκοπὰς καὶ πράξεις), νυκτὸς δὲ ἐν τῇ ἀρχῇ ἀνωμαλήσει καὶ ἀπραγήσει, ὕστερον δὲ εὖ πράξει καὶ ἐχθρῶν περιγενήσεται. ἐν δὲ Ἄρεως τόποις ἐπὶ νυκτερινῆς γενέσεως ψῦξιν πράξεως καὶ πραγμάτων ἐκκοπὰς καὶ ἐχθρῶν ἐπαναστάσεις καὶ θλίψεις βιωτικὰς καὶ ψυχοπονίας καὶ ἀπραγίας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποτελεῖ καὶ σωματικὰς ἀσθενείας. ἐν δὲ τοῖς τῆς Ἀφροδίτης ψόγον οἴσει διὰ γυναῖκα καὶ βλαβήσεται καὶ θορύβους παρέξει, τισὶ δὲ καὶ νόσους γυναιξὶν ἢ πένθος ἀπεργάζεται, καὶ ἐν πᾶσι λυπηρὸς καὶ ἀηδὴς ὁ χρόνος ἔσται. ἐν δὲ τοῖς τοῦ Ἑρμοῦ συκοφαντίας ποιήσει καὶ πένθος συγγενῶν, τέκνων φθορὰν καὶ κρίσεις καὶ φόβους καὶ διαβολάς, τισὶ δὲ ἐπὶ θρεπτῶν τέκνων φθορὰν καὶ λύπας φέρει καὶ ἔχθρας καὶ δόλους καὶ ψευδοκατηγορίας καὶ μετάβασιν ἕνεκα ἐχθρῶν καὶ παλαιῶν πραγμάτων ἀνασκευάς. Τῷ δὲ τοῦ Διὸς ἐπιμερίζων μῆνας καὶ ἡμέρας ὁ Κρόνος ἐπὶ μὲν νυκτερινῆς γενέσεως ἀγαθὰ σημαίνει καὶ πράξεις· ποιεῖ περίκτησίν τε καὶ κέρδη καὶ σώματος εὐρωστίαν, καὶ ἢ κληρονομοῦσιν ἢ προκόπτουσιν, καὶ ἐν ταῖς πράξεσιν εὐημεροῦσι καὶ φιλίας ἐπισήμους ἕξουσιν.

244 ἐπὶ δὲ νυκτὸς οὐ καλὸς ἐγράφη· ἐναντιώματα γὰρ καὶ ἀπραγίας καὶ βιωτικὰς θλίψεις καὶ ψύξεις καὶ ταραχὰς καὶ οἰκειακὰς μέμψεις καὶ σωματικὰς ἀσθενείας ποιεῖ. Τῷ δὲ Ἄρει ἐπιμερίζων ἐπὶ μὲν ἡμερινῆς γενέσεως κακὸς καὶ βλαπτικὸς πέφυκεν (ἐπιφέρει γὰρ νόσους καὶ συνοχὰς καὶ ἀνασκευὰς πραγμάτων καὶ λύπας καὶ πένθη καὶ ἀποβολὰς πατρικὰς καὶ ἐναντιώσεις καὶ δυστευξίας πραγμάτων), καὶ τὸν χρόνον πάντα ἐπίμοχθον διανύειν ποιεῖ, καὶ ξενιτείας ἀθέτους καὶ ἐπικινδύνους παρέχεται καὶ οἰκειακὰς λύπας καὶ συγγενικὰ πένθη ἀνωφελῆ. ἐπὶ δὲ νυκτὸς μέτρια τὰ φαῦλα γίνεται, καὶ μετὰ βραδυτῆτος καὶ δυσπραξίας περιελεύσεται τὸν χρόνον καὶ πράξεις ἕξει καὶ σώματος εὐρωστίαν καὶ τῶν φαύλων κατόρθωσιν, καὶ ἐπιτευκτικὸς ἔσται ὁ χρόνος πλὴν μετὰ μόχθων καὶ θορύβων. Τῷ δὲ Ἡλίῳ ἐπιμερίζων ἐπὶ μὲν ἡμερινῆς γενέσεως κινδύνους παρέχει καὶ ἀπραγίας καὶ θανάτους οἰκείων προσώπων καὶ φόβους καὶ σωματικὰς ἀσθενείας καὶ ἐπανάστασιν ἐχθρῶν καὶ ἐπιπλοκὰς ἐξ ὑπερεχόντων προσώπων, καὶ ἀσχοληθήσονται ἀπραγοῦντες καὶ πράξεις ἀπράκτους καὶ μοχθηρὰς ἕξουσι καὶ ἐξ ἰδίων ἐπιβουλὰς καὶ τῷ σώματι πυρετόν, τισὶ δὲ καὶ ῥίγη καὶ ἀπραξίας ἐκ δημοσίων, τὸν δὲ χρόνον μετέωρον καὶ κινδυνώδη ποιήσει. ἐπὶ δὲ νυκτερινῆς γενέσεως μετὰ ἀνωμαλίας καὶ μόχθων καὶ ἀπιστιῶν καὶ ἀντιζηλιῶν φίλων ποιεῖ περιγενέσθαι τῶν κακῶν, καὶ ἐχθρῶν καθαίρεσιν καὶ πρᾶξιν σημαίνει καὶ σύστασιν ἐκ φιλίας ὑπερεχόντων, καὶ τῶν ἀπραγιῶν μεταβολὴν ἐπὶ τὸ κέρδος ὄψεται. Τῇ δὲ Ἀφροδίτῃ ἐπιμερίζων ἐπὶ μὲν ἡμερινῆς γενέσεως προκοπὰς καὶ συστάσεις ἐκ φίλων ποιεῖ καὶ συκοφαντίας ἐπιπλοκὴν καὶ βίου κατόρθωσιν, μάλιστα τῆς Ἀφροδίτης ἀθεωρήτου οὔσης ὑπὸ κακοποιῶν.

245 ἐπὶ δὲ νυκτερινῆς ταῖς πράξεσιν ἔσται ἀγαθός, ἐπιφέρει δὲ κωλύσεις καὶ λύπας καὶ βλάβας διὰ γυναῖκα, εἰ δὲ ὕπαυγος εἴη ἡ Ἀφροδίτη ὑπὸ κακοποιῶν θεωρουμένη ποιεῖ στομαχικὰς νόσους καὶ οἰκειακὰς λύπας, ὁ δὲ χρόνος νοσώδης καὶ ἀηδὴς ἔσται. Τῷ δὲ Ἑρμῇ ἐπιμερίζων ἐπὶ μὲν ἡμερινῆς γενέσεως ἐπ’ ἀνατολῆς τυχόντι μετρίας μὲν τὰς πράξεις καὶ τὰ κέρδη ποιεῖ καὶ ἀπὸ λόγων καὶ πραγμάτων κρυπτῶν, καὶ φίλων εὐεργεσίας, πάντα δὲ μετὰ βραδυτῆτος καὶ ἀγωνίας διαλύει τὰ πράγματα. ἐπὶ δὲ νυκτερινῆς, τοῦ Ἑρμοῦ ἐπὶ δύσεως ἑσπερίας ὄντος ἢ ὑπὸ κακοποιοῦ θεωρουμένου, κακὸς καὶ ἀηδὴς γενήσεται ὁ χρόνος (ἀπραγίας γὰρ σημαίνει καὶ ἔχθρας καὶ δίκας καὶ ζημίας ἀρχαίων πραγμάτων, ἀργυρικῶν καὶ δανείων καὶ ἐγγυητικῶν προσώπων), καὶ ἐν θορύβοις ἔσται καὶ ὅρκοις, καὶ βλάβας καὶ ἀσθενείας καὶ βρόχους καὶ ὠταλγίας ποιήσει καὶ οἰκειακὰς λύπας χάριν θρεπτῶν, εἰς δὲ μεσιτείας καὶ κοινωνίας καὶ συναλλαγὰς βλαπτικὸς καὶ ἄπρακτος γενήσεται ὁ χρόνος. Τῇ δὲ Σελήνῃ ἐπιμερίζων ἐπὶ ἡμερινῆς γενέσεως ἐπὶ ἀνατολῆς φερομένῃ κατόρθωσιν τῶν πραγμάτων καὶ ἀποφυγὴν τῶν κακῶν ἀπεργάζεται καὶ πρᾶξιν καὶ φιλίαν, τῆς δὲ Σελήνης μειουμένης μετὰ ἀνωμαλίας καὶ σκυλμῶν καὶ θορύβων καὶ ἀπιστιῶν καὶ μόχθων περιγενήσεται τῶν πραγμάτων, καὶ σύστασιν καὶ κέρδη παρὰ προσδοκίαν ἕξει. ἐπὶ νυκτὸς δὲ μειουμένης τῆς Σελήνης νόσους σωματικὰς καὶ πόνους ἐν κρυπτοῖς τόποις ποιήσει καὶ βῆχα καὶ στομάχου πόνον καὶ μοχθηρὸν ποιήσει καιρὸν καὶ ζημίας καὶ κινδύνους (καὶ θορυβώδης ὁ χρόνος ἔσται) καὶ θάνατον τοῖς ἔχουσι γυναικὸς ἢ

θηλυκοῦ προσώπου ἀποβολήν. 〈λθʹ〉 Διὸς χρονοκρατορία Ὁ δὲ τοῦ Διὸς λαβὼν τὴν χρονοκρατορίαν ἐπὶ ἡμερινῆς γενέσεως ἐπί τινος κέντρου ἐπαναφορᾶς τυχὼν χωρὶς τῆς πρὸς Ἄρην διαμετρήσεως ἢ τετραγώνου στάσεως ἀγαθὸν καὶ ὠφέλιμον ποιήσει τὸν χρόνον (καὶ γὰρ περίκτησιν βιωτικὴν ποιήσει), καὶ δοξαστικὸς ἔσται ἐν πᾶσιν συστάσεις ποιῶν καὶ φιλίας ἀφ' ὧν περίκτησιν μεταλαμβάνουσι καὶ ἀπόλυσιν τῶν κακῶν, καὶ μακαριστοὶ ἔσονται καὶ κακῶν ἅμα καὶ ἐχθρῶν περιέσονται, καὶ ἁπλῶς εἰπεῖν ὁ χρόνος ἐπιτευκτικὸς ἔσται.

246 (1t) ἐπὶ δὲ νυκτερινῆς καλῶς κείμενος ἀγαθὰ ἀποτελεῖ, ἀλλὰ μετὰ μόχθου καὶ ἀπιστίας, κακῶς δὲ ποιήσει λύπας, μόχθους, ἀμφισβητήσεις πρὸς ὑπερέχοντας καὶ ζημίας καὶ ἀπραγίας καὶ ξενιτείας καὶ διαβολὰς καὶ κρίσεις καὶ φθόνους καὶ μερίμνας ἕνεκα δημοσίων καὶ οἰκειακὰς ἐπηρείας ἐκ μεγάλων προσώπων καὶ στενοχωρίας βιωτικὰς ἀπεργάζεται. Καὶ ἐν μὲν ἡλιακῷ ζῳδίῳ καλῶς κείμενος προκοπὰς παρέχει καὶ πράξεις ἀφ' ὧν δοξασθήσεται καὶ ὠφεληθήσεται καὶ τιμὰς ἀπὸ ὑπερεχόντων ἕξει προσώπων. ἐν δὲ σεληνιακῷ ζῳδίῳ μείζονας τὰς πράξεις ποιεῖ καὶ ἐπικερδεῖς, καὶ μάλιστα τῆς Σελήνης αὐξιφωτούσης καὶ προκοπὰς καὶ κέρδη παρέχεται καὶ ἐκ θηλυκῶν προσώπων ὠφελείας. Ἐν δὲ ἰδίοις τόποις τυχὼν καλὸς καὶ ὠφέλιμος γίνεται, καὶ γὰρ κληρονομίας δίδωσι καὶ προκοπὰς ἐπισήμους καὶ πράξεις καὶ ἐχθρῶν ἐπικρατήσεις. ἐν δὲ Ἄρεως τόποις συμφώνως πρὸς αὐτὸν τυχὼν παρέχει ἐκ δημοσίων καὶ στρατιωτικῶν ἀνδρῶν ἐπισήμων εὐεργεσίας, ἐὰν δὲ τετράγωνος τύχῃ ἢ διάμετρος ἀνωμαλίας καὶ βλάβας καὶ θορύβους καὶ ἔχθρας ποιεῖ, καὶ εἰς ὃ ἂν ἐπιβάληται οὐκ ἐπίτευκτον ἕξει τὸν καιρόν. ἐν δὲ Ἀφροδίτης τόποις ὤν, χαρίεις ἔσται ὁ χρόνος ταῖς πράξεσι καὶ προκοπαῖς καὶ φιλίαις ἐπισήμοις καὶ συνήθειαν καὶ ἐπιπλοκὰς γυναικῶν παρέχει ἐπικερδεῖς καὶ ἱλαρὸν καιρὸν καὶ ἀγάμοις γάμον, τοῖς δὲ γεγαμηκόσι σπορὰν τέκνων.

247 ἐν δὲ Ἑρμοῦ τόποις πρακτικούς τε τοὺς χρόνους σημαίνει καὶ ἐπικερδεῖς καὶ σύστασιν καὶ πίστιν ἐκ μεγάλων προσώπων, ὁ δὲ χρόνος ἱλαρὸς καὶ ἐπικερδὴς ἔσται, μάλιστα δὲ τοῦ Ἑρμοῦ καλῶς κειμένου ταῦτα ποιεῖ, κακῶς δὲ τυχόντος ἀπραγίας καὶ στενοχωρίας καὶ ἀνασκευὰς καὶ ἔχθρας ἀπεργάζεται. Ὁ Ζεὺς Κρόνῳ ἐπιμερίζων μῆνας καὶ ἡμέρας ἐπὶ ἡμερινῆς γενέσεως δόξαν καὶ σύστασιν καὶ εὐρωστίαν σώματος ἐπιτελεῖ καὶ κέρδη καὶ φιλίας ἐπισήμους καὶ προκοπὰς καὶ ἐχθρῶν ἐπικράτησιν καὶ ἀπόλυσιν κακῶν, καὶ τόπους μεταβάλλει ἐπὶ τὸ εὔκρατον, καὶ βίου πρόσθεσιν καὶ κέρδη ἀπεργάζεται. ἐπὶ δὲ νυκτερινῆς ἀποβολὰς βιωτικὰς σημαίνει καὶ ἀηδίας καὶ λύπας καὶ σκυλμοὺς καὶ ταραχώδεις χρόνους καὶ διαβολὰς ἐκ φίλων καὶ ἐξ ἰδίων προδοσίας καὶ ἐγκλήματα καὶ στενοχωρίας καὶ συνοχὰς ἐξ ὑπερεχόντων προσώπων ἀπεργάζεται, καὶ εἰς πάντα ψυκτικὸς ὁ χρόνος καὶ ἀηδὴς ἔσται ἔν τε ἀσθενείαις κρυπταῖς καὶ νόσοις μακραῖς καὶ μετεωρισμοῖς ψυχικοῖς. Τῷ δὲ Ἄρει ἐπιμερίζων ἐπὶ μὲν ἡμερινῆς γενέσεως οὐκ ἀγαθός (λύπας γὰρ παρέχει καὶ ἐπιβουλὰς ἐξ ἰδίων, εἰκαίας ἔχθρας), καὶ φάσεις κενὰς ἀκούσεται καὶ μετεωρισμοὺς ἕξει καὶ φόβον καὶ ἀπραγίαν, ζημίαν καὶ κινδύνους ἐξαίφνης, συκοφαντίας, κατηγορίας καὶ δημοσίων πραγμάτων ταραχὰς καὶ ὄχλων ἀρχοντικῶν ἐναντιώσεις, ἕξει δὲ τιμὴν καὶ οἰκειακὰς λύπας. ἐπὶ δὲ νυκτερινῆς μετὰ σκυλμῶν καὶ μόχθων πράξεις καὶ στρατείας. Τῷ δὲ Ἡλίῳ ἐπιμερίζων ἐπὶ ἡμερινῆς γενέσεως μετεωρισμοὺς καὶ στενοχωρίας καὶ κρίσεις καὶ πρὸς ἰδίους καὶ φίλους αἰφνιδίους ἔχθρας ἀπεργάζεται περὶ ἀρχαίων πραγμάτων, μάλιστα ἐν ταῖς ἀρχαῖς τῶν χρόνων, καὶ σκυλμὸν σωματικὸν καὶ κεφαλῆς καὶ στομάχου πόνον ποιεῖ, ὕστερον δὲ περιγίνονται πάντων μετὰ μόχθου ὀλίγου καὶ χαρήσονται καὶ ἐξ ἐπισήμων ἀνδρῶν δόξας ἕξουσιν.

248 ἐπὶ δὲ νυκτερινῆς γενέσεως οὐ καλὸς ὁ χρόνος ὑπάρξει (ἀπειλὰς γὰρ καὶ διαβολὰς καὶ ζημίας καὶ πένθη καὶ κινδύνους πατέρων τοῖς ἔχουσι σημαίνει), καὶ δυσφημίας καὶ κρίσεις καὶ ἐπιβουλὰς ἀπὸ φίλων καὶ ἔχθρας συγγενικῶν προσώπων πρὸς ὑπερέχοντας καὶ ὄχλους καὶ ἐξ ἰδίων προδοσίας καὶ δαπάνας καὶ ἐχθρῶν ἐπαναστάσεις ποιήσει, εἰ δὲ Ἄρης ἐπέλθοι Ἡλίῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔχοντι τοὺς χρόνους νόσους αἱματικάς, αἱμαγμοὺς καὶ φρενοβλαβείας ποιεῖ. Τῇ δὲ Ἀφροδίτῃ ἐπιμερίζων ἐπί τε νυκτερινῆς καὶ ἡμερινῆς γενέσεως ἀπὸ ξένης ἐπὶ τὰ ἴδια φέρει καὶ κέρδη παρέχει καὶ πράξεις καὶ ἐχθρῶν ἐπικράτησιν καὶ γυναιξὶ συνελεύσεις καὶ φιλίας καὶ ἀγάμοις γάμον, γεγαμηκόσι δὲ τέκνα ποιήσει, καὶ ἱλαρὸς ὁ χρόνος ἔσται, καὶ ἐν τέχναις καὶ ἐπιτηδεύμασιν ἐμπράκτους καὶ πίστεις πρὸς φίλους, τῆς δὲ Ἀφροδίτης ὑπὸ κακοποιῶν θεωρουμένης καὶ οὔσης ἑσπερίας ποιεῖ ἐξ ὄχλων λύπας καὶ θορύβους καὶ ζημίας καὶ κρίσεις καὶ μερίμνας καὶ ἀπραγίας, καὶ καθόλου οἱ χρόνοι ἄπρακτοι καὶ ἐνδεεῖς γενήσονται. Τῷ δὲ Ἑρμῇ ἐπιμερίζων καὶ ἐπὶ ἡμερινῆς καὶ νυκτερινῆς γενέσεως ποιεῖ προκοπὰς καὶ πίστιν καὶ διὰ λόγων εὐφημίας καὶ ἐκ θηλυκῶν προσώπων ὠφελείας καὶ φιλίας ἀγαθάς, τοῦ δὲ Ἑρμοῦ ὑπὸ κακοποιῶν θεωρουμένου ἢ ὑπ' αὐγὰς ὄντος βλαπτικὸς ὁ χρόνος ἔσται· ἔχθρας γὰρ καὶ ζημίας καὶ ἀπραγίας καὶ θορύβους ποιήσει. Τῇ δὲ Σελήνῃ ἐπιμερίζων καὶ ἐπὶ ἡμέρας καὶ νυκτὸς φερομένῃ ἐξ ἀνατολῆς ὠφέλειαν περὶ κτῆσιν καὶ προκοπὰς καὶ νίκην κατ' ἐχθρῶν σημαίνει καὶ χαρὰν τῶν ἐν οἴκῳ καὶ ξενιτείας καὶ ἀλλαγὰς τόπων ποιεῖ ἐπὶ συμφέροντι, τῆς δὲ Σελήνης ἐξ ἀποκρούσεως φερομένης ἄχρηστον ποιήσει καιρὸν καὶ ζημίας καὶ ἔχθρας εἰκαίας ἕξει καὶ κρίσεις.

249 〈μ′〉 Ἄρεως χρονοκρατορία Ὁ δὲ τοῦ Ἄρεως λαβὼν τοὺς χρόνους ἐπὶ μὲν νυκτερινῆς γενέσεως ἐπί τινος κέντρου ἢ ἐπαναφορᾶς τυχὼν χωρὶς τῆς πρὸς Κρόνον διαμετρήσεως ἢ τετραγώνου στάσεως ἔμπρακτος εἰς πάντα καὶ ἐπικερδὴς καὶ δοξαστικὸς καθέστηκεν (ποιεῖ γὰρ προκοπὰς καὶ περικτήσεις καὶ σύστασιν πρὸς ὑπερέχοντα πρόσωπα καὶ εὐφημίας ὀχλικάς), καὶ ἀνυστικὸς ὁ χρόνος ἔσται. ἐπὶ δὲ ἡμερινῆς γενέσεως, μάλιστα ὕπαυγος, ποιεῖ ἀσθενείας καὶ κινδύνους καὶ διαβολὰς καὶ ἐπηρείας καὶ σκυλμοὺς εἰ μή πως αὐτὸς ἀγαθοποιός τις ἰδὼν τοὺς μόχθους ἀναλύσει. Καὶ ἐν μὲν οἴκῳ Ἡλίου οὐκ ἔστιν ἀγαθός (ξενιτείας γὰρ παρέχει καὶ χειμασίας πραγμάτων καὶ νόσους καὶ κινδύνους, τομάς τε σιδήρου), εἰ δὲ Κρόνος ἐπιβῇ καὶ οἰκείων θανάτους ὄψεται πρεσβυτικῶν, ἐὰν δὲ ὁ Κρόνος ἐπὶ τὸν Ἄρην ὢν ἐπιθεωρήσῃ καὶ τὸν Ἥλιον ἐκ κοιλιακῆς διαθέσεως κίνδυνον ποιεῖ καὶ πατρικὸν κίνδυνον τοῖς ἔχουσι καὶ ὀφθαλμῶν πόνους. ἐν δὲ τοῖς τῆς Σελήνης τόποις στομαχικοὺς καὶ ζημίας καὶ ἀπραγίας καὶ νωθρείας σώματος, λειχῆνάς τε καὶ ψώρας καὶ ἐπιβουλὰς καὶ κρίσεις καὶ λύπας χάριν θηλυκῶν προσώπων, τισὶ δὲ καὶ μητέρων λύπας ἤ τινος τῶν ἀπὸ γένους θάνατον καὶ ἀκαταστασίαν καὶ ἀμφισβήτησιν πρὸς ἰδίους ποιεῖ καὶ ἐκ δημοσίων βλάβας καὶ κινδύνους ἐκ κοιλιακῆς νόσου καὶ ὀφθαλμῶν πόνους, καὶ μάλιστα ἂν αὔξῃ ἡ Σελήνη [ἐν ἰδίοις οἴκοις]. Ἐν δὲ ἰδίοις οἴκοις τυχὼν ἐπὶ ἡμερινῆς γενέσεως καλὸς ἐν πᾶσίν ἐστι τοῖς προχειριζομένοις (ἔμπρακτος γὰρ καὶ ἐπικερδὴς ὁ χρόνος), ἐν δὲ νυκτεριναῖς γενέσεσι φαῦλος καὶ ζημίας καὶ ταραχὰς παρέχων.

250 ἐν δὲ Διὸς τόποις ἡμέρας μὲν μετεωρισμοὺς χάριν ὀχλικῶν ἢ δημοσιακῶν πραγμάτων καὶ ἀνεπιτευξίας ἐν ταῖς πράξεσι καὶ ἔχθρας καὶ διαβολὰς ἀπὸ ὑπερεχόντων προσώπων καὶ κρίσεις καὶ ζημίας παρέχων αἰφνιδίους, νυκτὸς δὲ καλὸς ἐν πᾶσι τοῖς ἐγχειριζομένοις, σύστασίν τε καὶ προκοπὴν καὶ κέρδη καὶ νίκην κατ' ἐχθρῶν περιποιεῖ. ἐν δὲ Κρόνου τόποις καλὸς ἐν πᾶσιν ὁμοίως καὶ θερμοτέρας τὰς πράξεις παρέχει καὶ θάνατον πρεσβυτέρων τινῶν ὄψεται ἀφ' ὧν μόχθους καὶ μάχας μετ' ὠφελείας ἕξει. ἐν δὲ τοῖς τῆς Ἀφροδίτης ψόγους ποιήσει καὶ ἐπηρείας καὶ ἔχθρας καὶ στομάχους καὶ οἰκειακὰς μέμψεις διὰ θηλυκὰ πρόσωπα καὶ χωρισμοὺς ἢ καὶ κινδύνους γυναικῶν τοῖς ἔχουσιν, εἰς δὲ τὰς πράξεις ἀγαθός ἐστιν. ἐν δὲ Ἑρμοῦ τόποις κρίσεις καὶ ἀνωμαλίας καὶ διαβολὰς καὶ ἐχθρῶν ἐπαναστάσεις, ζημίας, ψευδοκατηγορίας ἀπὸ ἰδίων καὶ φίλων, ἔτι δὲ ἐξ ἰδίων θρεπτῶν ἢ δούλων λύπας· εἰς γὰρ κλοπὰς καὶ ἁρπαγὰς ὁ χρόνος πᾶς ἔσται. Ὁ δὲ Ἄρης Κρόνῳ ἐπιμερίζων ἐπὶ ἡμέρας ταραχώδεις τοὺς χρόνους καὶ ἀκαταστάτους σημαίνει εἴς τε τὸν γάμον καὶ εἰς τὸν βίον καὶ εἰς τὰ τέκνα, ἔτι δὲ ἀπραγίας καὶ κρίσεις καὶ βίας καὶ ἔχθρας καὶ ἐπιβουλὰς καὶ λύπας καὶ ἀπροκοπίας καὶ πένθος γονέων ἀνωφελὲς καὶ λύπας

καὶ μερίμνας βιωτικάς, καὶ καθόλου βλαπτικοὶ καὶ ἄπρακτοι γενήσονται. ἐπὶ δὲ νυκτὸς παγχάλεπος· σημαίνει γὰρ δήμου ἐπηρείας καὶ κατακρίσεις, καταπλοκάς, νόσους τε μακρὰς καὶ πένθη εἰ μή πως ἢ Ζεὺς ἢ Ἀφροδίτη ἐπιμαρτυρίαν ἕξουσιν· λύσις γὰρ ἔσται τῶν κακῶν. Τῷ Διὶ δὲ ἐπιμερίζων ἐπὶ ἡμερινῆς γενέσεως ἐν πᾶσιν ἀγαθοὺς τοὺς χρόνους σημαίνει καὶ συστάσεις καὶ φιλίας πρὸς ὑπερέχοντας ποιεῖ ἀφ' ὧν δόξας καὶ προκοπὰς καὶ εὐφημίας καὶ ἀρχὰς λαμβάνουσιν, καὶ ἐχθρῶν ταπείνωσιν καὶ λύσεις κακῶν καὶ κατόρθωσιν πάντων τῶν πραγμάτων (καὶ εἰς πάντα πρακτικὸς ὁ χρόνος ἔσται) καὶ εὐρωστίας σώματος.

251 ἐπὶ δὲ νυκτερινῆς γενέσεως ἐν ἀρχῇ ἔχθρας καὶ θορύβους καὶ ἀπραγίας καὶ ψύξεις, ὕστερον δὲ περιγενήσεται τῶν φαύλων καὶ συστάσεις καὶ κέρδη καὶ φιλίας ἕξουσι καὶ ὀλίγα βλαβέντες πολλῶν περιγενήσονται. Τῷ δὲ Ἡλίῳ ἐπιμερίζων ἐπὶ μὲν ἡμέρας τοῦ Ἡλίου κεκακωμένου ποιεῖ κινδύνους, ταραχάς, δικολογίας ἕνεκεν δημοσίων πραγμάτων καὶ ζημίας καὶ ξενιτείας καὶ πατρικῶν ἀποστέρησιν ἢ πατρὸς κίνδυνον τοῖς ἔχουσι καὶ ἐχθρῶν ἐπανάστασιν καὶ ἐπηρείας καὶ νόσους καὶ ἀπὸ κρημνῶν πτώσεις, ἀποπληξίαν ἢ ἀγχόνην καὶ μετεωρισμὸν παρέχεται εἰ μή πως Ζεὺς ἢ Ἀφροδίτη θεωρήσαντες θεραπεύσουσι καὶ ποιήσουσι πρᾶξίν τινα καὶ ἀναστροφὰς μετὰ μόχθου καὶ ἀπιστιῶν, πλὴν ἐπιφέρει νόσους οἰκείων χάριν δούλων ἢ τέκνων, ἐπαναστάσεις ὄχλων, καταβοάς, καὶ κεφαλῆς καὶ ὀφθαλμῶν πόνον ἕξουσιν. ἐπὶ δὲ νυκτερινῆς ἀγαθὸς καὶ πρακτικὸς ἐν πᾶσι καθέστηκε καὶ πράξεις καὶ φιλίας καὶ ἀπόλυσιν κακῶν παρέχεται μετὰ μόχθου καὶ ἀπιστίας. Τῇ δὲ Σελήνῃ ἐπιμερίζων ἐπὶ μὲν νυκτερινῆς γενέσεως τῆς Σελήνης ἐξ ἀνατολῆς φερομένης χαλεποὺς χρόνους σημαίνει καὶ κινδύνους· ἐπιφέρει γὰρ φόβους καὶ αἰφνιδίων πραγμάτων ταραχὰς καὶ ζημίας καὶ πένθη θηλυκοῦ προσώπου (ἤτοι μητρὸς ἢ συγγενικῆς κεφαλῆς), ἀκαταστατήσει δὲ καὶ ἀσθενήσει καὶ αἱμαγμοὺς καὶ ἐκτρώσεις ἕξει καὶ τόπων ἀλλαγὰς εἰ μή πως ἀγαθοποιοῦ τινος ἰδόντος ἀποφυγὴ ἔσται τῶν κακῶν. ἐπὶ δὲ νυκτὸς ἐξ ἀποκρούσεως φερομένης τῆς Σελήνης εἰς πάντα ἀγαθὸς καὶ ὠφέλιμος ἔσται καὶ προκοπὴν καὶ σύστασιν καὶ εὐεργεσίας χάριν καὶ κέρδη καὶ βίου κατόρθωσιν, ἐπὶ ἡμέρας δὲ ταράττει καὶ βλάπτει, ἀλλὰ μεταβάλλει τὸ κακὸν ἐπὶ τὸ κρεῖσσον καὶ μόχθους καὶ θορύβους διαλύσει.

252 Τῇ δὲ Ἀφροδίτῃ ἐπιμερίζων ἐπὶ μὲν νυκτὸς ἀγαθοὺς καὶ πρακτικοὺς τοὺς χρόνους ἀποτελεῖ, καὶ ἐχθρῶν ταπείνωσιν καὶ συναρμογὰς γυναικῶν ἀλλὰ σὺν ψόγῳ, καὶ περίκτησιν δὲ ἕξει καὶ κέρδη, μάλιστα τῆς Ἀφροδίτης ἑῴας ἀνατολικῆς οὔσης, εἰ δὲ Κρόνος θεωρήσει ἐκ θηλυκῶν προσώπων λύπας καὶ μερίμνας ποιεῖ, εἰς δὲ τὰ λοιπὰ ἀγαθός ἐστιν. ἐπὶ δὲ ἡμέρας εἰς μὲν τὰς πράξεις ἀγαθός, πλὴν ἐπιφέρει θορύβους καὶ ἔχθρας γυναικῶν καὶ ἐκτρώσεις καὶ φίλων ἀχαριστίας καὶ ψόγον διὰ γυναῖκα καὶ διαθέσεις ἐρωτικὰς ἢ μοιχείας καὶ χωρισμοὺς γυναικῶν καὶ συγκρούσεις ἢ διαβολὰς καὶ κατάγνωσιν. Τῷ Ἑρμῇ δὲ ἐπιμερίζων ἐπί τε νυκτερινῆς καὶ ἡμερινῆς γενέσεως, μηδὲ τούτου διαμετρουμένου ἢ τετραγωνιζομένου ὑπό τινος τῶν κακοποιῶν, κακουργίας πραγμάτων καὶ λῃστρικὰς ἐπιθέσεις καὶ κρίσεις καὶ συνοχὰς καὶ διαβολὰς ἐκ φίλων καὶ δούλων ἐπιβολὰς καὶ πλοκὰς καὶ ἐπηρείας καὶ συκοφαντίας χάριν πραγμάτων καὶ δανείων ἢ ἐγγυητικῶν προσώπων θορύβους καὶ ἐγκλήματα καὶ ἐναντιώσεις φίλων καὶ δούλων καὶ σωματικοὺς κινδύνους ποιεῖ εἰ μή πως Ζεὺς ἐπιθεωρήσας ποιήσει πράξεις ἀγαθὰς καὶ ἀναστροφὰς καὶ ἐχθρῶν ἐπικράτησιν. 〈μα'〉 Ἡλίου χρονοκρατορία Ὁ Ἥλιος ἑαυτῷ ἐπιμερίζων ἐπὶ μὲν ἡμερινῆς γενέσεως ἐπὶ τοῦ ὡροσκόπου τυχὼν ἐμπράκτους χρόνους ποιεῖ καὶ συστάσεις πρὸς ὑπερέχοντα πρόσωπα καὶ ἀπὸ ἐπιδημίας ἐμπράκτους καὶ πίστεις καὶ φιλίας παρέχεται καὶ ἀπὸ παλαιῶν πραγμάτων ὠφελείας, καὶ ἐν πᾶσιν ἀγαθὸς καὶ ἐπικερδής.

253 ἐπὶ νυκτερινῆς δὲ ἀκτινοβολούμενος ὑπὸ κακοποιῶν μετεωρισμοὺς καὶ πρὸς μεγάλα πρόσωπα ἀμφισβήτησιν ποιεῖ, καὶ ἐὰν τύχῃ πράσσων ἀπραγήσει καὶ ταραχθήσεται καὶ ἀθυμήσει καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νοσήσει, καὶ κρίσεις ποιήσει βιαίας καὶ στενοχωρίας καὶ ὀφθαλμῶν ἄλγησιν καὶ πληγὴν σιδήρου ἐπιφέρει καὶ πατρὸς κίνδυνον καὶ πατρικῶν ἐλάττωσιν καὶ πράγματα κεφαλικὰ ἐπάγει καὶ ....... ἐλάττωσιν, καὶ εἰς ὃ ἂν ἐπιβάλληται ἀνωφελὴς ὁ χρόνος. Ἐν δὲ Ἄρεως οἴκῳ τυχὼν νόσους κοιλιῶν ποιεῖ καὶ πλευρῶν πόνους καὶ τραύματα καὶ ἕνεκα ἐχθρῶν πολλὰ κακὰ ποιήσει χάριν ἐπιβουλῆς καὶ βλάβας καὶ ζημίας, καὶ ἐξ ὄχλων καὶ ἰδίων προδοσίας, νυκτὸς δὲ μετριώτερα τὰ φαῦλα ἔσται. ἐν δὲ Κρόνου οἴκοις δυσεντερίας καὶ στραγγουρίας καὶ ἀποστήματα, καὶ ὁ πατὴρ δὲ κινδυνεύσει τοῦ ἔχοντος, καὶ ἀπραγίας καὶ νόσους παρέχει, μάλιστα νυκτός, ἡμέρας δὲ μετὰ ἀπιστίας καὶ βραδυτῆτος ἀνύσει τὰ πράγματα. ἐν δὲ Ἑρμοῦ τόποις δίκας αἱρεῖ πρὸς ὑπερέχοντας καὶ ἐχθροὺς ἐπεγείρει καὶ ψῦξιν πραγμάτων καὶ ζημίας καὶ ἐπιθέσεις, μάλιστα νυκτός, ἡμέρας δὲ περιγενέσθαι τῶν φαύλων ποιεῖ. ἐν δὲ τοῖς τῆς Ἀφροδίτης τόποις διὰ θηλυκὰ πρόσωπα μετεωρισμοὺς ποιεῖ, καὶ ψόγον καὶ λύπας καὶ μερίμνας παρέχει. ἐν δὲ τοῖς ἰδίοις ἡμέρας μὲν καλῶς κείμενος πρὸς ὑπερέχοντας σύστασιν καὶ δόξαν περιποιεῖ, νυκτὸς δὲ μέτριος. ἐν δὲ τοῖς τόποις τοῦ Διὸς νυκτὸς μὲν τὰ φαῦλα μέτρια ποιήσεται καὶ ἐπικράτησιν τῶν ἐχθρῶν παρέξει, πλὴν λύπην ἐπάγει τινῶν ἰδίων, ἡμέρας δὲ ἀγαθὸς καὶ δόξας ποιεῖ ἐν πᾶσι τοῖς ἔργοις. ἐν δὲ τοῖς τόποις τῆς Σελήνης χαλεπὸς καὶ ἄπρακτος ἔσται, τόπους ἐκ τόπων μεταβάλλων καὶ θορύβους καὶ ἀσθενείας καὶ ὀφθαλμῶν πόνον ποιῶν καὶ στομάχου, καὶ μάλιστα νυκτός, ἡμέρας δὲ ἀγαθὸς καὶ ἔμπρακτος ἐὰν αὐξιφωτῇ ἡ Σελήνη.

254 Ὁ Ἥλιος τῇ Σελήνῃ ἐπιμερίζων ἐπὶ νυκτερινῆς γενέσεως οὐκ ἀγαθός ἐστιν (φθόνους γὰρ φέρει καὶ ζημίας πρὸς χρόνον ὀλίγον καὶ δαπάνας καὶ ξενιτείας καὶ ἀπὸ θηλυκῶν προσώπων ἀηδίας καὶ ἔχθρας ἀπὸ ἰδίας), εἰ δὲ αὐξιφωτοῦσα τύχοι ἡ Σελήνη μετρίως βλάπτει, καὶ μετὰ μόχθων ἀποφυγὴ ἔσται τῶν κακῶν ἡμέρας. νυκτὸς δὲ τῆς Σελήνης ἐπ’ ἀνατολῆς φερομένης καλλίστου καιροῦ γίνεται συμφωνία καὶ κέρδη εὐημερίαν ἔχοντα. Τῷ δὲ Κρόνῳ ἐπιμερίζων ἐπὶ νυκτὸς κινδύνους καὶ ἀπραγίας καὶ ψῦξιν πράξεων καὶ κρίσεις καὶ ἀνασκευὰς ἐπιφέρει καὶ νεύρων ἀλγηδόνας καὶ λύπας καὶ δάκρυα σὺν θορύβοις καὶ ἔχθρας ἀπὸ πρεσβυτέρων, καὶ θανάτους οἰκείων προσώπων ὄψεται, φόβους καὶ μερίμνας, καὶ εἰς πάντα βλαβερὸς ὁ χρόνος ἔσται. ἐπὶ δὲ ἡμέρας μέτρια τὰ φαῦλα, καὶ πρᾶξιν καὶ σύστασιν παρέχει καὶ ἄνυσιν πραγμάτων πλὴν μετὰ βραδυτῆτος. Τῷ δὲ Διὶ ἐπιμερίζων ἐπὶ ἡμερινῆς γενέσεως μεγάλας πράξεις καὶ περίκτησιν καὶ δόξας πολιτικὰς παρέξει, καὶ ἐν πᾶσιν ὁ χρόνος καλὸς ἔσται, καὶ νίκην κατ’ ἐχθρῶν δώσει καὶ κληρονομίας καὶ μεγάλων ἀνδρῶν φιλίας. ἐπὶ νυκτὸς δὲ κακῶν πλείστων αἴτιος ἔσται (μετρίους γὰρ τοὺς χρόνους καὶ ἀπράκτους καὶ ζημιώδεις ἀπεργάζεται καὶ σκυλτικάς), καὶ προκοπῶν ἐκκοπὰς καὶ ἔχθρας καὶ θορύβους ποιήσει καὶ σωματικὰς ὀχλήσεις, καὶ μάλιστα ἐὰν ὑπὸ κακῶν θεωρηθῇ. Τῷ δὲ Ἄρει ἐπιμερίζων ἐπὶ ἡμερινῆς γενέσεως οὐκ ἀγαθός (κακῶν γὰρ πλείστων αἴτιος γενήσεται), καὶ ἐκπτώσεις καὶ ἐπιθέσεις καὶ διαβολὰς καὶ κινδύνους καὶ νόσους καὶ αἱμαγμοὺς καὶ πτώσεις ἐξ ὕψους ποιήσει ἢ ἀπὸ τετραπόδων καὶ ὀφθαλμῶν πόνον καὶ ἐξ ἰδίων προδοσίας καὶ οἰκείων θορύβους καὶ φίλων ἔχθρας καὶ αἰφνιδίους συμφορὰς ἐγείρει.

255 ἐπὶ νυκτὸς δὲ μέτρια τὰ φαῦλα καὶ ἀποφυγὴ ἔσται τῶν κακῶν φιλάνθρωπος. Τῇ δὲ Ἀφροδίτῃ ἐπιμερίζων καὶ ἐπὶ ἡμέρας καὶ νυκτὸς ἀμαρτυρήτῳ οὔσῃ ὑπὸ κακοποιῶν πρᾶξιν καὶ ἐπίκτησιν σημαίνει, μάλιστα ἑῴας οὔσης· καλοὶ γὰρ οἱ χρόνοι ἐπὶ ταύτης ἀνεγράφησαν (ἤτοι γὰρ διὰ θηλυκοῦ προσώπου ἢ φίλου ἢ ἐπιτηδεύματός τινος εὐημερίας παρέχει καὶ ὠφελείας), καὶ ἐν πᾶσιν ἐπιχαρὴς ἔσται ὁ χρόνος, καὶ εἰς ὃ ἂν ἐπιβάληται ἐπιτυγχάνει. ὑπὸ δὲ κακοποιῶν θεωρουμένης ἢ δυτικῆς οὔσης καὶ ἑσπερίας μέτριοι οἱ χρόνοι καὶ ἄπρακτοι καὶ ἐπιτάραχοι καὶ ἐπιβλαβεῖς, καὶ ἐπιθέσεις ἐξ ἰδίων καὶ θηλυκῶν καὶ ἐπηρείας καὶ βλάβας ποιεῖ. Τῷ δὲ Ἑρμῇ ἐπιμερίζων καὶ ἐπὶ ἡμέρας καὶ ἐπὶ νυκτὸς καλοὺς τοὺς χρόνους καὶ ἐπιτευκτικοὺς καὶ ἐμπράκτους ποιεῖ καὶ εὐημερίας ἔκ τε πραγμάτων ἢ πίστεως ἢ συναλλαγῶν καὶ κοινωνίας καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγορασμοὺς καὶ οἰκονομίας ἀποτελεῖ, καὶ εἰς πάντα ὁ χρόνος ἱλαρὸς ἔσται. ἐν δύσει δὲ ὄντος ἑσπερίᾳ καὶ ὑπὸ κακοποιοῦ θεωρουμένου πραγμάτων ἐκκοπὰς καὶ θορύβους ποιεῖ καὶ ἐπιβουλὰς καὶ ζημίας καὶ φίλων ἀχαριστίας καὶ ἀπροσωπίας καὶ θλίψεις βιωτικὰς καὶ ἐκ δούλων ἐπιθέσεις ἢ δρασμοὺς ἢ κλοπὰς ἢ νόσους θρεπτῶν καὶ στομάχου καὶ ἔχθρας αἰφνιδίους εἰ μή πως ὁ ἀστὴρ ἀνατολικὸς ὢν φανῇ· οὕτω γὰρ ἀποφυγὴν τῶν κακῶν ποιήσει. 〈μβʹ〉 Ἀφροδίτης χρονοκρατορία Ἡ Ἀφροδίτη ἑαυτῇ ἐπιμερίζουσα ἐπὶ ἑῴας ἀνατολῆς καὶ ἐπίκεντρος οὖσα χωρὶς τῆς ἀπὸ Κρόνου θεωρίας ἀγαθοὺς τοὺς χρόνους σημαίνει, ἐπιτευκτικούς τε καὶ πρακτικοὺς καὶ δοξαστικοὺς καὶ σύστασιν ἔχοντας πρὸς ὑπερέχοντας καὶ πράξεις ἐπικερδεῖς καὶ χαρὰν ἐπὶ οἰκείοις καὶ προκοπάς, ἔτι δὲ καὶ πρὸς θηλυκὰ πρόσωπα φιλίας καὶ ἐρεθισμοὺς ἀφ’ ὧν ὠφελοῦνται, καὶ ἐν τέχναις ἢ ἐπιτηδεύμασιν εὐημεροῦσι καὶ καλωνυμοῦνται καὶ ἐχθρῶν περιγίνονται, θεωρουμένη δὲ ὑπὸ κακοποιῶν θορύβους καὶ κρίσεις καὶ ἀπραγίας καὶ μερίμνας ἐπάγει, καὶ ἐν πᾶσι τὸν χρόνον βλαπτικόν.

256 ὁμοίως καὶ ἀθεώρητος οὖσα ὑπὸ κακοποιῶν ἀγαθή ἐστιν, ὕπαυγος δὲ οὖσα καὶ ὑπὸ κακοποιῶν θεωρουμένη ταραχὰς καὶ μάχας ἐκ θηλυκῶν προσώπων καὶ φίλων παραβάσεις καὶ ἔχθρας ἐπιφέρει καὶ ἀπραγίας καὶ ψύξεις πράξεων καὶ κινδύνους καὶ ἐκτρώσεις καὶ αἱμαγμοὺς γυναικῶν ἀπεργάζεται καὶ νόσους. Καὶ ἐὰν μὲν τύχῃ ἐν οἴκῳ Ἡλίου αἰσχρὰ πράγματα διαπράσσεται, μοιχείας καὶ χωρισμοὺς προπετεῖς. ἐν δὲ οἴκῳ Σελήνης ζηλοτυπίας καὶ ἔχθρας διὰ γυναῖκα, εἰς δὲ τὰ λοιπὰ πάντα ἔμπρακτος καὶ ἐπικερδὴς ἔσται. Ἐν δὲ ἰδίοις τόποις ἀγαθὸν καὶ ἐπικερδῆ τὸν χρόνον, καὶ μάλιστα διὰ θηλυκῶν προσώπων, καὶ πράξεις καὶ βίου συναλλαγὴν παρέχει καὶ φίλων σύστασιν. ἐν δὲ Κρόνου τόποις φθόνους καὶ μετεωρισμοὺς ἀπεργάζεται καὶ νόσους μακρὰς καὶ μερίμνας διὰ γυναῖκας καὶ φαντασίας ὀνείρων, καὶ ἄπρακτον τὸν χρόνον. ἐν δὲ Διὸς τόποις μεγάλας προκοπὰς σημαίνει, ἀγάμοις γάμον, γεγαμηκόσι τέκνα, καὶ ἐν πᾶσιν ἱλαρὸν τὸν χρόνον. ἐν δὲ Ἄρεως τόποις .... ἐν δὲ Ἑρμοῦ τόποις ἐπιχαρῆ τὸν χρόνον σημαίνει, καὶ πράξεις καὶ ὠνὰς παίδων μουσικῶν, καὶ αὐτοὶ δὲ Μούσης τινὸς ἐρασταὶ γενήσονται καὶ σύστασιν φιλίας ἕξουσιν. Ἡ Ἀφροδίτη Κρόνῳ ἐπιμερίζουσα ἐπὶ μὲν νυκτερινῆς γενέσεως κινδύνους θανατηφόρους γυναικῶν ποιεῖ καὶ σύγχυσιν καὶ ἐπηρείας καὶ διὰ θηλυκοῦ προσώπου λύπας, καὶ εἰς πάντα τὸν χρόνον ἀηδῆ καὶ νοσώδη καὶ ἄπρακτον (ἢ γὰρ φαρμάκων ὑπονοίας ἢ ἐπιβουλὰς παρέχεται), καὶ εἰς πᾶν ὃ ἂν πράξωσι χάριν οὐχ ἕξουσιν, ἀλλὰ μέμψιν ὑπομενοῦσι καὶ εὐεργετήσαντες ἀχαριστοῦνται, καὶ πράξεων ἐγκοπὰς καὶ ἀπὸ περιψύξεως ἢ ῥευμάτων ἢ βασάνων ἢ σπληνὸς πόνον ὥστε καὶ ἐπὶ ναοὺς καταφεύγειν προφάσει νόσων.

257 ἐπὶ δὲ ἡμέρας ἀποφυγὴν τῶν κακῶν ἀπεργάζεται καὶ πράξεις καὶ κέρδη καὶ ἐκ μὴ ἐλπιζομένων πραγμάτων καὶ προκοπὰς ἐπὶ τὸ κρεῖττον, καὶ ἐν παντὶ τὸν χρόνον ὠφέλιμον. Τῷ δὲ Διὶ ἐπιμερίζουσα ἐπί τε ἡμερινῆς καὶ νυκτερινῆς γενέσεως ἀγαθὴ ἐν πᾶσιν ἔσται, καὶ προκοπὰς ποιεῖ καὶ κέρδη καὶ ἀγάμοις γάμον καὶ ἀτέκνοις τέκνα καὶ ἐχθρῶν ἐπικράτησιν καὶ σύστασιν καὶ εὐφημίαν ἀπὸ φίλων καὶ θηλυκῶν προσώπων διά τε λόγων ἢ πραγμάτων ἢ ἐπιτηδευμάτων, καὶ πολλὰ κτήσεται καὶ ψευδόμενοι πιστευθήσονται καὶ ἐν ταῖς πράξεσιν ἐπιτεύξονται καὶ ἐξ ἐμπορικῶν ἢ κοινωνικῶν ἔργων ὠφελοῦνται, ἐπί τε οἴκῳ καὶ παντὶ πράγματι ἐπίχαριν ποιήσει τὸν χρόνον, καὶ ἀγορασμοὺς καὶ ἔμμουσα πράγματα. εἰ δ’ ὕπαυγος εἴη ψόγον καὶ θορύβους καὶ ζημίας καὶ ἐναντιώσεις ἐπάγει ἕνεκα γυναικὸς καὶ διαβολὰς καὶ φίλων ἀχαριστίας. Τῷ δὲ Ἡλίῳ ἐπιμερίζουσα ἐπὶ ἡμερινῆς γενέσεως μὴ οὖσα ὕπαυγος μήτε ὑπὸ κακοποιῶν θεωρουμένη μεγάλας πράξεις καὶ ἐπίκτησιν καὶ σύστασιν καὶ κέρδη, ἔκ τε θηλυκῶν προσώπων καὶ φίλων ἐπισήμων εὐεργεσίας καὶ χαρὰν ἐπὶ τῷ οἴκῳ καὶ εὐφημίαν ἐν πᾶσι πράξεσιν. θεωρουμένη δὲ ὑπὸ κακοποιῶν ἢ Διός, μάλιστα νυκτός, χωρισμοὺς γυναικῶν ἀποτελεῖ καὶ ἔχθρας καὶ ψόγον καὶ θορύβους διὰ γυναῖκα, εἰς δὲ τὰς πράξεις ἀγαθὴ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπικερδής. Τῇ δὲ Σελήνῃ ἐπιμερίζουσα ἐπί τε νυκτὸς καὶ ἡμέρας τῆς Σελήνης ἐξ ἀνατολῶν φερομένης ἀντιδικίας καὶ ἐναντιώσεις καὶ ἔχθρας ἀνασκευάζει, ἀπραγίας τε καὶ ἐγκοπὰς πραγμάτων ποιεῖ καὶ ψύξεις καὶ χωρισμοὺς γυναικῶν καὶ ἔχθρας αὐτῶν καὶ δρασμοὺς καὶ νόσους καὶ οἰκετῶν ἐλάττωσιν, καὶ φαρμακείας ὑπομένουσι καὶ εἰς γυναῖκα ὑποψίαν ἕξουσιν, καὶ ζηλοτυπίας καὶ δειγματισμοὺς καὶ οἰκειακὰς ἀηδίας καὶ ἀναστατώσεις ποιεῖ, καὶ πᾶν τὸ εἰσερχόμενον δαπανηθήσεται εὐθέως, δικάζονται δὲ πολλάκις πρός τινας.

258 ἐξ ἀποκρούσεως δὲ φερομένη μετρίως ὠφελεῖ καὶ πράξεις καὶ συστάσεις καὶ κέρδη ἀπροσδοκήτως ποιεῖ. ⟨μγ′⟩ Ἑρμοῦ χρονοκρατορία Ὁ Ἑρμῆς δὲ λαβὼν τὴν ἐπικράτησιν τοῦ χρόνου ἐπί τε ἡμερινῆς καὶ νυκτερινῆς γενέσεως ἐπὶ ἀνατολῆς ἑῴας τυχὼν καὶ ἐπίκεντρος χωρὶς κακοποιοῦ θεωρίας ἀγαθὸς καὶ πρακτικὸς καὶ ἐπικερδής ἐστιν, καὶ συστατικοὺς καὶ εὐφήμους ἀποτελεῖ καὶ προσόδους ἀπό τε λόγων καὶ πραγμάτων ἢ πίστεως ἢ τέχνης ἢ ἐπιτηδευμάτων καὶ ἐχθρῶν καθαίρεσιν, οἰκείων τε χαρὰν καὶ πάντων ἐπίτευξιν. ἐὰν δὲ ὑπὸ κακοποιῶν θεωρηθῇ θορύβους, δίκας καὶ ἐγκλήματα ἐπάγει. Καὶ ἐν μὲν ἡλιακῷ ζῳδίῳ τυχὼν ποιεῖ πράξεις καὶ κέρδη χαρίζεται. ἐν δὲ σεληνιακῷ ζῳδίῳ νυκτὸς μὲν αὐξιφώτου οὔσης τῆς Σελήνης καὶ πρᾶξιν καὶ σύστασιν καὶ δόξαν καὶ προκοπὴν ποιεῖ, ληγούσης δὲ τῆς Σελήνης ἐν ἀρχῇ μὲν ἀπραγίαν, ὕστερον δὲ πρᾶξιν καὶ ἐπιτευκτικὸν ἐργάζεται τὸν χρόνον καὶ ὠφέλιμον ἔν τε προκοπῇ καὶ συστάσει καὶ φιλίᾳ. Ἐν δὲ ἰδίοις τόποις καλὸς καὶ πρακτικὸς καὶ δοξαστικός. ἐν δὲ τόποις Κρόνου ψύξεις πραγμάτων καὶ ἀποβολὰς καὶ ἀρχαίων πραγμάτων ἀνασκευὰς καὶ ἔχθρας. ἐν δὲ Ἄρεως οἴκοις θορύβους καὶ ἐπιβουλὴν πραγμάτων καὶ κατηγορίας καὶ θλίψεις καὶ διαβολὰς καὶ ἐχθρῶν ἐπανάστασιν καὶ δούλων λύπας καὶ ἐνέδραν πραγμάτων.

259 ἐν δὲ Διὸς τόποις ἐπίχαρις καὶ ἐπικερδὴς καὶ δοξαστικὸς ἔσται καὶ λαμπρὸν τὸν χρόνον ποιήσει, καὶ Μούσης τινὸς προθύμως ἐρασθήσονται. Ὁ Ἑρμῆς δὲ Κρόνῳ ἐπιμερίζων καὶ ὑπὸ τοῦ Διὸς θεωρούμενος ἀπραγίας καὶ ζημίας καὶ ἀρχαίων πραγμάτων ἀνασκευὰς καὶ κρυπτῶν ἔργων ἐλέγξεις καὶ οἰκετῶν λύπας ἢ τέκνων θρεπτῶν καὶ νόσους καὶ κινδύνους ἐπάγει καὶ περὶ τὰ νεώτερα πράγματα αἰτίας καὶ σωματικὰς ὀχλήσεις ἕνεκα κρυπτῶν πόνων, καὶ εἰς πάντα ἀηδὴς ὁ χρόνος. Τῷ Διὶ δὲ ἐπιμερίζων καὶ ἐπὶ νυκτὸς καὶ ἡμέρας πρακτικοὺς τοὺς χρόνους σημαίνει καὶ περίκτησιν καὶ κέρδη καὶ ἐχθρῶν καθαίρεσιν καὶ χαρὰν ἐπὶ οἴκῳ καὶ εὐφημίαν καὶ ἀγορασμοὺς καὶ προκοπὰς διά τε λόγων καὶ γραπτῶν καὶ ἐμποριῶν καὶ μισθαρνιῶν, εἰ δὲ ὕπαυγος εἴη καὶ ὑπὸ κακοποιῶν θεωροῖτο μάλιστα ἔχθρας καὶ ζημίας καὶ δίκας ἢ διαβολὰς καὶ φθόνον καὶ ἐνέδραν καὶ μετεωρισμοὺς παρέξει ἀπὸ μεγάλων προσώπων. Τῷ δὲ Ἄρει ἐπιμερίζων καὶ ὑπὸ τούτου θεωρούμενος ἐπιταράχους τοὺς χρόνους σημαίνει καὶ θλίψεις καὶ συκοφαντίας καὶ ἔχθρας καὶ ῥᾳδιουργίας καὶ ληστρικὰς ἐπιθέσεις καὶ ἀποστερήσεις καὶ ἐπιορκίας ἐκ φίλων, ἐπανάστασίν τε ἐχθρῶν καὶ ζημίας ἀπό τε λόγων καὶ πραγμάτων ἀργυρικῶν καὶ κατηγορίας ἄλλων ἁμαρτησάντων (καὶ ἐπὶ τετραπόδων καθῆσθαι κωλύσει διὰ πτῶσιν) καὶ τέκνων ἢ θρεπτῶν λύπας καὶ δούλων δρασμοὺς καὶ στομάχου πόνον καὶ καρδίας, μάλιστα ἡμέρας, νυκτὸς δὲ περιγενέσθαι τῶν φαύλων ποιεῖ. Τῇ δὲ Ἀφροδίτῃ ἐπιμερίζων καὶ ἐπὶ ἡμερινῆς καὶ νυκτερινῆς γενέσεως τῆς Ἀφροδίτης οὔσης ἑῴας ἀνατολικῆς ἐπικέντρου ἐπιπλοκὰς καὶ συνηθείας γυναικῶν ποιεῖ, καὶ ἐπίχαριν καὶ ἐπικερδῆ, καὶ ἐκ φίλων εὐεργεσίας καὶ ἀνάπαυσιν κακῶν, καὶ πᾶν ὅ τι ἂν λέγωσι πιστευθήσονται, ἐὰν δὲ ὑπὸ κακοποιῶν θεωρηθῇ ὕπαυγος ὢν μόχθους καὶ λύπας ἐπάγει χάριν γυναικός, ἢ ἀγγελίαν ἐπίλυπον καὶ οἰκείας ἀηδίας ἀπεργάζεται.

260 Τῷ Ἡλίῳ δὲ ἐπιμερίζων, μάλιστα ἀνατολικὸς ὤν, ξενιτείας σημαίνει καὶ μεταβολὰς τόπων, καὶ πίστιν καὶ μυστήρια τηροῦσι καὶ πολιτικὰς ἀηδίας διαλύει καὶ δημόσια πιστευθήσονται, καὶ καλὸς ὁ χρόνος ἔσται, εἰ δὲ ὕπαυγος τῷ Ἡλίῳ τύχοι ποιεῖ πόνον καὶ πρός τινας ἔχθρας καὶ ταραχάς, ὕστερον δὲ περιγίνονται. νυκτὸς δὲ ὕπαυγος ὢν μετέωρον χρόνον καὶ βλαπτικὸν

σημαίνει, καὶ ἐκ μεγάλης κεφαλῆς ἀπειλὰς καὶ ἐπανάστασιν ἐχθρῶν καὶ μόχθους καὶ κατηγορίας καὶ δαπάνας ποιήσει, καὶ ἐκ δούλων λοιδορίας καὶ βλάβας ἕξει. Τῇ δὲ Σελήνῃ ἐπιμερίζων ἐπί τε ἡμέρας καὶ νυκτὸς τῆς Σελήνης ἐξ ἀνατολῆς φερομένης πρακτικοὺς τοὺς χρόνους σημαίνει καὶ ἐπικερδεῖς, τῆς δὲ Σελήνης ἐξ ἀποκρούσεως φερομένης μικροψυχίας παρέχει καὶ παρ' ἐλαχίστων προσώπων καὶ γυναικὸς ἀηδίας καὶ μερίμνας καὶ φιλονεικίας πραγμάτων καὶ λύπας καὶ διαβολάς, καὶ ἐπὶ τοῖς γεγονόσι πιστεύονται καὶ νοσοῦσι καὶ ζημίας ὑφίστανται ἕνεκα πραγμάτων ἢ λόγων, καὶ τὸ λαμπρὸν τούτοις οὐκ ἔσται λαμπρόν, τὸ δὲ χαλεπὸν τούτοις ὀξὺ καὶ μετέωρον. 〈μδ'〉 Σελήνης χρονοκρατορία Ἡ Σελήνη λαμβάνουσα τοὺς χρόνους ἐπὶ νυκτερινῆς γενέσεως ἐπίκεντρος οὖσα καὶ αὐξίφωτος ἀγαθὴ καὶ ἔμπρακτος καὶ ξενιτείας ἀγαθὰς παρέχει καὶ συστάσεις καὶ εὐφημίας, τισὶ δὲ καὶ ἀπὸ μητρὸς τοῖς ἔχουσιν ἢ θηλυκοῦ προσώπου ὠφελείας, ληξίφωτος δὲ οὖσα ἀτονώτερον ποιεῖ τὸν καιρόν.

261 ἐπὶ δὲ ἡμέρας αὐξιφωτοῦσα οὐ κακὴ μὲν ἀνεγράφη εἰς πάντα, μετὰ βραδυτῆτος δὲ καὶ μόχθου ἐπιτελεῖ τὰς πράξεις, λειψιφαὴς δὲ ἐπὶ ἡμέρας οὖσα ἐν παντὶ βλαπτική· καὶ γὰρ δυναστευθήσονται καὶ ξενιτείας ἀνωφελεῖς ποιήσουσι καὶ φόβους καὶ κινδύνους. ἐὰν δὲ κακοποιὸς ἐμβῇ εἰς τοὺς τῆς Σελήνης τόπους αὐτῆς ἐχούσης τοὺς χρόνους κινδύνους περὶ τὸ ζῆν καὶ νόσους, ἀγαθοποιοῦ δὲ θεωρήσαντος σκεπασμὸς τῶν κακῶν ἔσται καὶ στομάχου πόνος καὶ ὀφθαλμίαι καὶ ἐντέρων κακώσεις καὶ θάνατος οἰκείων καὶ ἀκαταστασία καὶ θόρυβοι ἰσχυροί. Καὶ ἐν μὲν ἰδίῳ ζῳδίῳ μικροψυχίας καὶ κενὰς ἀγγελίας, εἰ δὲ .............. ἐπί τε ἡμέρας καὶ νυκτὸς λυπηρὸς εἰς ἅπαντα ὁ χρόνος. ἐν δὲ τοῖς τοῦ Κρόνου τόποις σωματικὰς ἀσθενείας καὶ ῥευματισμοὺς καὶ παλαιῶν πραγμάτων ἀνασκευὰς καὶ ζημίας καὶ ἐχθρῶν ἔγερσιν, καὶ ἐν πᾶσιν ἀηδὴς ὁ χρόνος, μάλιστα δὲ ἐὰν ᾖ λειψίφωτος, ἐὰν δὲ αὐξίφωτος οὐκ ἔστι βλαπτική. ἐν δὲ τοῖς τοῦ Ἡλίου τόποις ταραχὰς καὶ σκυλμοὺς καὶ λύπας πρὸς ἰδίους ποιεῖ. ἐν δὲ τοῖς τοῦ Διὸς ἀπόλυσιν κακῶν ποιεῖ καὶ σύστασιν καὶ δόξαν καὶ ἐχθρῶν καθαίρεσιν, καὶ μάλιστα ἐπ' ἀνατολῆς οὖσα, λειψιφαὴς δὲ οὖσα οὐκ ἀγαθή, ἀλλὰ μετρίας τὰς εὐεργεσίας ποιεῖ. ἐν δὲ τοῖς τοῦ Ἄρεως ὀμμάτων ἀσθενείας ποιεῖ, μάλιστα ἐπὶ ἡμέρας, καὶ αὐξίφωτος οὖσα πυρετούς, αἱμαγμούς, κινδύνους, στομάχου πόνον καὶ ἀνασκευὰς ποιεῖ, νυκτὸς δὲ ἐν πᾶσιν ἀγαθὴ τοῖς ἐγχειριζομένοις, καὶ ὀξέως τὰς πράξεις περαίνει, καὶ δοκοῦντες βλάπτεσθαι ἀπροσδοκήτως ὠφελοῦνται. ἐν δὲ τοῖς τῆς Ἀφροδίτης ζηλοτυπίας πραγμάτων καὶ ἀντικατάστασιν γυναικῶν ποιεῖ, οὐ μέντοι βλαπτικὴ γίνεται ἀλλ' ὠφέλιμος ἐν παντὶ πράγματι, περιγίνονται δὲ καὶ τῶν ἐχθρῶν, εἰς δὲ τὰ θηλυκὰ πρόσωπα ταραχώδης ἔσται ὁ χρόνος. ἐν δὲ τοῖς τοῦ Ἑρμοῦ ἀνασκευὰς πραγμάτων ἐξ ἀρχῆς, ὕστερον δὲ περιγενέσθαι ποιεῖ καὶ πιστὸν ἀπεργάζεται.

262 Ἡ Σελήνη Κρόνῳ ἐπιμερίζουσα ἐπὶ μὲν νυκτὸς λειψιφαὴς ἀνενδεὴς καθέστηκεν εἰ καὶ ἀνωφελείας καὶ δυσπραξίας σημαίνει καὶ παροδικὰς ἀσθενείας καὶ κρίσεις καὶ ζημίας, καὶ εἰς πάντα ἀηδής, αὐξίφωτος δὲ οὖσα καὶ ὑπὸ ἀγαθοποιοῦ θεωρουμένη σύστασιν καὶ πρᾶξιν καὶ βίου κατόρθωσιν μετὰ μόχθου ποιεῖ. ἐπὶ δὲ ἡμέρας αὐξίφωτος οὖσα εἰς πάντα ἀγαθὴ καὶ τῶν μὴ προσδοκωμένων πραγμάτων ἀνυστική, εἰ δὲ ληξίφωτος εἴη ἐπὶ ἡμέρας νόσους ἐπιφέρει καὶ κινδύνους κρυπτῶν τόπων καὶ κοιλίας καὶ μακροχρονίας καὶ παλαιῶν πραγμάτων ἀνάμνησιν καὶ λύπας καὶ διαβολὰς καὶ μερίμνας γυναικῶν, ἔτι δὲ ὀφθαλμῶν ἀλγηδόνας καὶ ῥίγη καὶ πυρετοὺς εἰ μή πως Ζεὺς ἐπιθεωρήσας σώσει λήθην τῶν κακῶν παρέχων. Τῷ Διὶ δὲ ἐπιμερίζουσα ἐπὶ ἡμέρας καὶ αὐξιφωτοῦσα ἀγαθὰ σημαίνει καὶ νίκην κατ' ἐχθρῶν καὶ δόξας πολιτικὰς καὶ εὐρωστίαν σώματος καὶ ἐκ θηλυκοῦ προσώπου σύστασιν καὶ ὠφέλειαν, καὶ εὐφημίαν ἀποτελεῖ, λειψιφαὴς δὲ μετὰ μόχθων καὶ ἀπιστίας πράξει τὰ ἀγαθά. ἐπὶ δὲ νυκτὸς αὐξιφωτοῦσα ἀγαθὴ καὶ ὠφέλιμος, ληξιφωτοῦσα δὲ ἀηδῆ καὶ ἄπρακτον τὸν χρόνον ποιήσει καὶ μετὰ ἀγωνίας καὶ φόβου τῶν φαύλων ἀποφυγήν. Τῷ δὲ Ἄρει ἐπιμερίζουσα ἐπὶ νυκτὸς αὐξιφωτοῦσα ἀγαθὴ καὶ ἔμπρακτός ἐστιν ἐν συστάσει καὶ προκοπαῖς ἐξ ὑπερεχόντων

προσώπων καὶ κτῆσιν ποιεῖ ἐκ δημοσίων πραγμάτων καὶ ἐξ ὄχλων εὐφημίαν καὶ ἐκ στρατιωτικῶν προσώπων, καὶ τὸν χρόνον ἐπιτευκτικὸν εἰς πάντα ποιήσει καὶ εἰς πίστιν καὶ ἀρχὰς ἐπίδοξον, καὶ γάμον καὶ συνήθειαν γυναικὸς σημαίνει ἐπὶ καλῷ, μάλιστα τῆς Σελήνης τρίγωνον θέσιν ἐχούσης πρὸς αὐτόν, τῆς δὲ Σελήνης ἐκ δύσεως φερομένης οὐ κακὸς μὲν ἔσται ὁ χρόνος, ἐπιτάραχος δὲ καὶ σκυλτικὸς ἐν ἀρχῇ, ὕστερον δὲ καὶ κέρδη ποιήσει καὶ προκοπὰς καὶ ἐχθρῶν ταπείνωσιν.

263 ἐπὶ ἡμέρας δὲ λειψιφωτοῦσα ἀγαθὴ μὲν ἔσται, ἀλλ' οὐ τοσοῦτον ὠφέλιμος, μετὰ δὲ θορύβων καὶ ἐναντιωμάτων καὶ ἐνστάσεως ἐχθρῶν περιγίνονται τῶν φαύλων, αὐξιφωτοῦσα δὲ κακὴ καὶ ἀηδής· κινδύνους γὰρ καὶ ἔχθρας καὶ ζημίας καὶ ἔφοδόν τινων ληστῶν καὶ φόβους ἐκ δημοσίων καὶ δειγματισμοὺς καὶ ἀπειλὰς ἐξ ὑπερεχόντων, ἔτι δὲ καὶ λύπας δούλων καὶ κλοπάς, σωματικάς τε νόσους ἐκ σιδήρου καὶ κίνδυνον ἐκ πυρὸς ἢ πτώσεως καὶ ξενιτείας σκυλτικὰς καὶ ὀφθαλμίας καὶ ἐκτρώσεις, καὶ καθόλου βλαπτικὸν τὸν χρόνον. Τῷ δὲ Ἡλίῳ ἐπιμερίζουσα ἐν θηλυκοῖς ζῳδίοις ὄντι ἢ καὶ ἀμφότερα ἄνδρας ὑποταγῆναι ποιεῖ δι' ἐρωτικὴν συμπάθειαν. ἐὰν δὲ ὁ μὲν Ἥλιος ᾖ ἐν θηλυκῷ ζῳδίῳ, Σελήνη δὲ ἐν ἀρσενικῷ, μερίμνας διὰ γυναῖκα καὶ ἀντιζηλίας ποιεῖ, ὠφέλειαν δὲ ἐξ ἰδίων μετὰ προηγησαμένην ταραχήν. εἰ δὲ ὁ μὲν Ἥλιος ἐν ἀρσενικῷ, ἡ δὲ Σελήνη ἐν θηλυκῷ αὐξιφωτοῦσα, ἔσται ἐν πᾶσιν ἀγαθὴ καὶ ἐπικερδῆ τὸν χρόνον ποιήσει· καὶ γὰρ σύστασιν καὶ φιλίας ἐπισήμους καὶ γυναικὸς συνήθειαν καὶ γάμον ἢ μοιχείαν ποιεῖ, καὶ ἐπικερδῆ τὸν χρόνον, καὶ δημοσίας πράξεις καὶ ἐχθρῶν ἐπικράτησιν. λειψιφωτοῦσα δὲ οὐκ ἀγαθή (φθόνον γὰρ καὶ ζημίας καὶ μέμψεις καὶ ἔχθρας ποιεῖ καὶ ἐξ ὑγρῶν ὄχλησιν), εἰ δὲ κακοποιὸς θεωρήσει καὶ κινδύνους περὶ τὴν ζωὴν ποιεῖ. Τῇ δὲ Ἀφροδίτῃ ἐπιμερίζουσα ἐπὶ νυκτὸς λειψιφωτοῦσα ἀγαθὴ καὶ ὠφέλιμος καθέστηκεν (ποιεῖ γὰρ γάμους ἢ σύστασιν γυναικὸς καὶ ἐκ γυναικείων προσώπων κέρδη, καὶ δόξας μετὰ ἱλαρότητος καὶ πράξεις παρέξει), αὐξιφωτοῦσα δὲ ποιεῖ θορύβους καὶ οἰκομαχίας καὶ ἐναντιώσεις διὰ γυναῖκα καὶ μετεωρισμοὺς καὶ ζηλοτυπίας καὶ ψόγον καὶ ἔχθρας, ποιεῖ δὲ περιγενέσθαι ὕστερον. ὁμοίως δὲ καὶ ἐπὶ ἡμέρας αὐξιφωτοῦσα τῆς Ἀφροδίτης ὑπὸ ἀγαθοποιῶν θεωρουμένης ὑπαύγου τῷ Ἡλίῳ οὔσης ψόγον καὶ ἐπήρειαν γυναικὸς ποιεῖ καὶ φίλων ὑποκρίσεις καὶ βλάβας καὶ οἰκειακὰς ἀηδίας καὶ θρεπτῶν ἢ δούλων νόσους, καὶ ἐν πᾶσιν ἐναντίους τοὺς χρόνους ποιεῖ, καὶ σωματικὰς ὀχλήσεις καὶ ἐξ ἀπεψίας τροφῶν ἢ πολυοινίας ἢ ψυγμῶν ἢ βαλανείων ἢ ἐρωτικῆς τινος ἀφορμῆς ἢ ἀκαίρων δαπανῶν κακοπραγίας.

264 Τῷ δὲ Ἑρμῇ ἐπιμερίζουσα ἐπὶ ἡμέρας τε καὶ νυκτὸς καὶ αὐξιφωτοῦσα πρακτικοὺς τοὺς χρόνους σημαίνει καὶ περιποιητικοὺς συστάσεώς τε καὶ φιλίας καὶ κέρδους καὶ δόξης καὶ ἐπίτευξιν καὶ εὐφημίαν· ἔσονται γὰρ δριμεῖς ἐν ταῖς πράξεσι καὶ δυνάσται πολλὰ ἀνύοντες καὶ ἐχθρῶν περιγινόμενοι. λειψίφωτος δὲ οὖσα ἔλλειψιν χρημάτων ποιεῖ καὶ ἐπιβουλὰς καὶ ἀντιλογίας καὶ παραβάσεις συνθηκῶν καὶ φίλων ἀχαριστίας, πλὴν οὐ πάντῃ ἄπορος ὁ χρόνος, καὶ εἰ μὲν ὑπὸ Κρόνου θεωρηθείη ζημίας ἐπιφέρει ἐκ δούλων ἢ δρασμοὺς ἢ προδοσίας ἐκ φίλων καὶ πολυχρονίους νόσους καὶ κοιλιακὰς ἢ στομαχικὰς διαθέσεις, εἰ δὲ ὑπὸ Ἄρεως θεωρηθείη ἕνεκεν γραπτῶν ποιεῖ δίκας καὶ ἐγκλήματα, πλαστογραφίας τε καὶ ἐπιβουλὰς καὶ κλοπὰς καὶ δόλους, καὶ εἰς πάντα ὁ χρόνος ἀνεπιτήδειος. Ἔστιν οὖν διὰ μνήμης καὶ ταῦτα τὰ ἀποτελέσματα ἔχειν σκοποῦντα ἐκ τῆς φύσεως τοῦ τε μερίζοντος ἀστέρος καὶ τοῦ λαμβάνοντος, καὶ κατὰ τὸν αὐτὸν τρόπον ἐν ταῖς ἐπεμβάσεσι σχεδὸν εὑρήσεις τὰ αὐτὰ ἀποτελέσματα. καὶ τὸν ἐνιαυτὸν δέ τινες διαιροῦσιν εἰς τοὺς ζ ἀστέρας ἐξ ἀναλογίας τῶν ἐλαχίστων περιόδων αὐτῶν, Κρόνῳ μὲν διδόντες ἡμέρας πε , Διὶ δὲ λδ , Ἄρει μβ , Ἡλίῳ νδ , Ἀφροδίτῃ κβ , Ἑρμῇ νζ , Σελήνῃ οα . καὶ ἀπὸ τῆς γενεθλιακῆς ἡμέρας τὸν παροδικὸν ἐνιαυτὸν ἀρχόμενοι ἀπὸ τοῦ κυρίου αὐτοῦ μερίζουσι τοῖς ἑξῆς ἄστρασι καθὼς ἐπὶ τῆς γενέσεως κεῖνται, ἡμέρας τξε δ' τὸν ἐνιαυτὸν ἀριθμοῦντες. ποιοῦσι δὲ καὶ ἕτερον λεπτότερον ἐπιμερισμὸν οὕτως·

ὁ Κρόνος μὲν γὰρ ἀπὸ τῶν πε ἡμερῶν αὑτοῦ μερίζει ἑαυτῷ πρώτῳ ἡμέρας κ , τῷ Διὶ η , τῷ Ἄρει ι , τῷ Ἡλίῳ ιγ , τῇ Ἀφροδίτῃ ε , τῷ Ἑρμῇ ιδ , τῇ Σελήνῃ ις · ὁ Ζεὺς ἀπὸ τῶν ἑαυτοῦ λδ μερίζει ἑαυτῷ πρώτῳ ἡμέρας γ , Κρόνῳ η , Ἄρει δ , Ἡλίῳ ε , Ἀφροδίτῃ β , Ἑρμῇ ε , Σελήνῃζ · ὁ Ἄρης ἀπὸ τῶν μβ ἑαυτῷ α′ ἡμέρας ε , Κρόνῳ ι , Διὶ δ , Ἀφροδίτῃ γ , Ἑρμῇ ζ , Σελήνῃ η , Ἡλίῳε · ὁ Ἥλιος ἀπὸ τῶν νδ ἑαυτῷ ἡμέρας η , Κρόνῳ ιβ , Διὶ ε , Ἄρει ς , Ἀφροδίτῃ δ , Ἑρμῇ η , Σελήνῃ ια · ἡ Ἀφροδίτη ἀπὸ τῶν κγ ἑαυτῇ ἡμέραν α , Κρόνῳ ε , Διὶ β , Ἄρει γ , Ἡλίῳ γ , Ἑρμῇ δ , Σελήνῃε · ὁ Ἑρμῆς ἀπὸ τῶν νζ ἑαυτῷ ἡμέρας θ , Κρόνῳ ιγ , Διὶ ε , Ἄρει θ , Ἡλίῳ η , Ἀφροδίτῃ γ , Σελήνῃ ια · Σελήνη ἀπὸ τῶν οα ἑαυτῇ ἡμέρας ια , Κρόνῳ ις , Διὶ ζ , Ἄρει η , Ἡλίῳ ια , Ἀφροδίτῃ δ , Ἑρμῇ ια .

265 Ἄλλοι δὲ μερίζουσι τὸν ἐνιαυτὸν τοῖς ζ ἄστρασιν ἀπὸ τοῦ κατὰ τὸ ζῴδιον τῆς γενέσεως οἰκοδεσπότου ἀρχόμενοι καὶ ἑξῆς τῷ τοῦ ἑξῆς κυρίῳ. καὶ συνάγονται ἡμέραι τῶν ιβ ζῳδίων ρπδ · τῷ γὰρ Κρόνῳ μόνῳ ἡμέραι λ δίδονται διὰ τὸ τὰ β ζῴδια ἅ εἰσιν οἶκοι αὐτοῦ ἐφεξῆς εἶναι. οἷον ἔστω τινὰ ἔχειν τὸν ἐνιαυτὸν ἐν Κριῷ· καὶ ἐπεὶ οἶκός ἐστι τοῦ Ἄρεως ἀπονέμουσιν αὐτῷ ἡμέρας ιε , εἶτα τῇ Ἀφροδίτῃ οἶκον ἐχούσῃ τὸν Ταῦρον ἡμέρας η , τῷ δὲ Ἑρμῇ διὰ τοὺς Διδύμους κ , τῇ Σελήνῃ διὰ τὸν Καρκίνον κε , τῷ Ἡλίῳ διὰ τὸν Λέοντα ιθ καὶ πάλιν τῷ Ἑρμῇ διὰ τὴν Παρθένον κ , τῇ Ἀφροδίτῃ διὰ τὸν Ζυγὸν η , τῷ Ἄρει διὰ τὸν Σκορπίον ιε , τῷ Διὶ διὰ τὸν Τοξότην ιβ , τῷ Κρόνῳ διὰ τὸν Αἰγοκέρωτα καὶ τὸν Ὑδροχόον λ , τῷ Διὶ καὶ πάλιν διὰ τοὺς Ἰχθύας ιβ · καὶ συνάγονται ἡμέραι ρπδ . καὶ πάλιν τῷ κυρίῳ τοῦ Κριοῦ παρέχουσιν ἡμέρας ιε καὶ τοῖς ἐφεξῆς ἐκ δευτέρου ἕως ἂν ὁ ἐνιαυτὸς πληρωθῇ.

266 ἀλλ’ οὗτοι οἱ μερισμοὶ οὐ πάνυ συμφωνοῦντες ἡμῖν φαίνονται, ὑπὲρ δὲ τοῦ μὴ λαθεῖν αὐτοὺς ἐξεθέμεθα. 〈ος′〉 Πῶς ἄν τις γνοίη τὰς πεύσεις τῶν βουλομένων σκέψασθαι ἐκ καταρχῆς· Ἡφαιστίωνος Γνοίη δ’ ἄν τις τῶν προσιόντων καὶ προγνῶναι βουλομένων διὰ καταρχῆς τὸ ἐσόμενον κατὰ τὸ καθολικὸν καὶ συνοπτικὸν εἶδος ὁμοιοτρόπως μάλιστα ταῖς γενέσεσι τὴν ἐπίσκεψιν ποιησάμενος. καταστοχάζεσθαι δέ ἐστι καὶ ἀπὸ τούτων· τόν τε γὰρ ὡροσκόπον καὶ τὰ λοιπὰ κέντρα τῆς καταρχῆς ἀκριβῶς στήσαντες, πρῶτον τὸ μεσουρανοῦν κέντρον ἐπισκοπεῖν χρὴ καὶ τὸν ἐπ’ αὐτοῦ τυγχάνοντα καὶ πρὸς τοῦτον ἀφορίζειν τὸ πρᾶγμα ἢ τὰς πράξεις. ἐφορατέον δὲ καὶ τοὺς παρ’ ἑκάτερα β τόπους (τουτέστι τό τε ἀπόκλιμα καὶ τὴν ἐπαναφορὰν τοῦ μεσουρανήματος), καὶ τοὺς ἐν αὐτοῖς ἀστέρας, τοὺς μὲν ἐπὶ τοῦ ἀποκλίματος ὡς δηλοῦντας τὰ παρῳχηκότα, τοὺς δὲ ἐπὶ τῆς ἐπαναφορᾶς τὰ μέλλοντα, τὰ δὲ ἐν αὐτῷ τῷ ἐνεστῶτι καιρῷ τοὺς ἐν τῷ μεσουρανήματι. μηδενὸς δὲ τῶν ἀστέρων ἐπιτυχόντος τοῖς προκειμένοις τόποις λαμβάνειν τοὺς ἐπιθεωροῦντας καὶ δεδυναμωμένους πρὸς αὐτούς· ὅπως γὰρ ἂν οὗτοι καταληφθῶσι τοιουτότροπον τὸ τέλος καὶ τὸ ἐνέργημα τοῦ ζητουμένου ἀποτελοῦσιν. ἀπὸ μὲν γὰρ δύσεως ἐπὶ ἀνατολὰς πορευόμενοι σημαίνουσι λαμπρὰς καὶ ὡραίας καὶ ἐξουσιαστικὰς πράξεις τῶν ἤδη προεγκεχειρισμένων, ὃ δὴ μάλιστα ἐπὶ τοῦ Ἑρμοῦ παραφυλακτέον, ἀπὸ δὲ τῶν ἀνατολῶν ἐπὶ τὰς δύσεις πορευόμενοι τῶν προπεπραγμένων ἢ βεβουλευμένων ἄνεσιν καὶ ἀπόσβεσιν καὶ ἀργίαν σημαίνουσιν.

267 καὶ ἐν μὲν ταῖς ἑῴαις ἀνατολαῖς ἀπὸ μοιρῶν ιβ ἀποστάντες τοῦ Ἡλίου ἄρχονται τῆς ἐνεργείας, ἐντελέστερον δὲ ἀπὸ μοιρῶν ιε , ἐν δὲ ταῖς δύσεσιν ἀπὸ μοιρῶν ιε ἕως ζ ἄρχονται μειοῦν τὴν δύναμιν, ἀπὸ δὲ ζ ἕως τῆς τοῦ Ἡλίου μοίρας ἀσθενέστατοι, αἱ δὲ ἑῷοι φάσεις νυκτὸς μέν εἰσι βραδίονες, ἡμέρας δὲ αἱ ἑσπέριοι. Προσεκτέον δὲ καὶ ταῦτα τῷ μέρει τούτῳ. τῶν κέντρων τὸ μὲν ὡροσκοποῦν ἐπισκοπεῖν δεῖ ὡς σημαῖνον τὴν φύσιν τῆς πεύσεως, τὸ δὲ μεσουρανοῦν τὴν ἐνέργειαν, τὸ δὲ δῦνον τὸ τέλος, τὸ δὲ ὑπόγειον τὰ λαθραῖα, καὶ ὁ μὲν ὡροσκόπος τὰ πρὸς ἀνατολὴν μηνύει μέρη, τὸ δὲ μεσουράνημα τὰ πρὸς μεσημβρίαν, τὸ δὲ δῦνον τὰ πρὸς δύσιν, τὸ δὲ ὑπόγειον τὰ πρὸς ἄρκτον. καὶ τὰ μὲν τροπικὰ τῶν ζῳδίων ῥᾳδίας τὰς μεταβολὰς ἤτοι ἐπὶ τὸ ἄμεινον ἢ ἐπὶ τὸ χεῖρον, τὰ δὲ στερεὰ ἀμετάτρεπτον τὸ ζητούμενον πρᾶγμα, τὰ δὲ δίσωμα τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν ζητουμένων ἀπόβασιν ἔσεσθαι διμερῆ. καὶ τὰ μὲν ἔνυδρα τῶν ζῳδίων ἐνύδρους τοὺς τόπους σημαίνουσιν, τὰς δὲ πράξεις δι’ ὑγρῶν ἢ ἐν ὑγροῖς, τὰ δὲ ἀμφίβια ἐπικοινωνίαν τῶν τε ἀπὸ γῆς καὶ τῶν ὑγρῶν, τὰ δὲ χερσαῖα ἠπείρους καὶ ὄρη, τὰ δὲ πολύσπερμα καὶ πολύγονα ὄχλους καὶ δήμους, τὰ δὲ ἄγονα ἐρημίας καὶ ἀπραγίας. καὶ οἱ μὲν σύνδεσμοι τοῦ τῆς Σελήνης κύκλου ἀτελέστατα καὶ ἐλλιπῆ τὰ πράγματα καὶ εἰς τὸ ἐναντίον τὴν μετατροπὴν ἄγοντες, αἱ δὲ τῆς Σελήνης συναφαὶ καὶ ἀπόρροιαι δηλοῦσι τὰ ἀποβησόμενα κατὰ τὴν τῶν ἀστέρων οἷς κοινωνεῖ φύσιν. Πρόσωπα δὲ ὁ μὲν τοῦ Κρόνου πρεσβυτικά, στιβαρά, πανοῦργα, ἐνδόμυχα, κακοποιὰ μηνύει, ὁ δὲ τοῦ Διὸς ἀστεῖα, ἀξιωματικά, εὐπάροχα, ἀκμάζοντα, ἱλαρά, ἀγαθοποιά, ὁ δὲ τοῦ Ἄρεως νέους, θρασεῖς, θυμικούς, ἀηδεῖς, μοιχικούς, πανούργους, λῃστρικούς, ταρακτικούς, βασιλικούς, δυνάστας, ἡ δὲ Ἀφροδίτη ἱλαρούς, χαρίεις, ἀστείους, μουσικούς, ἐμπορικούς, ἁβροδιαίτους, θηλύφρονας, ὁ δὲ τοῦ Ἑρμοῦ ἀπαιδεύτους, νέους, πολυτρόπους καὶ ἐμπορικούς, ὁ δὲ Ἥλιος βασιλικούς, ἡγεμονικούς, ἀκμάζοντας, ἄρρενας, ἡ δὲ Σελήνη βασιλικούς, προβεβηκότας, θηλυκούς.

268 τὰ μὲν οὖν ἰδιότροπα ἑκάστου αὐτῶν ταῦτα καὶ τὰ τοιαῦτά ἐστιν, ἐὰν δὲ μετ’ ἀλλήλων ὦσί τινες ἀφαρμοστέον κατὰ τὸ συγκρατικὸν εἶδος. Καὶ ἄλλως δὲ προγνωσόμεθα πεπηγμένης τῆς καταρχῆς ἐπ’ ἐνίων οὕτως. ἐὰν ὁ κλῆρος τῆς τύχης εἰς τὸ γ′ ζῴδιον ἀπὸ τοῦ ὡροσκόπου ἐμπέσῃ, ὁ δὲ κύριος τοῦ ζῳδίου ἐναντιωθῇ ἐν αὐτῷ, ἔχθραν πρὸς φίλον καὶ διαφορὰν σημαίνει, εἰ δὲ δίσωμον τύχοι τὸ ζῴδιον καὶ ἤδη προγεγενημένην. ὁ δὲ ἀστὴρ ὁ κύριος τοῦ κλήρου δηλώσει τὰ πρόσωπα καθὼς προδεδήλωται. ὁπόταν δὲ πάλιν ὁ κλῆρος εἰς τὸν περὶ φιλίας, τουτέστι τὸν γ′ τόπον, ἐμπέσῃ, ὁ δὲ κύριος αὐτοῦ κακοδαιμονῇ σὺν τοῖς ἀγαθοποιοῖς ἢ τῷ κυρίῳ τοῦ ὡροσκόπου, ὅ τε τοῦ κακοδαιμονήματος δεσπότης ὡροσκοπήσῃ ἀκακώτου τῆς Σελήνης τυχούσης, περὶ δόξης καὶ ἀρχῆς καὶ ἐξουσίας καὶ ἐλευθερίας ἡ καταρχὴ εὑρίσκεται. ἐὰν δὲ πάλιν εὑρεθῇ ὁ κλῆρος ἐν τῷ περὶ θανάτου τόπῳ, τουτέστι τῷ η′, σὺν τῷ ἰδίῳ κυρίῳ ὑπὸ τῆς Σελήνης κεκακωμένης καθυπερτερούμενος ἀσυντελὴς ἔσται πᾶσα καταρχή. Ἐπετήρησαν δὲ ἀκριβῶς εἰς πρόγνωσιν οἱ παλαιοὶ καὶ ἐκ τῆς ποσότητος τῶν μοιρῶν τοῦ ὡροσκόπου ὅπου ἔσται αὐτοῦ τὸ δωδεκατημόριον. εἰς ὃ γὰρ ἂν ἐκπέσῃ ζῴδιον ἐν τοῖς ἑξῆς ἀνὰ β ? μοιρῶν ἐκβαλλομένη ἡ ποσότης τῶν μοιρῶν τοῦ ὡροσκόπου ἐκεῖνο ἔσται αὐτοῦ τὸ δωδεκατημόριον· κατ’ αὐτό τε οὖν περὶ παντὸς πράγματος καὶ πρὸ τῆς πεύσεως συνιδεῖν ἔστι τὸ εἶδος.

269 οὐ γὰρ μόνον ὁρᾶν χρὴ αὐτὰ καθ’ αὑτὰ εἰ ἔστι τροπικὰ ἢ στερεὰ ἢ δίσωμα, ἃ μάλιστα ἁρμόζει εἰς τὴν τῶν καταρχῶν λῆψιν, ἀλλὰ καὶ εἴπερ συμβαίνει τὸ δωδεκατημόριον ἐν τροπικῷ ἢ στερεῷ ἢ δισώμῳ δωδεκατημορίῳ· κεντροῦσθαι γὰρ καὶ ἀλλοιοῦσθαι τὴν φύσιν τοῦ ζῳδίου τῇ τῆς τοπικῆς δυνάμεως μοιρικῇ διακρίσει. τὴν οὖν ποιότητα τῆς πεύσεως ἤτοι τοῦ πράγματος προειπεῖν δυνησόμεθα ἐπὰν ἀκριβῶς λάβωμεν τὴν ὡροσκοποῦσαν μοῖραν ἐξ ὑδροσκοπίου ἢ ἀστρολάβου ἢ ἄλλου τινὸς ὡροσκοπίου καὶ γνῶμεν τὸ δωδεκατημόριον· πρὸς αὐτὸ ἁρμοσόμεθα οὕτως. Ἐὰν οὖν εὑρεθῇ τὸ πρῶτον δωδεκατημόριον τοῦ Κριοῦ, τουτέστι β ? μοῖραι ὡροσκοποῦσαι, ἐπὶ τοῦ ὡροσκόπου τοὺς προσιόντας σημαίνει περὶ ἐλευθερίας ἢ ἀρχῆς ἐρωτᾶν, τὸ δὲ β′ περὶ βίου ἢ οἴκου ἢ ζῴων ἢ ἀγροῦ ἢ γυναικὸς ἢ ἀστείων, τὸ δὲ γ′ ἐνέδρας ἢ κλέμματος ἢ δραπέτου, τὸ δὲ δ′ κλοπῆς ἀργυρίου ἢ ἁρπαγῆς, τὸ ε′ περὶ οὐσίας ἢ ἀρχῆς καὶ τῶν ὁμοίων, τὸ ϛ′ περὶ οἰκονομίας καὶ γυναικείου κόσμου, τὸ ζ′ περὶ ἐχθρῶν καὶ μάχης ἢ ἀπαιτήσεως ἢ κριτηρίου, τὸ η′ περὶ λαθραίου πράγματος καὶ ἀποκρύφου, τὸ θ′ περὶ ὁδοιπορίας ἢ μεταβάσεως ἢ πλοῦ, τὸ ι′ περὶ ἐλπίδων ἢ συζυγίας καὶ ἁρμονίας, τὸ ια′ περὶ ἀποβολῆς ἢ κλέμματος ἢ ζημίας τινός, τὸ τελευταῖον καὶ ιβ′ ὅ ἐστιν Ἰχθύων σημαίνει περὶ γυναικὸς ἢ γυναικείων διαφερόντων πραγμάτων ἢ τεθηλυμένων. Τοῦ Ταύρου δὲ τὸ μὲν α′ δωδεκατημόριον σημαίνει περὶ πραγματείας καὶ ὅσα περὶ ζωὴν καὶ βρῶσιν, τὸ δὲ β′ περὶ πραγμάτων αἰσχρῶν ἢ ἀφροδισίων ἢ τῶν ὁμοίων, τὸ δὲ γ′ περὶ κλοπῆς ἢ ἔργου τινὸς ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἰκονομίας, τὸ δὲ δʹ περὶ ἔχθρας καὶ ἁρπαγῶν, τὸ εʹ περὶ συμφωνίας καὶ φιλίας καὶ καλοκαγαθίας, τὸ ϛʹ ἀμφιβολίᾳ καὶ δισταγμῷ περιπεπτωκέναι τὸν ἐρωτῶντα, τὸ ζʹ περὶ καμάτου καὶ μερίμνης καὶ στρατείας, τὸ ηʹ περὶ ὁδοιπορίας καὶ πλοῦ καὶ τῶν τοιούτων, τὸ θʹ περὶ συναλλαγῶν γυναικείων καὶ τῶν ὁμοίων, τὸ ιʹ περὶ διαπράσεως καὶ ἀποβολῆς καὶ κόπου, τὸ ιαʹ περὶ ἀφροδισίων, τὸ ιβʹ καὶ τελευταῖον, ὅπερ ἐστὶ Κριοῦ, περὶ ξένων ἢ ξενιτείας ἢ γεωργίας σημαίνει.

270 Τῶν δὲ Διδύμων τὸ μὲν αʹ δωδεκατημόριον σημαίνει περὶ κοινωνίας καὶ πολιτικῶν πραγμάτων καὶ ὁμονοίας, τὸ βʹ περὶ ἀποβολῆς χρυσίου καὶ ἀργυρίου καὶ τῶν ὁμοίων κινητῶν, τὸ γʹ περὶ ἀποβολῆς καὶ ἀτυχίας, τὸ δʹ περὶ δανείσματος καὶ ἀποβολῆς καὶ ζημίας, τὸ εʹ περὶ πράγματος καὶ πράξεως, τὸ ϛʹ περὶ κλοπῆς τῶν ἀπὸ πυρὸς γεγονότων, τὸ ζʹ περὶ δραπετῶν διωγμοῦ καὶ ὁδοιπορίας καὶ τῶν τούτοις ὁμοίων, τὸ ηʹ περὶ ἐπωφελοῦς τέχνης καὶ ἱλαροῦ τινος πράγματος, τὸ θʹ περὶ λόγων καὶ πραγμάτων, τὸ ιʹ περὶ μάχης καὶ ἔχθρας καὶ τῶν ὁμοίων, τὸ ιαʹ ἀποβολῆς τινος ἢ φόβου ἢ μετανοίας ἢ ἀναλύσεως, τὸ δὲ ιβʹ καὶ τελευταῖον, Ταύρου τυγχάνον, περὶ γεωργίας ἢ ξενιτείας καὶ τῶν τούτοις παραπλησίων. Τὸ δὲ τοῦ Καρκίνου αʹ δωδεκατημόριον σημαίνει περὶ ἀρχῆς ἢ ἀρχιερωσύνης ἢ ἱερουργίας, τὸ βʹ περὶ μεγάλου πράγματος καὶ ἀξίας καὶ ἱερωσύνης, τὸ γʹ περὶ φόβου διὰ πρᾶγμά τι μετὰ γυναικὸς πραχθέν, τὸ δʹ περὶ πίστεως ἢ ἀποβολῆς ἢ ἀπαιτήσεως, τὸ εʹ περὶ λαθραίας ἀποθέσεως ἢ θησαυροῦ ἢ παρακαταθηκῶν, τὸ ϛʹ περὶ ὁδοιπορίας ἢ πλοῦ ἢ ξένων πραγμάτων, τὸ ζʹ περὶ μάχης διὰ πρόσωπον θηλυκὸν καὶ ζηλοτυπίας, τὸ ηʹ περὶ ἀποβολῆς ἢ κλεμμάτων ἢ ζημιῶν ἢ ἀρνήσεων, τὸ θʹ περὶ γάμου καὶ κοινωνίας πραγμάτων ἀγαθῶν ἕνεκα, τὸ ιʹ περὶ ἀρχῆς καὶ ἀξίας καὶ ἱερωσύνης καὶ τῶν τούτοις παραπλησίων, τὸ ιαʹ περὶ κλέμματος ἢ ἀποδράντος τινὸς ἢ ἀρνήσεως ἢ παρακαταθηκῶν, τὸ ιβʹ καὶ τελευταῖον, ὅ ἐστι Διδύμων, περὶ κοινωνίας καὶ συμφωνίας πραγμάτων καὶ ἐζευγμένων. Τὸ δὲ τοῦ Λέοντος αʹ δωδεκατημόριον δηλοῖ περὶ ἀξίας καὶ ἐπιθυμίας ἀλλοτρίων ἢ πλεονεξίας, τὸ βʹ περὶ μεγάλου πράγματος καὶ ζημίας καὶ ἀδικίας, τὸ γʹ περὶ μάχης καὶ πλεονεξίας καὶ ἀμφιβολίας, τὸ δʹ περὶ μεγάλου πράγματος τελεσιουργίας, τὸ εʹ περὶ πράγματος οὐ μικροῦ, ἀλλὰ βασιλικοῦ, ἢ περὶ στάσεως, τὸ ϛʹ περὶ κόπου τινὸς ἢ ἐργασιῶν ξένων ἢ προσόδου, τὸ ζʹ περὶ ἐχθρῶν καὶ τῶν ὁμοίων, τὸ ηʹ περὶ ἀλλοτρίου πράγματος ἢ ἀλλοτρίας μερίμνης, τὸ θʹ περὶ φόβου καὶ δισταγμοῦ, τὸ ιʹ περὶ λέσχης καὶ ἀγροικίας ἢ ξενιτείας, τὸ ιαʹ περὶ μάχης καὶ ἀπροσδοκήτων, τὸ ιβʹ καὶ τελευταῖον, ὅ ἐστι Καρκίνου, περὶ πραγμάτων τινῶν ἢ τοιουτοτρόπων τινῶν.

271 Τὸ δὲ τῆς Παρθένου αʹ δωδεκατημόριον σημαίνει περὶ κόσμου γυναικείου καὶ καρπῶν, τὸ βʹ περὶ προσόδου καὶ κόσμου βαρυτίμου ἢ ἐσθῆτος, τὸ γʹ περὶ πράγματος λάθρᾳ βεβουλευμένου, τὸ δʹ περὶ ἀφορμῶν ἀλλαγῆς ἢ κοινοῦ τινος πράγματος, τὸ εʹ περὶ γεωργίας ἢ οἰκονομίας ἢ τοιούτου τινός, τὸ ϛʹ περὶ προσώπου ἢ ἐλπίδων καὶ πράξεων καὶ κόπου, τὸ ζʹ περὶ ἔχθρας γυναικείας καὶ ἁψιμαχίας φίλων, τὸ ηʹ περὶ τέχνης ἢ ἱερᾶς ἐνεργείας ἢ χρηματισμῶν, τὸ θʹ περὶ φορτίου πράσεως ἢ καματηρᾶς ξενιτείας, τὸ ιʹ περὶ ἐπηρείας τινὸς ἢ ξένης ἢ ἀγροικικῆς αἰτίας, τὸ ιαʹ περὶ κλοπῆς ἢ πράγματος λαθραίου ἢ θησαυροῦ, τὸ ιβʹ καὶ τελευταῖον περὶ τραυμάτων ἢ ἀσθενείας ἢ τῶν ὁμοίων. Τὸ δὲ τοῦ Ζυγοῦ αʹ δωδεκατημόριον σημαίνει περὶ προσόδου ἢ κριτηρίου ἢ δόσεως ἢ λήψεως, τὸ βʹ περὶ κλέμματος ἢ νοσφισμοῦ, τὸ γʹ περὶ ἐμπορίας ἢ ἔργων τῶν ἐπὶ ξένης, τὸ δʹ περὶ πραγμάτων λαθραίων ἢ σκολιῶν, τὸ εʹ περὶ πραγματείας ἢ κακοπραγίας ἢ ἐλπίδων προσδοκίας, τὸ ϛʹ περὶ ἀλλοτρίου πράγματος ἢ ἐντολῆς γυναικός, τὸ ζʹ περὶ ἀηδίας ἀκαίρου καὶ ὀργῆς καὶ μάχης ἢ ἡσυχίας τινός, τὸ ηʹ περὶ ἀσθενείας ἢ τραυμάτων ἢ μερίμνης βασιλικῆς, τὸ θʹ περὶ κοινωνίας λόγων ἢ συνθηκῶν, τὸ ιʹ περὶ προσόδου ἢ ἀξίας ἢ τιμῆς ἢ εὐημερίας, τὸ ιαʹ περὶ ἀγνοίας τινὸς ἢ ὕβρεως αἰφνιδίου, τὸ ιβʹ περὶ σωμάτων ἢ φορτίου πολιτικοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

272 Τὸ δὲ τοῦ Σκορπίου α′ δωδεκατημόριον σημαίνει περὶ στρατείας καὶ διατριβῆς ἐπὶ ξένης ἢ μίξεως αἰφνιδίου γεγονυίας, τὸ β′ περὶ πλοῦ ἢ μεταβάσεως καὶ τῶν ὁμοίων, τὸ γ′ περὶ ὄχλου ἢ μάχης καὶ ἀηδίας ἐπικινδύνου, τὸ δ′ περὶ κακοπραξίας ἢ ἀπολύσεως κινδύνου, τὸ ε′ περὶ ὁμονοίας ἢ πλοῦ ἢ κοινῶν πραγμάτων, τὸ ϛ′ περὶ ἐπιταγῆς καὶ κρατήσεως καὶ ἀδοκήτου βίας, τὸ ζ′ περί τινος ἐπὶ ξένης γεγονότος ἢ διὰ ξένα πρόσωπα, τὸ η′ περὶ ὁδοιπορίας, τὸ θ′ περὶ κλεμμάτων ἢ ἐξουσίας ἢ τῶν πρὸς ἰσχυρότερα πρόσωπα διαφερόντων, τὸ ι′ περὶ ξενιτείας καὶ τέχνης τινὸς ἢ ἀξίας, τὸ ια′ περὶ κλέμματος γυναικείου, τὸ ιβ′ καὶ τελευταῖον περὶ προσόδου ἢ κινδύνου ἢ κέρδους ἀπλήστου. Τὸ δὲ τοῦ Τοξότου α′ δωδεκατημόριον δηλοῖ περὶ φορτίου ἐπὶ ξένης, τὸ β′ περὶ στρατείας ἢ ξενιτείας ἢ στρατοπέδου, τὸ γ′ περὶ πραγμάτων καὶ πράξεων καθύγρων, τὸ δ′ περὶ πλοῦ καὶ τῶν ὁμοίων, τὸ ε′ περὶ φορτίου, τὸ ϛ′ περὶ στρατοπέδων, τὸ ζ′ περὶ ἀηδίας ἢ δραπέτου, τὸ η′ περὶ κλέμματος ἢ ἀποβολῆς, τὸ θ′ περὶ ὁδοῦ ἢ ἐνέδρας, τὸ ι′ περὶ ἔρωτος ἢ τῶν ὁμοίων, τὸ ια′ περὶ προσόδου ἐπὶ ξένης ἢ διὰ ξένους, τὸ ιβ′ περὶ κλέμματος. Τὸ δὲ τοῦ Αἰγοκέρωτος α′ δωδεκατημόριον περὶ πραγμάτων οὐ καθαρῶν ἢ ἐφυβρίστων, τὸ β′ περὶ δραπέτου ἢ ἀποβολῆς, τὸ γ′ περὶ ἔρωτος ἢ πλοῦ, τὸ δ′ περὶ προβάτων ἢ ἱματίων, τὸ ε′ περὶ γεωργίας ἢ οἰκοδομίας, τὸ ϛ′ περὶ πραγμάτων ἄλλως διαφερόντων, τὸ ζ′ περὶ κλέμματος ἢ ἀηδίας, τὸ η′ περὶ φόβου ἢ στρατείας, τὸ θ′ περὶ τέχνης ἢ κόσμου γυναικείου, τὸ ι′ περὶ προσόδου ἢ ἀηδίας, τὸ ια′ περὶ πράγματος λάθρᾳ γεγονότος, τὸ ιβ′ καὶ τελευταῖον περὶ πράγματος γεγονότος ἢ πλοῦ.

273 Τὸ δὲ τοῦ Ὑδροχόου α′ δωδεκατημόριον σημαίνει περὶ σωμάτων, τὸ β′ περὶ καθύγρων πραγμάτων καὶ φορτίου, τὸ γ′ περὶ λέσχης τινός, τὸ δ′ περὶ κόπων ἰδίων, τὸ ε′ περὶ κοινωνίας ἢ καθύγρων πραγμάτων, τὸ ϛ′ περὶ κλέμματος ἢ ἀηδίας αἰφνιδίου, τὸ ζ′ περὶ τέχνης ἢ κοινωνίας, τὸ η′ περὶ ἀγοραίου ἢ πανηγύρεώς τινος, τὸ θ′ περὶ προσόδων ἢ κόσμου καὶ δικαίου τινὸς πράγματος ἢ ἐπὶ ξένης ὄντος, τὸ ι′ περὶ κλοπῆς ἢ θησαυροῦ, τὸ ια′ περὶ πλοῦ ἢ καθύγρων πραγμάτων, τὸ ιβ′ καὶ τελευταῖον περὶ ἀλλοτρίων πραγμάτων ἢ πίστεων γυναικείων. Τὸ δὲ τῶν Ἰχθύων α′ δωδεκατημόριον σημαίνει περὶ βεβλαμμένων πραγμάτων ἢ παρύγρων, τὸ δὲ β′ περὶ κόσμου ἢ συζεύξεως, τὸ γ′ περὶ τῶν λάθρᾳ τι πράσσειν ἐπιχειρούντων ἢ γυναικείου πράγματος, τὸ δ′ περὶ κόπου ἢ κοινωνίας ἢ ξένου πράγματος, τὸ ε′ περὶ φορτίου ἢ γάμου, τὸ ϛ′ περὶ φορτίου ἀλλοτρίου, τὸ ζ′ περὶ γυναικείας τέχνης καὶ τῶν ὁμοίων τῶν εἰς γυναῖκα ἀναφερομένων, τὸ η′ περὶ ἀλλοτρίων πραγμάτων, τὸ θ′ περὶ προσόδων καὶ καλοῦ πράγματος, τὸ ι′ περὶ πλοῦ ἢ ξενιτείας τινὸς ἀγαθῆς, τὸ ια′ περὶ γυναικείου πράγματος ἢ γυναικὶ διαφέροντος, τὸ ιβ′ καὶ τελευταῖον περὶ ἀποβολῆς ἢ δραπετῶν καὶ τῶν ὁμοίων. 〈πα′〉 Ἔτι περὶ καθολικῶν καταρχῶν. Ἡφαιστίωνος Τὴν καθολικὴν τάξιν καὶ ἡγεμονικὴν δύναμιν ὁ Ἥλιος καὶ ἡ Σελήνη τοῦ παντὸς ἀνειλήφασιν· διὰ γὰρ τῶν πρὸς ἀλλήλους σχηματισμῶν καὶ τῶν ἐπισήμων φάσεων ἅπαντα ἀπεργάζονται παραλαμβάνοντες καὶ τοὺς τῶν πλανωμένων πρὸς αὐτοὺς σχηματισμοὺς εἰς αὔξησιν καὶ ἐπίτασιν τῶν ἀποτελουμένων.

274 ἐκ γὰρ τῆς τῶν φωστήρων κατὰ μῆνα συνόδου ἅπαντα κατά τε γῆν καὶ θάλασσαν ζωογονεῖται καὶ ἀλλοιοῦται. χρὴ οὖν ἐπὶ πάσης καταρχῆς τὴν προγεγενημένην σύνοδον ἢ πανσέληνον σκοπῆσαι ὡς ἐπὶ γενέσεως, πρῶτον μὲν εἰ ἐπὶ τῶν κέντρων ἢ ἐπὶ τῆς τούτων ἐπαναφορᾶς εἴη χρηματίζουσα καὶ εἰ ἐν ἀγαθοποιοῦ ἀστέρος οἴκῳ ἢ ὁρίοις ἢ παρουσίᾳ, σχήματι ἢ κακοποιοῦ ὁμοίως καὶ εἰ μετὰ τὴν σύνοδον συνάπτει ἀγαθοποιῷ ἢ ἐναντίῳ, καὶ οὕτω καταστοχάζεσθαι τοῦ πράγματος καθὼς ἂν ἔχῃ ἡ συζυγία πρός τε τὰ κέντρα καὶ τοὺς πλανωμένους. ἐπικέντρου γὰρ γενομένης τῆς συζυγίας μετὰ τῶν ἀγαθοποιῶν καὶ ἐπιούσης πρὸς τοὺς ἀγαθοποιοὺς μεγίστας καὶ εὐδαιμονεστάτας δηλώσει πράξεις ἄχρι τέλους, ἐπὶ δὲ γενέσεως ἀποτελοῦνται βασιλεῖς, εὐδαίμονες, πολυχρήματοι. ἐπὰν δὲ ἀγαθοῖς συνοδεύουσα φέρηται ἐπὶ κακοποιοὺς ποιήσει εὐγενεῖς μὲν τὰς ἀρχὰς τοῦ γεννηθέντος, ὕστερον δὲ ἐπὶ τὸ χεῖρον σφαλλομένους, ἐὰν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ ἐναντίως εὑρεθῇ ἡ Σελήνη [δῆλον ὅτι] καὶ τοὺς τικτομένους τὴν ἀρχὴν μὲν δυστυχοῦντας, κατὰ δὲ τὸ τέλος εὐτυχεῖς. ἐὰν δὲ ἀπὸ κακοποιῶν εἰς κακοποιοὺς φέρηται ταπεινοὺς ἐκ ταπεινῶν ἀποτελεῖ καὶ ἐπιμόχθους καὶ ἐν πᾶσι δυστυχεῖς καὶ κακομόρους. περισχεθεῖσα δὲ ὑπὸ τῶν κακοποιῶν ἡ σύνοδος ταπεινοὺς καὶ ἀβίους καὶ ἐπαίτας καὶ δυστυχεῖς ἐργάζεται. εὐεπιτεύκτους δὲ καὶ ἐν πᾶσιν ἐμπράκτους ἀποτελέσει ὅταν ὁ οἰκοδεσπότης τῆς συνόδου ἀνατολὰς ποιῆται ἐπιπαρὼν ἢ ἰδιοτοπῶν ἢ τριγωνίζων ταῖς πρὸς τὸν τόπον, ἐὰν δὲ ἀπόστροφος εὑρεθῇ ἢ ἐναντιωθῇ οὐ ποιήσει. ἐπὶ δὲ τῶν ἀναφορῶν γενομένης τῆς συζυγίας καὶ τοῦ κυρίου αὐτῆς μετὰ χρόνον ἀποτελέσει τὰ πραττόμενα, ἐὰν δὲ ἐν τοῖς ἀποκλίμασιν ἀργὰ καὶ ἀσυντέλεστα. ἐπισκοπητέον οὖν καὶ τὰ ἐν καταρχῇ πραττόμενα πάντα ὡς ἐπὶ γενέσεως προσκεψαμένους τὴν προγενομένην σύνοδον ἢ πανσέληνον.

275 ταῖς δὲ τῆς Σελήνης φάσεσι σπουδαίως προσεκτέον—λέγω δὲ ἐν αἷς τὸν Ἥλιον μετὰ ἀσύνδετα σχήματα κατὰ διαμέτρους ἢ τριγώνους ἢ τετραγώνους ἀκτινοβολίας καὶ μαρτυρίας ἐφορᾷ καὶ ἐφορᾶται. Εἴτε γὰρ φήμη τις ἢ ἄκουσμα ἢ κίνησις ἁπλῶς πράγματος πόλει ἢ χώρᾳ ἢ τοῖς καθ’ ἕκαστον ἀνθρώποις γένοιτο ἢ περὶ γραμμάτων ἢ ἐντολῶν ἢ μαντειῶν πονηρῶν καὶ τὸ ἀληθὲς ζητοίη τις, φάσιν μὲν ποιουμένης τῆς Σελήνης ἀληθῆ ταῦτα καὶ βέβαια εὑρεθήσεται, καὶ μάλιστα τοῦ Ἑρμοῦ συμπαρόντος ἢ μαρτυροῦντος αὐτῇ. καὶ ἐὰν ἀπῶσιν οἱ κακοποιοὶ δηλοῦσιν ἐπ’ ἀγαθῷ τὸ πρᾶγμα, ἐὰν δὲ ἔμπαλιν οὐκ ἀγαθή, ἢν δ’ ἀνακεχραμένως τύχωσιν ὁμοίως ἀναμεμιγμένως. ἐπὰν δὲ ὁ τοῦ Ἑρμοῦ μετὰ τοῦ Ἄρεως ἐπίδωσι τὴν Σελήνην ποιουμένην φάσιν ἀπατηλὰ καὶ δόλια καὶ πανοῦργα καὶ ἐπίβουλα σημαίνει τὰ πραττόμενα ἢ ἀγγελλόμενα, καὶ μάλιστα ὅταν ᾖ ἐν τοῖς τῶν ἀστέρων τούτων ζῳδίοις ἡ καταρχή. Πρὸς τούτοις δὲ καὶ τῇ φύσει τῶν ζῳδίων προσέχειν χρή. αὐτίκα ὁ Σκορπίος ἐγγὺς ὢν τοῦ Ζυγοῦ πολὺ αὐτοῦ διαλλάσσει· ὁ μὲν γὰρ Ζυγὸς πρὸς τὸ δίκαιον καὶ ἀγαθὸν νένευκεν, ὁ δὲ Σκορπίος πρὸς τὰ ἐναντία. τῆς οὖν Σελήνης τὴν φάσιν ἐχούσης ἐν Ζυγῷ ὁ μὲν ἀποδρὰς ῥᾳδίως ἐπανήξει, ὁ δὲ τὴν ἄδικον δίκην εἰσαγαγὼν ἡττηθήσεται ὑπὸ τοῦ τὴν δικαίαν ἔχοντος, τὸ δὲ ἀπολωλὸς εὑρεθήσεται· καὶ λήψεις καὶ δόσεις καὶ κοινωνίας ποιεῖσθαι συνοίσει, δανείζειν τε καὶ δανείζεσθαι καὶ εὔχεσθαι καὶ αἰτεῖσθαι ἀμοιβὰς καὶ χάριτας, ἀσύμφορον δὲ καὶ οὐκ ἐπ’ ἀγαθῷ κλέπτειν, ἁρπάζειν, ἐπιορκεῖν, ψεύδεσθαι ἢ ὅλως ἄδικόν τι πράττειν. ἐν δὲ τῷ Σκορπίῳ τῆς Σελήνης γενομένης τοὐναντίον—ἄδικα καὶ βίαια τοῖς ἐγχειροῦσι συνοίσει, ἀσύμφορον δὲ γάμον συντελεῖν.

276 Καλῶς δὲ κειμένης μεθ’ Ἑρμοῦ ἐν τοῖς ἀνθρωποειδέσι ζῳδίοις καλὸν χρησμοὺς λαβεῖν, ὀνείρων λύσεις ζητῆσαι καὶ προγνώσεις, ἐν δὲ τοῖς αἰνιγματώδεσι καὶ ἀφώνοις, καὶ μάλιστα μετὰ Κρόνου, φαντασίας καταγομένων καὶ θηρίων καὶ δεσμωτῶν, τοῦ δὲ Διὸς ὁρῶντος αὐτὴν διὰ προφητῶν ἢ βασιλέων ἢ ἱερῶν ζῴων ἢ ἐπισήμων ἀνδρῶν καὶ ἀληθευόντων, τοῦ δὲ τοῦ Ἄρεως διὰ τῶν οἰκείων ὅπλων καὶ στρατιῶν σφαγὰς καὶ ἁρπαγάς, τοῦ δὲ τῆς Ἀφροδίτης διὰ λίθων πολυτελῶν καὶ γυναικείων κόσμων καὶ προσώπων. Οὔσης δὲ τῆς Σελήνης ἐν τοῖς καθύγροις ζῳδίοις ὑδραγωγεῖα κατασκευάζειν καὶ φρεάτων ὀρυγὰς ποιεῖσθαι μαρτυροῦντος Κρόνου ἢ καὶ Ἑρμοῦ, τὸν δὲ τοῦ Ἄρεως μετὰ τῆς Ἀφροδίτης παραληπτέον ἐπὶ τῶν βαλανείων καὶ πλοίων τίθεσθαι τρόπεις ἢ νεουλκεῖν ἢ καθέλκειν εἰς θάλασσαν καὶ τὰ πλευστικὰ ἄρμενα ὠνεῖσθαι. Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, Αἰγοκέρωτι, Ὑδροχόῳ, Ἰχθύσιν, Καρκίνῳ, Ἀφροδίτης καὶ Ἑρμοῦ συμπαρόντων ἢ μεσουρανούντων ἢ ἐπιθεωρούντων, ἀπόντων τῶν κακοποιῶν, συνοίσει γῆν πρίασθαι, καὶ φυτεύειν ἐν Ταύρῳ καὶ Παρθένῳ, κήπους δὲ καὶ ἀμπελῶνας ἐν Καρκίνῳ καὶ Ἰχθύσι καὶ Ὑδροχόῳ, καὶ μάλιστα ἀνατολικῆς οὔσης τῆς Σελήνης, ἐφορώντων Ἑρμοῦ καὶ Ἀφροδίτης. σώματα δὲ ἀγοράζειν καὶ πωλεῖν ἐν τοῖς ἀνθρωποειδέσιν οὔσης αὐτῆς μετὰ τῶν ἀγαθοποιῶν καὶ Ἑρμοῦ, κακοποιῶν δὲ ἀπόντων. ἐν δὲ τοῖς κτηνώδεσι καλὸν κτήνη καθιστᾶν (Κριῷ δηλαδὴ καὶ Ταύρῳ καὶ Λέοντι), ἀγέλας δ’ ἐν Κριῷ καὶ Αἰγοκέρωτι. καὶ ἱπποτροφεῖν μὲν ἐν Καρκίνῳ, βοοτροφεῖν δ’ ἐν Καρκίνῳ. Ἀσύμφορον γυναικὶ πρώτως ὁμιλεῖν

οὔσης τῆς Σελήνης ἐν Ζυγῷ· προσφιλὴς γὰρ ἡ ἕνωσις γίνεται. τοὐναντίον δ' ἐν Σκορπίῳ, Τοξότῃ, Λέοντι· ταχὺ γὰρ διαλύονται.

277 ξέναις καὶ ἀλλοτρίαις γυναιξὶ μίγνυσθαι ἐν Διδύμοις, Αἰγοκέρωτι, Ἰχθύσιν· παραμένουσι γὰρ ἀκριβῶς αἱ μίξεις, μάλιστα δὲ καὶ ἐν Σκορπίῳ. Ἀσύμφορον δὲ χωρίζεσθαι εἰς ἑτέρους τόπους ἐν Τοξότῃ. ποιεῖσθαι δὲ χρὴ τὰς ἐξόδους οὔσης τῆς Σελήνης ἐν τοῖς χερσαίοις, ἐν δὲ τοῖς ἐνύδροις τὰς ἀναγωγὰς τοῦ πλοῦ, ἐν δὲ τοῖς ἀμφιβίοις, τουτέστι Καρκίνῳ καὶ Αἰγοκέρωτι, πρὸς ἀμφότερα χρηστέον. οὐδὲν δὲ κωλύει καὶ ἐν τοῖς ἀνθρωποειδέσι καὶ χερσαίοις χωρὶς τῶν κακοποιῶν ὁδοῦ ἢ πλοῦ κατάρχεσθαι. Ἐν δὲ τοῖς χερσαίοις καὶ στερεοῖς καθεστώσης αὐτῆς ὀρύσσειν χρὴ ὅσα κατὰ γῆν προσήκει—μάλιστα θεμελίους, θησαυρούς—, μάλιστα δὲ ἐν Σκορπίῳ ἐπεὶ καὶ φωλεύει, οἰκοδομεῖν δὲ ἐν τοῖς αὐτοῖς ζῳδίοις πλὴν τῶν τροπικῶν. μνημεῖα καὶ τάφους κτίζειν χρὴ συσχηματιζομένων Κρόνου καὶ Ἑρμοῦ. Παρακαταθήκας λαμβάνειν οὔσης ἐν Ὑδροχόῳ ἀσύμφορον καὶ ἀχαριστίας αἴτιον. Κτηνοτροφεῖν ἐν Ταύρῳ καὶ ἐν Λέοντι ἵππους, ἐν Σκορπίῳ δὲ κύνας καὶ ὄνους. Διδασκαλίαν καὶ παλαίστραν συνιστᾶν ἐν Διδύμοις καὶ Ζυγῷ καὶ Ὑδροχόῳ καὶ Παρθένῳ, καὶ παντὶ εἴδει μαντικῆς χρηστέον. Θηρεύειν δὲ ἐν τοῖς θηριώδεσι τὴν διὰ κυνὸς θήραν, ἐν δὲ τοῖς πτερωτοῖς τὰ πτηνά, ἁλιεύειν δὲ ἐν τοῖς καθύγροις τοὺς ἰχθύας. Κατατίθεσθαι δὲ χρήματα κατὰ γῆν συνοίσει ἐν Σκορπίῳ καὶ Λέοντι καὶ Παρθένῳ, καὶ ἐργαστήρια δὲ ἀνοίγειν καὶ βίον συλλέγειν καὶ ὅσα σταθμοῖς καὶ μέτροις χρῆται ποιεῖν, ἄμεινον ἐν Ζυγῷ οὔσης τῆς Σελήνης κατὰ τάξιν β′, ἐν Καρκίνῳ κατὰ γ′.

278 Ἐν Κριῷ ὀθόνια καὶ ἔρια εἰς μετάπρασιν ὠνεῖσθαι· ἄμεινον ἐν Κριῷ. ἀγοράζειν δὲ ἰχθύας καὶ πᾶν ἔνυδρον ἐν Ὑδροχόῳ. Μετοικίζεσθαι δὲ καὶ μεταβαίνειν ἐν τοῖς ἀνθρωποειδέσι ζῳδίοις, ἄμεινον δὲ καὶ ἐν Καρκίνῳ διὰ τὸ οἶκον αὐτῆς εἶναι. κοινωνίας δὲ πρὸς φίλους ποιεῖν ἐν τοῖς ἀνθρωποειδέσι ζῳδίοις. Σώματα δὲ ἀγοράζειν ἐν μὲν τοῖς στερεοῖς παράμονα μὲν σημαίνει, αὐθάδη, ἐν δὲ τοῖς ἀνθρωποειδέσιν ἐπιεικῆ καὶ ὑποτακτικά, ἐν δὲ τοῖς τροπικοῖς εἰς μετάπρασιν. Ὠνεῖσθαι δὲ σύγκοιτον ἤτοι παλλακὴν ἐν Παρθένῳ, Ζυγῷ, Τοξότῃ. τὰς δὲ τῶν γάμων συγγραφὰς ποιεῖσθαι λῷον ἐν Παρθένῳ, Ζυγῷ, Ὑδροχόῳ, Ταύρῳ· παράμονοι γὰρ οὕτως ἔσονται αἱ συμβιώσεις, τοὐναντίον δ' ἐν Τοξότῃ, Ἰχθύσιν, Κριῷ. θανάτῳ δὲ χωρισμὸς γίνεται ἐν Καρκίνῳ, καὶ μάλιστα ὅταν ἡ Σελήνη τὸ κέντρον αὐτοῦ διαπορεύηται. Ἀμπελῶνας δὲ καὶ κήπους ἐν Ἰχθύσι καὶ Καρκίνῳ καὶ ἐν τοῖς ἐσχάτοις τοῦ Αἰγοκέρωτος, σπείρειν δὲ ἐν Ταύρῳ καὶ Παρθένῳ, τρυγᾶν δὲ ἐν τοῖς καθύγροις Ἀφροδίτης καὶ Ἄρεως καὶ Ἑρμοῦ ὁρώντων. Παρατηρεῖν δὲ ἐν ταῖς κτίσεσι τὴν Σελήνην κενοδρομοῦσαν καὶ ἐν ταῖς ἄλλαις καταρχαῖς καὶ λειψιφωτοῦσαν. Ἐν ταῖς μασθοδοσίαις τῶν βρεφῶν τὸν Κριὸν φυλάττεσθαι χρή· νόσων γὰρ καὶ λειποπραξίας αἴτιος ἔσται. ἐὰν ἐπὶ τῆς ἀποκυήσεως εὑρεθῇ ἡ Σελήνη φερομένη πρὸς τοὺς κακοποιοὺς χωρὶς τῶν ἀγαθοποιῶν κακῶς τὸ τικτόμενον ἀπόλλυται εἴσω ἡμερῶν ζ . ἐν δὲ ταῖς κρισίμοις ἡμέραις τῶν νόσων ἐὰν εὑρεθῇ ἡ Σελήνη συνοῦσα τῷ Κρόνῳ, ᾖ δὲ καὶ ληξιφωτοῦσα, θάνατον ὑπονοητέον, ἡ δὲ τοῦ θανάτου ποιότης προεγνωσμένη ἐστὶ κατὰ τὴν γένεσιν.

279 καὶ εἰ ἐπιταθείη αὐτὴ τοῖς νοσοῦσι καταστοχαστέον τούτου. ὅταν δέ τις δοκῶν εὐημερεῖν καὶ ἐν ἀγαθῇ ἡμέρᾳ ἄρξηται νοσεῖν, ἐν δὲ τῇ κρισίμῳ ἡμέρᾳ μὴ ἀπαλλαγῇ ἀλλὰ παρολκὴν ἔχῃ ἡ νόσος, κινδυνῶδες καὶ θανάτου ἐπακτικὸν τὸ τοιοῦτον νοείσθω, καὶ μάλισθ' ὅταν ἀστέρος ἢ τῇ τοῦ ζῳδίου ἀναφορᾷ συμπληροῦται, ὁμοίως δὲ καὶ ἐπὰν ᾖ ἡ Σελήνη, κἂν πρὸς τοὺς ἀγαθοποιοὺς δὲ ἐπιφέρηται ἢ αὐτῶν ἔν τε τῷ η′ ἢ ς′ ἀπέστη μοίρας, οὐ καλή· ἢ γὰρ θανατικὸν σημαίνει ἢ σίνος μέγα. παρετηρήθη δὲ πολλάκις ἐπὶ τῶν πολυχρονίως καμνόντων οἳ καὶ αἱροῦνται τὸ ἀποθανεῖν μᾶλλον ἢ τὸ ζῆν διά τινας ὑπερβαλλούσας κακίας τῶν νόσων καὶ παθῶν ἢ καὶ ἑτέρας συμφορὰς πρὸς τοὺς ἀγαθοὺς συνάπτουσα, ἢ καὶ τῶν ἀγαθοποιῶν καλῶς σχηματισθέντων ἐν τῇ παρόδῳ κατὰ τὴν γένεσιν τὰ τοιάδε τὴν ἀπαλλαγὴν τοῦ βίου ποιοῦνται. ὅταν δὲ ὁ τὸ σίνος σημαίνων ἀστὴρ εὑρεθῇ ἐν τῷ δυτικῷ κέντρῳ ἢ ἐν τῷ η′ (τουτέστι τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θανατικῷ τόπῳ) ἐξ ἐκείνου τοῦ πάθους τὴν τελευτὴν ἔσεσθαι ὁριστέον, ἐπὰν δὲ καὶ ὑπὸ ἀγαθοποιῶν μὴ θεωρῆται ὁ τοῦ σίνους καὶ πάθους σημαντικὸς ἀστὴρ ἐξ ἐκείνου τοῦ πάθους ἡ τελευτὴ ἔσται. παρετηρήθη δὲ καὶ τοῦτο, ταῖς μὲν εὐτυχέσι καὶ ἐν ὑπεροχαῖς γενέσεσι τὰ κακὰ μέτρια γίνεσθαι ὥσπερ πάλιν τὰ ἀγαθὰ ταῖς δυστυχέσι τῶν εἰρημένων σχημάτων συνισταμένων. Παρατηρητέον οὖν ἐπὶ τῶν καταρχῶν ὡς ἐπὶ γενέσεως καὶ τὰς ἐπεμβάσεις τῶν ἀστέρων. ἑνὸς δὲ ἑκάστου εἴδους καὶ πράγματος κατὰ τὴν καταρχὴν τοὺς δοτῆρας καὶ κυρίους ἐφορατέον συσχηματιζομένους τῇ Σελήνῃ ὅπως συμφώνως καὶ τελείως ἕκαστον τῶν πραττομένων ἀποβῇ. ὅταν γὰρ ζητῶμεν περὶ ἐγγείων ἢ ἐπιτροπῆς ἢ κληρονομιῶν Κρόνον καλῶς κείμενον παραλαμβάνομεν, ὅταν δὲ δικαίων, πολεμικῶν Ἄρην, ἐρωτικῶν δὲ Ἀφροδίτην, φιλιῶν δὲ καὶ πραγματειῶν Ἑρμῆν ἀκάκωτον.

280 ἰστέον δὲ ὅτι ὅταν συνῇ τῷ Ἡλίῳ ὁ τοῦ Ἑρμοῦ ἐμφανῆ τὰ λαθραίως πραττόμενα καθίστησιν. Λεπτομερέστερον δὲ καὶ οἱ ἀρχαῖοι ἀνέγραψαν περὶ τῶν τῆς Σελήνης μόνης ἐπεμβάσεων ἃ καὶ αὐτὰ παρατιθέμεθα. ἐν Κριῷ οὔσης αὐτῆς περὶ τὴν πρώτην ιε μοιρίαν ἐπιτήδειον εἰς ἀποδημίαν καὶ ἀγορασίας εὐσχήμονας ποιεῖσθαι, ἀγρούς τε γεωργεῖν καὶ κουρὰν τετραπόδων καὶ θεμελίων ἀρχὰς καὶ συνθήκας καὶ δανείσματα καὶ ἱστουργίας, ἐν δὲ τῇ β′ πεντεκαιδεκαμοιρίᾳ τοῖς κατὰ τὴν ἔω ἐξουσίαν καὶ ἀρχὴν παραλαμβάνουσιν αἴσιον, γάμον δὲ ποιεῖν ἀνάρμοστον καὶ πατρῴων κτημάτων παραλήψεις ποιεῖσθαι ἐπιζήμιον. ἐν δὲ τῷ Ταύρῳ περὶ τὴν α′ πεντεκαιδεκαμοιρίαν αἴσιον ὁδοιπορεῖν, γεωργεῖν, σπείρειν, φυτεύειν, ὠνεῖσθαι δούλους, τετράποδα, οἰκοδομάς τε καὶ φρέατα ἐργάζεσθαι, ἀγαθόν τε ἱδρύειν βωμούς τε καὶ ἱερά, ἀρχάς τε καὶ ἐξουσίας λαμβάνειν περὶ τὰ νότια κλίματα, ἐν δὲ τῇ ἑξῆς πεντεκαιδεκαμοιρίᾳ οὔσης αὐτῆς ταῖς ἐκτιτρωσκούσαις ἀσύμφορον, ἀβέβαιόν τε γαμεῖν καὶ τέκνα τρέφειν (τὰ γὰρ τέκνα ἐν πλάνῃ καὶ κακοπιστίᾳ ἔσται), καὶ τὸ μισθοῦσθαί τινι ζημιῶδες. ἐν δὲ Διδύμοις περὶ τὴν α′ πεντεκαιδεκαμοιρίαν ἀποτρεπτέον πράγματος κατάρχεσθαι, κατὰ δὲ τὴν ἐφεξῆς πράσσειν συνοίσει καὶ γαμεῖν καὶ τέκνα τρέφειν, ὠνεῖσθαί τε οἰκίας καὶ ἀγρούς, ὅρκους καὶ πίστεις ποιεῖσθαι, ἐπί τε παλαιοῖς καὶ τεθεμελιωμένοις οἰκοδομεῖν καὶ γεωργεῖν καὶ φυτεύειν, τέχνας παραδιδόναι μαθηταῖς, παρακαταθήκας ἐν γῇ τιθέναι, διοικητὰς καθιστᾶν, ἀρχὴν ἀναδέχεσθαι καὶ ἐπίταγμα λαμβάνειν, ἐπικίνδυνον δὲ ἐκτιτρώσκειν, ἔχθρας κατασκευάζειν, πλεῖν, τόπων ἀναχωρεῖν ἢ προσώπων. ἐν δὲ τῷ Καρκίνῳ κατὰ μὲν τὸ α′ ἥμισυ αἴσιον γαμεῖν, τέκνα τρέφειν, συνωνεῖσθαι, καὶ μάλιστα δι’ ὑγρῶν πλεῖν ἀσφαλὲς πλὴν βραδυτῆτα ἔχον, ἐν δὲ τῷ ἑτέρῳ ἡμίσει ἐχθροῖς ἐπιτίθεσθαι, δουλοποιεῖν, ἁλιεύειν, κηπουρεῖν, φυτεύειν, σπείρειν, μέταλλα ὀρύσσειν, ὑδραγωγοὺς καὶ φρέατα καὶ κολυμβήθρας διορύσσειν, παρακαταθήκας γῇ διδόναι, χρέα λαμβάνειν ἢ διδόναι, παραφυλάσσεσθαι δὲ τὰς ἀπὸ ξηρῶν ἐργασίας συνισταμένας, ἄρρενα δὲ σώματα πρίασθαι, ἔχθρας ἀποφεύγειν καὶ μάχας (ἀδιάλυτοι γὰρ ἔσονται).

281 ἐν δὲ τῷ Λέοντι ἀπὸ τῆς δεκάτης μοίρας καὶ ἐφεξῆς τετράποδα πάντα καὶ μάλιστα τὰ μείζονα συνωνεῖσθαι καὶ διοικεῖν καλὸν καὶ ἐπιβάλλεσθαι ἀρχαῖς καὶ ἐξουσίαις καὶ δανείζεσθαι, ἐπιβλαβὲς δὲ ὁδοῦ ἄρξασθαι καὶ πλοῦ, οἰκέτας παραφυλάσσεσθαι καὶ ἐχθρῶν ἐπιθέσεις (τὰ δὲ ἀπολλόμενα δυσανακόμιστα ἔσται), γαμεῖν οὐκ αἴσιον οὐδὲ γυναικὶ ἐκτιτρώσκειν. ἐν δὲ τῇ Παρθένῳ κάλλιστον σῖτον, χρυσόν, ἄργυρον, ἱμάτια, σώματα καὶ ὅσα πρὸς κόσμον χρήσιμα ἀγοράζειν, οἰκοδομάς τε ποιεῖσθαι παντοίας, καινοῖς τε χρῆσθαι σκεύεσι καὶ ἱματίοις, μετάλλων τε ἐνάρχεσθαι ὀρυγῆς καὶ φυτεύειν καὶ σπείρειν καὶ γεωργεῖν πλὴν ἀμπέλου, γαμεῖν τε ἀπὸ χηρείας (αἱ γὰρ παρθένοι ἀσύμφοροι), καὶ τὸ μετοικίζεσθαι δὲ καὶ μισθοῦσθαι καὶ δανείζεσθαι καὶ ἐκτιτρώσκειν, πατρῷα λαμβάνειν, πλοῦ τε ἐνάρχεσσθαι, οἶνόν τε καὶ ἔλαιον διοικεῖν οὐ συνοίσει, ἱστουργεῖν δὲ καὶ τίκτειν συμφέρον. ἐν δὲ Ζυγῷ πάντα ποιεῖν τὰ ἐκ δικαίου, ἀγοράζειν, πωλεῖν καὶ ὅσα διὰ μέτρων καὶ σταθμῶν ἐνεργεῖται ποιεῖν, χρέη τε

λαμβάνειν, ὁδεύειν, ἀρχὴν καὶ ἐξουσίαν λαμβάνειν καὶ μάλιστα τῶν πρὸς βορρᾶν τόπων, θεμελίους τιθέναι, οἰκοδομὰς ἄνευ τοῦ στεγάζειν, ποταμοὺς διαιρεῖν, φρέατα ὀρύσσειν, ἱστουργεῖν, γαμεῖν, φιλίας καὶ ἱλαρότητος μετέχειν, ἀσύμφορον δὲ ἀγοράζειν οἰκίας ἢ χώρας μισθοῦσθαι ἢ μετοικίζεσθαι καὶ ὅσα τε ἀπὸ ξηρῶν συνέστηκεν ἀνάρμοστον ἐργάζεσθαι, καὶ ἐκτιτρώσκειν δὲ ἐπικίνδυνον οὐ μόνον ταῖς ἑκουσίως ἀλλὰ καὶ ταῖς αὐτομάτως τοῦτο πασχούσαις.

282 ἐν δὲ τῷ Σκορπίῳ χρήσιμον ὁδοιπορεῖν, πλεῖν, ἐν δὲ ταῖς ἀγορασίαις καὶ ταῖς πράσεσιν ἐπιβουλή, ἐχθροῖς ἐπιτίθεσθαι, πύλας καθιστᾶν, ἱερὰ ἱδρύειν καὶ βωμοὺς οἰκοδομεῖν, ἀγεώργητον χώραν γεωργεῖν, φρέατα ὀρύσσειν καὶ ἀμπέλους φυτεύειν, τόπους τε διαιρεῖν καὶ σκευῶν καινῶν χρῆσιν ποιεῖσθαι, ὕδωρ τε ἄγειν καὶ ποταμούς. ἅπαντα δὲ ταῦτα περὶ τὴν α′ πεντεκαιδεκαμοιρίαν συνοίσει, ἀσύμφορα δὲ τὰ περὶ τὴν β′· γάμος γὰρ ἐὰν γένηται ἡ νύμφη δούλοις μιχθήσεται, ἀσύμφορον δὲ καὶ τὸ κοινωνίας ποιεῖν καὶ ἰατρὸν κάμνοντι ἐπεισάγειν καὶ ἐκτιτρώσκειν ἐπισφαλές. ἐν δὲ τῷ Τοξότῃ ἁρμόζει πλεῖν ἐπὶ τὰ οἰκεῖα, ἵππους τε τρέφειν καὶ βουκόλια καὶ κτήνη, ἐπωφελὲς δὲ καὶ τὸ δανείζεσθαι καὶ τὰ ἐκτὸς ὄντα εἰς τὴν οἰκίαν ἐμβάλλειν, ἐχθροῖς τε ἐπιτίθεσθαι ἐνεργές, πατρῷα δὲ ἀπολαμβάνειν, οἰκοδομεῖν τε καὶ θεμελίους τιθέναι καὶ κύνας ἀγοράζειν καὶ ἁλιεύειν καὶ κυνηγεῖν καὶ ἱστουργεῖν, ἐπιβλαβὲς δὲ πιστεύεσθαι, δανείζειν, ἀποδημεῖν, ὁδοῦ κατάρχεσθαι (χρόνιος γὰρ ἔσται ἡ ὁδός), οὐ συμφέρει δὲ ἰατρὸν εἰσάγειν οὔτε καθαίρεσθαι οὔτε ἐκτιτρώσκειν. ἐν δὲ Αἰγοκέρωτι ἁρμόζει θρέμματα ὠνεῖσθαι καὶ πιπράσκειν καὶ ἐμπορεύεσθαι καὶ πλεῖν καὶ πετεινὰ ὠνεῖσθαι καὶ θηρᾶν καὶ φρέατα ὀρύσσειν καὶ τὰ ἐμπεφραγμένα διανοίγειν καὶ τοίχους ἀνεγείρειν, τῶν τε κατὰ τὴν οἰκίαν ἐνάρχεσθαι καλόν, φίλοις τε κοινωνεῖν καὶ ἐξ ἀποδημίας εἰς τὰ οἰκεῖα ἐπανέρχεσθαι διά τε γῆς καὶ θαλάσσης, τέχνας τε διδάσκειν καὶ μουσικά, ἀφροδισίοις τε χρῆσθαι καὶ ἱστουργεῖν, ἐπικίνδυνον δὲ ταῖς ἐκτιτρωσκούσαις καὶ ἀποδημίας δὲ ἐνάρχεσθαι ἐπισφαλές. ἐν δὲ τῷ Ὑδροχόῳ πλεῖν τε καὶ ὁδοιπορεῖν καὶ ὅσα δι᾽ ὑγρῶν καὶ σταθμῶν πιπράσκεται συνωνεῖσθαι, οἰκοδομεῖν τε καὶ κοσμεῖν οἰκίας καὶ τὰ ἐμπεφραγμένα ἀνοίγειν, γεωργεῖν, φυτεύειν, σπείρειν, ὀρύσσειν φρέατα καὶ ποταμοὺς καὶ κολυμβήθρας καὶ ὅσα ἐν γῇ, ἱστουργεῖν, ἀκίνδυνόν τε ταῖς ἐκτιτρωσκούσαις, ὀμνύναι δὲ ἢ πράσσειν τι ἄδικον οὐκ ἐπιτήδειον, ὁρκίζειν δὲ καὶ πᾶν ὅπερ τοῦ δικαίου ἔχεται πράττειν ἀκώλυτον.

283 ἐν δὲ τοῖς Ἰχθύσιν οὔσης τῆς Σελήνης πλοῦ κατάρχεσθαι καὶ ὁδοῦ καὶ συνωνεῖσθαι καὶ ἐμπορεύεσθαι κατά τε γῆν καὶ θάλασσαν καὶ ὅσα ἐξ ὑγρῶν καὶ μάλιστα ὅσα ἐκ θαλασσίας παρασκευῆς κτᾶσθαι καὶ τὰ πρὸς ἁλείαν καὶ θήραν καὶ στρατιὰν ἑτοιμάζεσθαι, ἐπιτίθεσθαί τε τοῖς ἐχθροῖς καὶ μάχεσθαι καὶ ἰξεύειν καὶ κοινωνίας κατάρχεσθαι καὶ φιλίας, γαμεῖν τε καὶ ὅσα πρὸς ἰσότητα φέρει ποιεῖν (ἡ δὲ γαμηθεῖσα λοίδορός τις καὶ λάλος καὶ μοιχὰς ἔσται), φυλάσσεσθαι δὲ δεῖ τὸ οἰκοδομεῖν. τὰ δὲ προειρημένα πάντα ἐνεργέστερα γίνεται πρός τε ὠφέλειαν καὶ κάκωσιν ἀπὸ τῆς κοινωνίας τῶν ἄλλων ἀστέρων· οὐ γὰρ μόνον χρὴ τὴν τοπικὴν στάσιν τῆς Σελήνης διακρίνειν, ἀλλὰ καὶ τοὺς μαρτυροῦντας αὐτῇ Ἥλιόν τε καὶ τοὺς ε πλανωμένους. Ἔμπρακτοι δὲ ἡμέραι νοοῦνται ὅταν γένηται ἡ Σελήνη ἐν τῷ κατὰ γένεσιν ζῳδίῳ ἢ κατὰ τρίγωνον αὐτοῦ σὺν ἀγαθοποιοῖς ἢ καὶ ἐν παντὶ ζῳδίῳ μετὰ τῶν ἀγαθοποιῶν ἀπόντων φθοροποιῶν πλὴν πανσελήνου καὶ συνόδου, καὶ ὧραι δὲ ἔμπρακτοι γίνονται ὁπόταν ὡροσκοπῇ τὸ τῆς γενέσεως ζῴδιον ἢ καὶ κατὰ τρίγωνον σχηματίζηται ἢ καὶ συναναφέρηται τῷ ὡροσκόπῳ τῆς Σελήνης (τουτέστι τῷ κλήρῳ τῆς τύχης) τῆς Σελήνης μηδενὶ τῶν κακοποιῶν σχηματιζομένης. ἄπρακτοι δὲ ἡμέραι καὶ κακαὶ ὅταν ἡ Σελήνη ἐν τῷ τετραγώνῳ ζῳδίῳ τῆς γενέσεως γένηται, ἐν τῷ ἀντικειμένῳ σὺν τοῖς φθοροποιοῖς ἢ κατὰ τὴν πανσέληνον ἢ σύνοδον ἤ καί τις τῶν κακοποιῶν ὡροσκοπήσῃ ἢ ἐπίδῃ τὴν πανσέληνον ἢ τὴν σύνοδον ἀπόντων τῶν ἀγαθοποιῶν· Ἑρμῆς γὰρ ὢν κοινωνὸς συνανακίρναται οἷς ἂν ἐπισυγγένηται.

284 Προσεκτέον τοίνυν ἐπιμελῶς τῇ τε Σελήνῃ καὶ τῷ ὡροσκόπῳ καὶ τῷ κλήρῳ τῆς τύχης καὶ τοῖς λοιποῖς κέντροις ἅτε ἡγεμονίαν καὶ ἀκρίβειαν τῆς πεύσεως τοῦ πράγματος κεκληρωμένοις, παραφυλάσσοντας τὴν Σελήνην ἀπὸ συνόδου ἕως πανσελήνου εἰ ἐν χρηματιστικοῖς τόποις εὑρίσκοιτο ἢ δεσπόζῃ τοῦ κλήρου τῆς τύχης ἢ ἐπ' αὐτοῦ τύχῃ τοῦ κλήρου καὶ ὁ τὴν οἰκοδεσποτίαν αὐτῆς κεκληρωμένος συνῇ τῷ τὴν κυρείαν ἔχοντι τοῦ κλήρου ἢ ἀνταμείψωνται τὰ ζῴδια. τούτων γὰρ οὕτως ἐχόντων ἀπρόσθετοι καὶ ἄσκεπτοι γίνονται αἱ ἀγορασίαι καὶ οἱ γάμοι, αἰφνίδιοί τε αἱ κινήσεις καὶ αἱ δίκαι καὶ αἱ περιστάσεις ἀνέλπιστοι. ἀπὸ γὰρ πανσελήνου τρέχουσα (τουτέστιν ἀφαιροῦσα) παρολκὴν τοῖς γινομένοις ἀποδείκνυσι καὶ μῆκος χρόνου. προσεκτέον δὲ καὶ ταῖς ἄλλαις φάσεσιν αὐτῆς καὶ τοῖς ἄλλοις πλανωμένοις σκοποῦντας μὴ πάντοτε τοὺς ἀγαθοποιοὺς ἀγαθῶν εἶναι ποιητικοὺς μηδ' αὖ τοὺς κακοποιοὺς κακῶν ποιητικούς· ἐν γὰρ τοῖς ἰδίοις οἴκοις ὄντες ἢ ὁρίοις ἢ τριγώνοις ἢ ὑψώμασι καὶ δορυφοροῦντες κατὰ τὴν ἑαυτῶν αἵρεσιν (τουτέστιν ἐπὶ μὲν τῆς ἑῴας ἀνατολῆς πρὸς Ἥλιον, ἐπὶ δὲ ἑσπερίας πρὸς Σελήνην) τὰ κατὰ τὴν οἰκείαν οἰκείως ἐργάζονται δύναμιν, ἀνοικείως δὲ φανέντες καὶ παρ' αἵρεσιν ἢ ἐπαναφερόμενοι ἀπροκοπίας καὶ κακῶν εἰσιν αἴτιοι. Ἰστέον γε μὴν ὅτι καὶ πάσης τέχνης καὶ ἐπιστήμης τὸ καθόλου εἶδος εἰδέναι δυνατόν ἐστι δοθείσης τῆς κατὰ τὴν ἐνέργειαν καταρχῆς οἷον ἐπὶ σπλαγχνοκοπίας. Σελήνη περιγειοτάτη οὖσα μᾶλλον τῶν ἄλλων οὐρανίων τὰ τῇδε ταχυτῆτι μεταβάλλει. τυχοῦσα οὖν ἐπὶ φάσεως μετὰ τοῦ Ἑρμοῦ ἐν τῷ καιρῷ τῆς τοῦ ζῴου ἀνατομῆς διατυποῖ τὰ ἐντὸς τῶν σπλάγχνων ἄλλοτε ἄλλως καὶ πρὸς τὴν συνανακιρναμένην αὐτῇ τῶν ἀστέρων φύσιν.

285 εἰς μὲν οὖν εὔχροιαν καὶ εὐεξίαν τρέπει ὅταν προστιθῇ τοῖς ἀριθμοῖς καὶ τοῖς φωσὶ καὶ συνῇ ἀγαθοποιοῖς, εἰς δὲ πελιδνότητα καὶ ὠχρότητα καὶ ἐξυδατωμένην χροιὰν ὅτε καὶ ἀμάντευτα γίνεται τὰ κατὰ τὰ σπλάγχνα ὅταν λειψίφωτός τε ᾖ καὶ μετὰ Κρόνου τύχῃ, ἐὰν δὲ Ἄρης αὐτῇ συνῇ πληρουμένῃ ποιεῖ καὶ ξανθὰ σημεῖα δι' αἱμάτων εἰς ὅλον τὸ σπλάγχνον, εὔκρατα δὲ ἐπὰν Κρόνῳ μὲν πλήθουσα, Ἄρει δὲ λήγουσα συνάπτῃ ὑπὲρ γῆν, καὶ καλὰ καὶ αἴσια καὶ μαντευτικὰ καὶ εὔσημα, τοὐναντίον δὲ ὅταν ὑπὸ γῆν, καὶ μάλιστα μετὰ τῶν κακοποιῶν. Ἀποδείκνυσι δὲ ἕκαστα πρὸ τῆς ἀναπτύξεως τοῦ ζῴου ἡ τῆς καταρχῆς διάθεσις, καὶ μηνύουσιν ὁ μὲν ὡροσκόπος τὸν θύοντα, τὸ δὲ δῦνον τὸ θυόμενον ἢ τὸ ἱερεῖον, τὸ δὲ μεσουράνημα τὸν θεόν, τὸ δὲ ὑπόγειον τὴν τῆς μαντείας αἰτίαν καὶ τὴν ἔκβασιν τοῦ πράγματος· τούς τε οὖν ἀστέρας ἐπιθεωρητέον ἐν οἷς εἰσι τόποις καὶ τάξει καὶ φάσει καὶ τοὺς δ κλήρους, τόν τε τῆς τύχης, τοῦ δαίμονος, τῆς ἀνάγκης, τοῦ ἔρωτος. καὶ τὸ μὲν δεξιὸν μέρος τοῦ σπλάγχνου τῷ ὑπὲρ γῆν δηλοῦται μεσουράνημα, οἱ δὲ πλανῆται ἑῷοι μὲν ὄντες τὰ δεξιὰ μέρη σημαίνουσιν, ἑσπέριοι δὲ τὰ λαιά, καὶ ἡ Σελήνη ἐν μὲν τῷ βορείῳ ἡμισφαιρίῳ τὰ δεξιά, ἐν δὲ τῷ νοτίῳ τὰ λαιά. καὶ ἐπὰν εὕρῃ τινὰ τῶν ἀστέρων τὸν αὐτὸν ἄνεμον τρέχοντα καὶ συνάπτοντα αὐτῇ κατὰ τὴν ἑαυτοῦ ποιότητα καὶ τὴν δύναμιν τὸ μέρος ἐκείνου τοῦ σπλάγχνου ἐξομοιώσας προαγορεύσεις. Διήρηται δὲ τὰ μέρη τῶν ἐντοσθιδίων εἴς τε τοὺς ἀστέρας καὶ τὸν ζῳδιακὸν κύκλον οὕτως. Ἡλίῳ μὲν γὰρ οἰκειοῦται ἥ τε καρδία καὶ τὸ ἀπὸ τῆς καρδίας ἕως τοῦ δεξιοῦ ὤμου καὶ τῆς δεξιᾶς δοχῆς καὶ τῶν κοτυληδόνων ἢ διδύμων ἢ ὄρχεων, τῇ δὲ Σελήνῃ ὁ χιτὼν τῆς καρδίας καὶ ὁ λαιὸς ὦμος καὶ ἡ λαιὰ δοχή (ἐὰν οὖν ἡ Σελήνη πλήθουσα ἢ μειουμένη εὑρεθῇ τοιουτότροπος εὑρίσκεται ἥ τε δοχὴ καὶ ὁ σπλήν), Κρόνῳ δὲ αἱ μοιριαῖαι φλέβες αἱ περὶ τὴν ῥίζαν εἱλούμεναι τήν τε λαιὰν τράπεζαν καὶ τὸν λαιὸν ἀντίθεον (αὐτή τε ἡ τράπεζα ἡ τῆς καρδίας), τῷ δὲ Διὶ κύστεως χώρα καὶ ἡ δεξιὰ κεφαλή, τῷ Ἄρει δὲ τὸ ὀφρύωμα καὶ ἡ δεξιὰ δρεπάνη ἣν καὶ ἔρυμα καὶ μάχαιραν καλοῦσι καὶ τῶν πυλῶν τὰ δεξιὰ καὶ λαιὰ μέρη, τῇ δὲ Ἀφροδίτῃ ἡ κεφαλή, αἱ ᾧαι τοῦ ἥπατος καὶ ὁ πνεύμων, Ἑρμῇ δὲ τὰ ὦτα ἀμφότερα, αἱ χεῖρες καὶ τὸ στόμα τοῦ ἥπατος καὶ ἀμφοτέρων τῶν κοινῶν χωρῶν καλουμένων τῶν οὐσῶν ἐγγὺς τῶν πυλῶν.

286

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ δὲ τὸν ζῳδιακὸν ἀρξάμενοι ἀπὸ τοῦ στόματος τῆς καρδίας ἕως τοῦ δεξιοῦ μέρους τῆς κεφαλῆς ἀφορίζομεν τῷ Κριῷ, τῷ δὲ Ταύρῳ τὴν τράπεζαν καὶ τὰ μεταξὺ αὐτῆς, τοῖς Διδύμοις δὲ τὸν δεξιὸν ὦμον, ἀπὸ δὲ θεοῦ τόπου ἕως ἑστίας Καρκίνῳ, τῷ Λέοντι δὲ τὴν δεξιὰν χεῖρα καὶ τὸ σκέλος καὶ τὸν πόδα, τῇ Παρθένῳ δὲ τὴν χολὴν καὶ τὰ παρ' ἑκάτερα, τῷ δὲ Ζυγῷ τὴν δεξιὰν πύλην, τῷ Τοξότῃ δὲ τὸν λαιὸν πόδα καὶ τὸ σκέλος, τῷ δὲ Αἰγοκέρωτι τὴν λαιὰν τράπεζαν καὶ τὸ κοῖλον τῆς τραπέζης ἕως μηροῦ καὶ κοτύλης, τῷ δὲ Ὑδροχόῳ ὁ εὐώνυμος ὦμος, τοῖς δὲ Ἰχθύσιν ἡ κεφαλὴ κατὰ τὸ μέρος τὸ λαιὸν καὶ ἡ πίστις. τοσαῦτα μὲν περὶ τοῦ ἥπατος παρὰ τῶν ἀρχαίων ἐξετέθη, ἐπεξεύροι δ' ἄν τις νοῦν ἔχων καὶ πλείονα ἐκ τῶν εἰρημένων. 〈πβ'〉 Περὶ κτίσεως πόλεως, οἰκοδομιῶν καὶ καθιδρύσεων Ἐὰν δὲ βουληθῇ τις εὐδαίμονα πόλιν κτίσαι καὶ παράμονον, ὁμοίως ναῶν τε καὶ οἴκων καὶ τειχῶν οἰκοδομὰς καταβαλέσθαι, ἐπιτηρείτω τὴν Σελήνην ἐν τῷ βασιλικῷ τριγώνῳ παροδεύουσαν κατὰ τὸν καιρὸν καὶ τὴν καταρχὴν τῆς περιγραφῆς ἤτοι θεμελιώσεως καὶ ὑπὸ πάντων τῶν ἀστέρων καλῶς μαρτυρουμένην· οὕτω γὰρ τυχοῦσα ὑπὸ μεγίστων βασιλέων ἢ ἀρχόντων τὸ κτίσμα καὶ τὴν τούτου φροντίδα ἔσεσθαι μηνύει καὶ ἐνδιαίτημα βασιλέων καὶ θεῷ προσφιλῆ, ἐπίσημόν τε καὶ ἔνδοξον καὶ πολυχρόνιον.

287 ἢν τύχῃ δὲ ἀπολειπόμενός τις τῶν ἀστέρων τῆς προσφόρου μαρτυρίας τὸ ἐνδεῶς περὶ τὴν πόλιν ἐσόμενον ἐντεῦθεν συνοραθήσεται· τοῦ μὲν γὰρ Ἄρεως ἀποκεκλικότος καὶ ἀποστρόφου ὄντος τῇ καταρχῇ ἐνδεὴς ἔσται ὅπλων καὶ ἀσθενήσει περὶ τὰ πολεμικά, τῆς δὲ Ἀφροδίτης ὁμοίως ἀσυνδέτου τυχούσης χαρίτων καὶ τρυφῆς καὶ ἀστειότητος ἐκτὸς ἔσται καὶ τοῦ φιλεῖσθαι, ἢν δὲ ἀπὸ Διὸς ἀθεώρητος ἡ καταρχὴ γένηται εὐεπηρέαστος ἔσται οὐδεμιᾶς φροντίδος ἢ κηδεμονίας μετέχουσα, τοῦ δὲ Ἑρμοῦ ἀσχηματίστου ὄντος οὐ φρόνησις, οὐ λόγων ἄσκησις ἐν αὐτῇ ἔσται. Εἰ δὲ συμβαίῃ ἐναντιοῦσθαι τὸν τοῦ Ἄρεως ἢ τὸν τοῦ Διὸς τοῖς φωστῆρσιν (τουτέστιν τῷ Ἡλίῳ καὶ τῇ Σελήνῃ) καὶ πολέμων πειραθήσεται ἡ πόλις, καὶ μάλιστα ὅταν κατὰ τὰ τετράγωνα παραγένηται ἡ Σελήνη (τουτέστιν ἐν ταῖς διχοτόμοις), συμβαίνει δὲ μὴ πάντας τοὺς ἐνοικοῦντας θανάτῳ ἢ λαφυραγωγίᾳ ὑποπίπτειν τῷ μὴ πάντα τὰ κατασκευάσματα αὐτῆς καὶ τὴν κτίσιν ὑπὸ μίαν καιροῦ ῥοπὴν τὴν καταρχὴν λαμβάνειν. ὥσπερ δὲ ἐπὶ τῶν γενέσεων ἡ τετράγωνος πλευρὰ τὸ τέλος τῆς ζωῆς ἐπιτίθησιν, τότε εἴωθε συμπληροῦσθαι τὰ χρονικὰ καὶ ἀπόλλυσθαι παντελῶς τὴν κατασκευασθεῖσαν πόλιν ὁπηνίκα σύμπαντες οἱ κακοποιοὶ κατὰ τὸ τετράγωνον τῆς Σελήνης βιαιότερον τὰς ἀκτῖνας ἐπιφέρωσιν· συμβαίνει γὰρ οὕτως ἐπαύξεσθαι τὰ τῆς συμφορᾶς κατὰ δύο τρόπους συμπίπτοντα, ἔκ τε τῆς κακώσεως τοῦ τετραγώνου καὶ τῆς κατὰ τὴν πῆξιν τῆς Σελήνης στάσεως. τὰ δ' αὐτὰ ἀποτελεσθείη καὶ τῶν ρπ μοιρῶν τῶν ἀναφορῶν συμπληρουμένων ἢ καὶ ἕως ἑτέρας τετραγώνου ἢ συμπληρουμένου παντὸς τοῦ κύκλου, ἢν δὲ ἀκάκωτα τύχῃ τὰ τετράγωνα ὑπὸ τῆς τῶν κακοποιῶν παρόδου καὶ β' καὶ γ' κύκλου ἐφάψεται μοιρικῶς τὰ συμπτώματα τῶν κακώσεων ὑπομένουσα.

288 Ἔστι δὲ καὶ ἑτέρα κάκωσις ὅταν ἔκλειψιν ὑπόγειον ἡ Σελήνη τύχῃ πεποιημένη τῆς καταρχῆς τῆς κατασκευῆς ἐν τῷ μεταξὺ τῆς ἐπιούσης συνόδου γεγενημένης καὶ τῆς Σελήνης κατὰ τοῦτον τὸν χρόνον πρὸς τοὺς κακοποιοὺς σχηματιζομένης ἢ κατὰ τὸν χρόνον τῆς πανσελήνου. συμβαίνει γὰρ κατὰ τὴν τοιαύτην καταρχὴν σεισμοῖς ἀπόλλυσθαι τὴν πόλιν, συνεχέστερον δὲ τὰς οὕτω γινομένας πόλεις βλάπτεσθαι ἐπὶ μὲν τοῦ διὰ τοῦ Κριοῦ τριγώνου ἀπὸ πυρός, ἐπὶ δὲ τοῦ διὰ τοῦ Ταύρου γεώδους ὄντος ὑπονοητέον τὰς ἀπὸ γεωργίας βλάβας ἢ ὠφελείας κατὰ τοὺς τῶν σχηματισμῶν ὅρους, ἐπὶ δὲ τοῦ διὰ τῶν Διδύμων τριγώνου ἀερώδους ὑπάρχοντος τὰς ἐξ ἀέρων ὠφελείας ἢ βλάβας, ἐπὶ δὲ τοῦ διὰ τοῦ Καρκίνου ὑδατώδους ὑπάρχοντος τὰς ἐξ ὑγρῶν ὠφελείας ἢ βλάβας. οἱ δὲ κτίζοντες καὶ τὴν φροντίδα τῆς κατασκευῆς ἀνειληφότες κατὰ τὴν τῶν οἰκοδεσποτῶν φύσιν τῆς ἀξίας καὶ τῶν ἠθῶν μεθέξουσιν. Δωρόθεος δὲ παραινεῖ ἐν τοῖς ἔπεσι περὶ οἰκοδομῆς τοιαῦτα. Σελήνη αὐξιφωτοῦσα καὶ τοῖς ἀριθμοῖς προστιθεῖσα

ἀγαθὴ τοῖς κτίζουσιν, δεῖ δὲ καὶ τοὺς ἀγαθοποιοὺς ἤτοι συνεῖναι αὐτῇ ἢ μαρτυρεῖν, ἐὰν δὲ Ἄρης διὰ πυρὸς φθείρειν. Σελήνης νότον ἀνερχομένης δεῖ θεμελίους πηγνύειν, βορρᾶν δὲ ἀνερχομένης δεῖ τοῖς θεμελίοις τοίχους ἐποικοδομεῖν, βορρᾶν δὲ κατερχομένης τοίχους καθαιρεῖν, νότον δὲ κατερχομένης θεμελίους ἀνασπᾶν καὶ ἀνορύττειν. ἐν πᾶσι δὲ τούτοις οἱ μὲν κακοποιοὶ ἀπέστωσαν, οἱ δὲ ἀγαθοποιοὶ μαρτυρείτωσαν. Σελήνης πληθούσης ἐπὶ φάσεως θειωδέστεραι καὶ ἐμψυχοπεποιημέναι αἱ δυνάμεις αὐτῶν τῶν ἀποτελεσθέντων ἐκ τῆς κοσμικῆς κινήσεως ἀποτελοῦνται.

289 Σελήνης ἐν τῷ τριγώνῳ τοῦ Διὸς οὔσης καὶ τοῦ Διὸς συμφώνου πρὸς αὐτὴν ὄντος, τουτέστιν ἐν τῷ αὐτῷ τριγώνῳ, καὶ Ἡλίου ὁμοίως ἐσχηματισμένου, τοῦ δὲ Κρόνου ὁμοίως ἐν τῷ ἰδίῳ τριγώνῳ τυγχάνοντος. καὶ ἐπὶ τῶν λοιπῶν ἀστέρων ὁμοίως τὰ ἱερὰ κατασκευαστέον, ἔτι τε ὄντων αὐτῶν ἐν τοῖς ἰδίοις ὑψώμασί τε καὶ οἴκοις μηδενὸς τῶν κακοποιῶν ἀστέρων ἐναντιουμένου. 〈πγʹ〉 Περὶ γάμου Τὸν μὲν ἄνδρα ἀπὸ τοῦ Ἡλίου καὶ τοῦ ὡροσκόπου σκέπτου, τὴν δὲ νύμφην ἀπὸ τῆς Ἀφροδίτης καὶ τοῦ δύνοντος, ὃν δὲ βίον μέλλουσι μετ' ἀλλήλων διάξειν ἐκ τοῦ μεσουρανήματος, ἐκ δὲ τοῦ ὑπογείου ἡ προὶξ νοείσθω. ὁ Ἥλιος οὖν ὑπὸ κακοποιῶν βλαπτόμενος ἢ ὁ ὡροσκόπος τὸν ἄνδρα βεβλαμμένον δείκνυσιν, ὑπὸ δὲ ἀγαθοποιῶν μαρτυρούμενοι ἀγαθὰ τῷ ἀνδρὶ μαντεύονται· ἡ Ἀφροδίτη καὶ τὸ δῦνον ὑπὸ Διὸς μαρτυρούμενοι ἀγαθὰ τῇ γυναικὶ σημαίνουσιν, ὑπὸ δὲ τῶν κακοποιῶν ἀπαίσια καὶ οὐκ ἔσται παράμονος ὁ γάμος, ἐὰν δὲ καὶ ἡ Σελήνη συγκακωθῇ ἀμφοτέροις κακὸν σημαίνει. Ἑρμῆς ὑπὸ τῶν ἀγαθοποιῶν μαρτυρούμενος παιδοποιίαν τῷ γάμῳ δίδωσιν. Σελήνη ἢ καὶ Ἀφροδίτη ἐν τροπικῷ ζῳδίῳ οὖσα κακὸν τὸν γάμον μηνύει· ἡ μὲν γὰρ Ἀφροδίτη μοιχαλίδα καὶ ῥυπαρὰν σημαίνει τὴν τοιαύτην νύμφην, ἡ δὲ Σελήνη παλιντροπίας καὶ διαστάσεως γίνεται παραιτία. Σελήνης οὔσης ἐν Κριῷ οὐ δεῖ γαμεῖν· χωρισμὸς γὰρ ἐν τάχει παρακολουθήσει. Σελήνης οὔσης ἐν αʹ καὶ γʹ δεκανῷ τοῦ Ταύρου παραιτητέος ὁ γάμος, ἐν δὲ τῷ βʹ σύμφορος.

290 Σελήνης οὔσης ἐν Διδύμοις ἀπ' ἀρχῆς μὲν ἕως μοίρας ιεʹ ἀπαίσιον ὁ γάμος, ἐφεξῆς δ' ἕως τέλους ἀγαθόν. ἐν δὲ τῷ Καρκίνῳ οὔσης τῆς Σελήνης οὐ δεῖ γαμεῖν ὅλως. ἐν δὲ τῷ Λέοντι οὐ κακὸν τὸ γῆμαι πλὴν ὅτι ἔσται ἡ γυνὴ κακοδάπανος. Σελήνης οὔσης ἐν Παρθένῳ χήραν γῆμαι αἴσιον, παρθένον δ' ἀπαίσιον. Σελήνης οὔσης ἐν Ζυγῷ οὐ δεῖ γῆμαι, μνηστεύειν δὲ δεῖ. Σελήνης ἐν Σκορπίῳ ἐν μὲν ταῖς πρώταις ιε μοίραις ἀγαθόν, ἐν δὲ ταῖς ὑστάταις οὐ καλόν· ταχὺ γὰρ διαζευχθήσονται. Σελήνης ἐν Τοξότῃ οὐ δεῖ γῆμαι· ὀλιγοτεκνίας γὰρ ἔσται ὁ γάμος αἴτιος. Σελήνης ἐν Αἰγοκέρωτι τῷ μὲν δευτερογαμοῦντι ἢ τριτογαμοῦντι καλόν, τῷ δὲ πρωτογαμοῦντι οὐ καλόν. Σελήνης ἐν Ὑδροχόῳ ἀνεπιτήδειον γῆμαι. Σελήνης ἐν Ἰχθύσι καλὸν γαμεῖν πλὴν ὅτι ἔσται ἡ γυνὴ μαχίμη τε καὶ λάλος. Παρατηρητέον δὲ τὴν Ἀφροδίτην μάλιστα ἐν ταῖς τοιαύταις σκέψεσι μή ποτε ᾖ μετὰ τῶν κακοποιῶν ἢ μαρτυρουμένη ὑπ' αὐτῶν, ἀλλὰ μᾶλλον ᾖ ἐν ὁρίοις ἢ οἴκοις εὐεργέος· οὕτω γὰρ ἔχουσα ἡ Ἀφροδίτη εἰ ἐπιδεκατεύει τὴν Σελήνην, ὑπὸ δὲ τοῦ Διὸς ἐπιδεκατεύεται (τουτέστι δεκάτη μὲν ἀπὸ Σελήνης, δʹ δὲ ἀπὸ Διός), κάλλιστον τὸν γάμον, θυμήρη τε καὶ τεκνοποιὸν ἀποτελέσει, καὶ μάλιστα ὅταν εἷς τῶν ἀγαθοποιῶν ἐπὶ τῶν πολυσπέρμων τύχῃ· οὕτω γὰρ τάχιστα συλλήψεις ποιήσει. τὸ δὲ αὐτὸ καὶ τὰ τρίγωνα σχήματα ἀποτελέσει πολυσπέρμων ὄντων τῶν ζῳδίων, καὶ οἱ κακοποιοὶ δὲ ἐν τῷ τριγώνῳ σχήματι ἐπὶ τῶν πολυσπέρμων ζῳδίων μαρτυρούμενοι ὑπὸ τῶν ἀγαθοποιῶν τεκνοποιίαν ἀποδιδόασιν. Ἐπισκοπεῖν δὲ χρὴ τὰ δύο θέματα τῶν γαμουμένων· ὡς ἐπίπαν γὰρ οἱ ἀγαθοποιοὶ ἐν τοῖς ἀγαθοῖς τόποις (τουτέστι διπλοῖ) κατὰ τὸν καιρὸν τοῦ γάμου γίνονται ἢ συσχηματίζονται. εἰδὲ καὶ κατὰ γένεσιν καὶ κατὰ πάροδον τὸ μεσουράνημα κοσμούμενον ᾖ καὶ ἀγαθοποιοῦ τόπος ἐπὶ τοῦ θέματος τῆς γυναικὸς ἐμπέσειεν εἰς τὸ τοῦ ἀνδρὸς μεσουράνημα, εἰδέναι [δὲ] χρὴ ἐν αὐτῷ τῷ ἔτει τὴν παιδοποιίαν ἔσεσθαι, εὐάρμοστόν τε τὴν συμβίωσιν καὶ εἰς πολὺ μῆκος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρεκταθῆναι, καὶ μάλιστα ὅταν οἱ ἐπίκαιροι τόποι τῶν γενέσεων (τουτέστιν ἥ τε Σελήνη καὶ ὁ Ἥλιος καὶ ὁ κλῆρος τῆς τύχης καὶ ὁ ὡροσκόπος) σύμφωνοι ὑπάρχωσιν.

291 ἐπὰν δὲ καὶ πολύσπερμον ᾖ τὸ κατὰ κορυφὴν ζῴδιον, κατὰ τὴν α′ συνέλευσιν τὰ τῆς συλλήψεως ἀσφαλῶς ἔσται. ἐπὰν δὲ τύχῃ ἐπὶ τοῦ κατὰ κορυφὴν τόπου ἀγαθοποιὸς ὑπὸ τὰς αὐγὰς ὢν κατὰ τὸν καιρὸν τοῦ γάμου σκοτεινὴν τὴν σύλληψιν καὶ τὴν τεκνοποιίαν σημαίνει, καὶ μάλιστα ἐπὶ τῶν γυναικῶν αἷς καὶ τὸ θέμα οὕτω συμβέβηκεν ἔχειν· τῆς γὰρ Ἀφροδίτης ὑπὸ τὰς αὐγὰς οὔσης μετὰ Ἄρεως λαθραίως παρθενεύονται, καὶ Διὸς μαρτυροῦντος οἱ βιασάμενοι 〈...〉 κατὰ τὸν καιρὸν τῆς καταρχῆς τῆς Ἀφροδίτης ὑπὸ δύσιν ὄντος τοῦ Ἡλίου. Ἐὰν ἐν τῷ κακοδαιμονήματι τοῦ ἀνδρὸς ἢ τῆς γυναικὸς ᾖ Σελήνη ἄρξει ἡ γυνὴ τοῦ ἀνδρός, ἐὰν δὲ ἐν τῷ αὐτῷ τόπῳ τῆς γυναικὸς εὑρεθῇ ἡ τοῦ ἀνδρὸς Σελήνη ἀνάπαλιν γίνεται, τουτέστιν ὁ ἀνὴρ ἄρξει τῆς γυναικός. αἱ δὲ τῶν ἄλλων καταρχαὶ ἐν πανσελήνῳ ἐκπεσοῦσαι κάκισται τοῖς γαμοῦσιν. καὶ αἱ Σελῆναι δὲ τῶν δύο γενέσεων διαμετροῦσαι ἀλλήλας ἀπαίσιοί εἰσιν· διχονοίας γὰρ παραίτιαι. κρατήσει δ’ ὅμως ἐν ταῖς φιλονεικείαις ὁ ἔχων ὑπὲρ γῆν τὴν Σελήνην. ἐν ἀρσενικῷ ζῳδίῳ Ἀφροδίτη οὖσα, ὁ δὲ Ζεὺς ἐν θηλυκῷ—τοῖς ἀνδράσι τὸ τοιοῦτον σχῆμα καλὸν ὑπάρχει, ἔμπαλιν δὲ ταῖς γυναιξίν· ἄμεινον ὅταν ἡ μὲν Ἀφροδίτη ἐν θηλυκῷ, ὁ δὲ Ζεὺς ἐν ἀρσενικῷ. Καὶ ταῦτα μὲν ἐν τοῖς ἔπεσι Δωρόθεος, ἐκ δὲ ἄλλων ἀρχαίων καὶ τάδε τὰ ἐφεξῆς πείρᾳ κατείληπται. τὸν περὶ συνελεύσεως καὶ ἁρμογῆς γάμου σκεπτόμενον χρὴ μάλιστα προσέχειν τῷ τε κυρίῳ τοῦ κλήρου καὶ τοῦ ὡροσκόπου, ἔτι τε καὶ τῷ τῆς προγενομένης συνόδου καὶ τῇ πρὸς ἀλλήλους τε καὶ τὰ φῶτα τούτων, ἔτι τε καὶ τὸν κύριον τοῦ θανατικοῦ τόπου ἀστέρα σχηματοθεσίᾳ.

292 τυχὼν γὰρ ὁ κλῆρος τῆς τύχης εἰς τὸ δυτικὸν κέντρον ἢ ὁ τούτου κύριος ἢ ὁ τοῦ δυτικοῦ κέντρου κύριος ἐπ’ αὐτοῦ τυχὼν σὺν τῷ κληρικῷ ἀστέρι ἢ ἐπὶ τοῦ κληρικοῦ ἀστέρος ἢ ἐπὶ τοῦ κληρικοῦ ζῳδίου ὁμοίως τυχών (δηλονότι σὺν τῷ κληρικῷ ἀστέρι) τῆς Σελήνης ἐπιμαρτυρούσης γάμον καὶ συνέλευσιν σημαίνει. Παραφυλακτέον οὖν τὴν Ἀφροδίτην ἑῴαν ἀναποδίζουσαν καὶ ἐπὶ τὸν Δία ἐρχομένην· οὕτω γὰρ ἀνάρμοστοι καὶ ἀβέβαιοι οἱ γάμοι ἔρχονται τοῖς συνερχομένοις· ἔσονται γὰρ καὶ ἀμφότεροι κοῦφοι τὰ ἤθη. καὶ ἢν μὲν ἐν θηλυκῷ ζῳδίῳ τύχῃ τοῦτο τοὺς ἄνδρας, ἢν δὲ ἐν ἀρσενικῷ τὰς γυναῖκας τοιαύτας νομιστέον. εἰ δ’ οὕτως ἐχούσης τῆς Ἀφροδίτης ἀπόζευξις γένοιτο ἐπανήξει αὖθις ἡ γυνὴ προστιθείσης τῆς Ἀφροδίτης τοῖς ἑξαγώνοις, εἰ δ’ ὁ Ἄρης ἀναποδίζει ἐν τῇ καταρχῇ τοῦ χωρισμοῦ ἐπιστρέψαντος αὐτοῦ καὶ προστιθέντος ὁ ἀνὴρ διαλλαγήσεται καὶ μετελεύσεται τὴν γυναῖκα. Ἢν δ’ ὁ κύριος τοῦ γάμου ἐν τῇ καταρχῇ μεσουρανῶν τύχῃ ἐν θηλυκῷ ζῳδίῳ πολύκοινον δείξει τὴν γυναῖκα, εἰ δ’ ἐν ἀρσενικῷ τὸν ἄνδρα. τετράγωνος δὲ ὁ Ζεὺς τῷ γαμικῷ ἀστέρι τυχὼν στάσεως τῆς ἐν τῷ γάμῳ δηλωτικός, κακὴ δὲ καὶ ἡ Σελήνη ἐν ἀρσενικῷ ζῳδίῳ τυχοῦσα. ὡροσκοπῶν δὲ ὁ τοῦ γάμου κύριος ἐπίμεμπτον τὸν γάμον δηλοῖ, καὶ μάλιστα ὁ Ζεὺς ἐν θηλυκῷ ζῳδίῳ· ἄπροικον γὰρ τὴν γυναῖκα ἢ ψευδοπλουσίαν ἢ ὑπόδικον σημαίνει, ἐν δὲ ἀρσενικῷ τὸν ἄνδρα τοιοῦτον. Ἐπεὶ δὲ προείρηται ὅτι ὁ μὲν ὡροσκόπος ἐστὶν ὁ γαμῶν, τὸ δὲ δῦνον ἡ γαμουμένη, μεσουράνημα ἡ ἀμφοτέρων ὁμόνοια καὶ παραμονή, τὸ δ’ ὑπόγειον ἡ προὶξ καὶ τὸ τοῦ γάμου ἀποτέλεσμα, δῆλον ὅτι τοῦ Κρόνου μὲν ὡροσκοποῦντος ὁ γαμῶν ἔσται πρεσβύτης καὶ ῥυπαρός, τοῦ Ἄρεως δὲ νεώτερος καὶ ὀργίλος, τοῦ Διὸς δὲ πλούσιος καὶ ἀγαθὸς καὶ μέσης ἡλικίας, τῆς δὲ Ἀφροδίτης ἱλαρός, καθάριος, ἡδύβιος, κατωφερὴς εἰς γυναῖκας, Ἑρμοῦ δὲ εὐπαίδευτος, συνετὸς καὶ ἐρωτικὸς εἰς παῖδας, Ἡλίου δὲ καὶ Σελήνης εὐγενὴς καὶ ἐπίσημος.

293 Κρόνου δὲ μεσουρανοῦντος διάλυσις ἔσται τοῦ γάμου διὰ ῥυπαρίαν καὶ σμικρολογίαν, Ἄρεως δὲ δι’ ἀκαταστασίαν καὶ ζηλοτυπίαν (ἐπὰν δὲ καὶ ὁ τῆς Ἀφροδίτης αὐτοῖς συνῇ ἢ μαρτυρῇ διὰ μοιχείαν, ἐὰν δὲ Ἑρμῆς διὰ παιδὸς ἔρωτα), Διὸς δὲ καὶ Ἀφροδίτης ὁμόνοια αὐτοῖς ἔσται καὶ τεκνοποιία, Ἡλίου δὲ καὶ Σελήνης ἐπισήμους αὐτοὺς ἔσεσθαι. ἐπὶ δὲ τοῦ δύνοντος τυχόντες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅμοια ἀποδεικνύουσι περὶ τὴν γυναῖκα οἷς εἰρήκαμεν περὶ τοῦ ἀνδρὸς ἐν τῷ ὡροσκόπῳ. ἢν δ' ὁ Ἄρης ἢ ὁ Κρόνος ἢ ἀμφότεροι ἐν τῷ ὑπὸ γῆν εὑρεθῶσιν ἰδίων ἀποβολὴν καὶ τέκνων καὶ τῆς προικὸς καὶ προτελευτὴν τοῦ ἀνδρὸς σημαίνουσιν, ἢν δὲ Ζεὺς καὶ Ἀφροδίτη ὑπόγειοι ὦσι πολὺν χρόνον σὺν ἀλλήλοις καὶ τέκνα ἔσεσθαι, καὶ ἐὰν μὲν ἐν ἀρσενικῷ ζῳδίῳ ὁ ἀνὴρ ἐπιζήσεται, ἐὰν δὲ ἐν θηλυκῷ ἡ γυνή, ὁ δὲ Ἑρμῆς καθὼς ἂν τὴν τῶν ἄλλων μαρτυρίαν δέξηται ἕκαστα ἐμφαίνει. Καὶ ἐν τῇ καταρχῇ τοῦ Ἡλίου μὲν κεκακωμένου, τῆς δὲ Ἀφροδίτης ὑπὸ ἀγαθοποιῶν μαρτυρουμένης, ἄρχειν τὴν γυναῖκα τοῦ ἀνδρὸς ὑπονοητέον, ἔμπαλιν δὲ τυχόντων ἔμπαλιν ἔσται. τῆς δὲ Σελήνης κεκακωμένης ἀμφοτέροις ἀσύμφορον καὶ τῇ προικί. ἐν τῷ ὡροσκόπῳ καὶ τῷ μεσουρανήματι ἀγαθοποιοὶ παρόντες ἢ μαρτυροῦντες σημαίνουσι τεκνοποιίαν ἐπὶ συμφέροντι, κακοποιοὶ δὲ ἀποβολήν. τοῦ δὲ κυρίου τοῦ κλήρου τῆς τύχης κεκακωμένου ὄντος φυλάσσεσθαι γυναῖκα ἀγαγέσθαι. χαλεπὸς δὲ καὶ ὁ κατὰ γένεσιν ἔχων οὕτως γαμικὸς ἀστήρ. κενοδρομοῦσα δὲ ἡ Σελήνη πολυκοίνους μηνύει τὰς γυναῖκας, ἀγαθὴ δὲ ὑπόγειος οὖσα ἐν θηλυκῷ ζῳδίῳ τοῦ Ἡλίου ὄντος ἐν ἀρρενικῷ· ὑποτεταγμένην γὰρ αὐτὴν ποιεῖ.

294 〈πδʹ〉 Περὶ συνελεύσεως τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα Μέλλων δὲ συγγίνεσθαι τῇ γυναικὶ ὁ γαμῶν ἔστω μὲν ἱλαρὸς καὶ ἄλυπος μήτε ἄγαν βεβαρημένος τροφῇ καὶ μέθῃ. φυλασσέσθω δὲ τὸν Ἥλιον καὶ τὴν Σελήνην καὶ τὸν κλῆρον τῆς τύχης μὴ εἶεν ἐν τῷ ηʹ τόπῳ ἢ ἐν τῷ βʹ τῷ τούτου διαμέτρῳ, ἐπιτηρείτω δὲ καὶ τὸν τοῦ ὡροσκόπου κύριον ἀκάκωτον εἶναι. ὁ δὲ κλῆρος ἔστω ἐν τῷ περὶ φιλίας ἢ ἐν τῷ περὶ τέκνων ἢ ἐν τῷ μεσουρανήματι ἢ ἐν τῷ θεῷ, ἔστω δὲ καὶ ἡ Σελήνη ἀκάκωτος καὶ σύμφωνος τῷ ὡροσκόπῳ. ὁ δὲ Ἑρμῆς ἐπ' ἀνατολῆς τυγχάνων ὑπὸ Διὸς καὶ Ἀφροδίτης μαρτυρούμενος ἐν τῷ ὡροσκόπῳ τῆς καταβολῆς τοῦ σπέρματος ποιήσει τὰ τικτόμενα εὐτυχῆ καὶ εὐπαίδευτα καὶ εὐδαίμονα. λέγουσι δ' οἱ περὶ Πετόσιριν ὅτι ἐν ᾧ ζῳδίῳ εὑρίσκεται ἡ Σελήνη ἐν τῇ σπορᾷ τοῦτο ὡροσκοπήσει ἐν τῇ ἐκτέξει, ὅπου δὲ ἐν τῇ ἐκτέξει παροδεύει τοῦτο ὡροσκοπεῖ ἐν τῇ σπορᾷ. καὶ περὶ μὲν γάμου καὶ τῶν περὶ αὐτὸν τοσαῦτα εἰρήσθω. 〈πεʹ〉 Περὶ χωρισμῶν Τοὺς δὲ χωρισμοὺς αὐτῶν καὶ ἐπανελεύσεις ἐπιβλέπειν δεῖ οὕτως. ὅρα τὴν καταρχὴν ἐν ᾗ γεγένηται ὁ χωρισμὸς ἢ καὶ τὴν ὥραν ἐν ᾗ πύθοιτο ἄν τίς σου περὶ τούτου καὶ σκέπτου τὴν Ἀφροδίτην καὶ τὸν Ἥλιον, καὶ ἐὰν εὕρῃς τὸν μὲν Ἥλιον ἐν τῷ μεσουρανήματι ἢ ἐν τῷ ιαʹ, τὴν δὲ Ἀφροδίτην ἑσπερίαν ἀναποδίζουσαν, λέγε τὴν γυναῖκα ἐπανελεύσεσθαι πρὸς τὸν ἄνδρα θυμήρως.

295 ἐὰν δὲ γυνὴ ἐκβληθῇ ὑπὸ τοῦ ἰδίου ἀνδρὸς αὐξιφωτούσης μὲν τῆς Σελήνης δυσκόλως πάλιν αὐτὴν ἐπανακαλέσεται, ληξιφωτούσης δὲ εὐκόλως, καὶ ἐπ' αὐτῆς δὲ τῆς συνόδου ἔτι δυσχερέστατα. ἐὰν δὲ ἐν ὅσῳ ἡ Σελήνη τὸν ἴδιον κύκλον ἀπαρτίζει ὁ Ἥλιος μεταβῇ εἰς ἕτερον ζῴδιον θηλυκὸν Ἀφροδίτης σὺν αὐτῷ οὔσης, διαλυθέντος τοῦ γάμου ὁ ἀνὴρ ἑτέραν γαμήσει. ἐπιτηρητέον δὲ καὶ τὸν ὡροσκόπον καὶ τὴν Σελήνην· τυχόντες γὰρ οὗτοι ἐπὶ στερεῶν ζῳδίων βέβαια καὶ ἀμετάτρεπτα τὰ τοῦ χωρισμοῦ ποιοῦσιν, ἐπὶ δὲ τροπικῶν τρεπτὰ καὶ ἀβέβαια, ἐπὶ δὲ δισώμων ἀμφισβητήσιμα. 〈πςʹ〉 Περὶ τῶν ἐκτιτρωσκομένων ἐμβρύων Ἐπὰν δὲ κατὰ γαστρὸς αἱ γυναῖκες ἔχουσαι βούλοιντο ἐκτιτρώσκειν τὰ ἔμβρυα, αὐταὶ δὲ μὴ βλάπτεσθαι, ἁρμόζει τοῦτο ποιεῖν τῆς Σελήνης οὔσης ἐν τοῖς ὀρθοῖς ζῳδίοις καὶ ληξιφωτούσης καὶ νότον κατιούσης, μαρτυρουμένης τετραγωνικῶς τε καὶ τριγωνικῶς ὑπὸ Ἀφροδίτης καὶ Ἄρεως ἢ συνόντων αὐτῇ καὶ ἐν θηλυκοῖς ζῳδίοις ὄντων. ὅσα δὲ δεῖ ἐν τούτοις παρατηρεῖν τὴν Σελήνην τοσαῦτα καὶ τὸν ὡροσκόπον δεῖ ἔχειν κατά τε τὰ ὀρθὰ ζῴδια καὶ τὰς μαρτυρίας Ἄρεως καὶ Ἀφροδίτης. 〈πζʹ〉 Περὶ τῶν ἐκτιτρωσκουσῶν γυναικῶν Ἐπικινδύνως δὲ ἐκτιτρώσκουσιν αἱ γυναῖκες ἐν μὲν Κριῷ ἀπὸ αʹ μοίρας ἕως ιαʹ, ἐν δὲ Ταύρῳ, ἐν Διδύμοις ἐν πάσαις, ἐν δὲ Καρκίνῳ ἀπὸ αʹ μοίρας ἕως ιεʹ, ἐν δὲ Λέοντι ἀπὸ αʹ μοίρας ἕως ιαʹ, ἐν Παρθένῳ δὲ κατὰ πάσας, ἐν δὲ

Ζυγῷ ἀπὸ ιβʹ ἕως λʹ καὶ ἐν Σκορπίῳ ὡσαύτως ἀπὸ ιβʹ ἕως τέλους, ἐν Τοξότῃ ἀπὸ αʹ ἕως ιαʹ, ἐν Αἰγοκέρωτι ἀπὸ αʹ ἕως ιεʹ, ἐν Ὑδροχόῳ ἀπὸ κʹ ἕως λʹ, ἐν Ἰχθύσιν .

296 … … ἐν ταύταις ταῖς μοίραις πάσαις οὔσης τῆς Σελήνης ἢ τοῦ ὡροσκόπου, καὶ μάλιστα τοῦ Κρόνου συσχηματιζομένου, ἐπικίνδυνον ἔσται τῇ γυναικὶ τὸ ἐκτιτρώσκειν, ἐν δὲ ταῖς λοιπαῖς μοίραις εὔκολον καὶ ἀκίνδυνον. 〈πηʹ〉 Περὶ εὐτοκίας καὶ δυστοκίας Ὁ Ἥλιος, ὁ ὡροσκόπος καὶ ἡ Σελήνη ἐν ἀρσενικοῖς ὄντες ζῳδίοις ἐν τῷ καιρῷ τοῦ τόκου εὐτοκίαν παρέχουσιν ἀρσενικῶν ὄντων τῶν κυοφορουμένων· ῥᾳδία γὰρ ἡ ἀπότεξις τούτων. καὶ θηλυκῶν δὲ ὄντων τῶν κυοφορουμένων εἴπερ ἐν θηλυκοῖς ζῳδίοις τύχοιεν ὅ τε Ἥλιος καὶ ὁ ὡροσκόπος, ἀλλὰ δὴ καὶ ἡ Σελήνη, εὔδρομος καὶ ἀβλαβὴς προβαίνει ὁ τόκος ὁμοίως. ἔμπαλιν δ' αὖ σκολιὸς καὶ ἀνάρμοστος προβαίνει ὁ τόκος τοῦ Κρόνου ἐγκέντρου τυχόντος, καὶ μάλιστα εἰ καὶ ὁ τόπος ἐν ᾧ πάρεστι θηλυκὸν περιέχει ζῴδιον· κίνδυνον γὰρ ἐπάγει ταῖς τικτούσαις. ὁμοίως δὲ καὶ ὁ Ἄρης ἐπίκεντρος ὤν, καὶ μάλιστα εἰ τὸ ζῴδιον ὃ ἐπέχει θηλυκὸν ὑπάρχει, ῥᾳδίαν τὴν ἀπότεξιν παρέχει, ὡς καὶ ἐν ὁδοῖς ἢ λουτροῖς ἐξαίφνης τὴν ἐγκυμονοῦσαν τίκτειν. δεῖ δὲ παρατηρεῖν καὶ τὰ ζῴδια εἴτε ὀρθά εἰσιν εἴτε πλάγια· καὶ ὀρθὰ μέν εἰσι τὰ ἀπὸ Καρκίνου ἄχρι Τοξότου, πλάγια δὲ τὰ ἀπὸ Αἰγοκέρωτος ἄχρι Διδύμων. καὶ ἐν μὲν ὀρθοῖς ζῳδίοις τυχούσης τῆς Σελήνης ῥᾴδιος ὁ τόκος γίνεται τοῦ ἐμβρύου ὀρθίαν τὴν ἔξοδον ποιοῦντος, ἐν δὲ πλαγίοις δύσκολος πλαγίας τῆς ἐξόδου γινομένης. Καὶ ὁ Μανέθων δέ φησιν· Σελήνη ἐμπερισχεθεῖσα ὑπὸ Κρόνου καὶ Ἄρεως ἀργαλέα ἐστὶ ταῖς τικτούσαις, καὶ μάλιστα εἰ ἐν πλαγίοις ζῳδίοις καὶ οὗτοι οἱ ἀστέρες, ὅ τε Κρόνος καὶ ὁ Ἄρης, τύχοιεν, ἡ δὲ Σελήνη ἐπίκεντρος εἴη, ὁμοίως δὲ καὶ εἴπερ καὶ οὗτοι ἐπίκεντροι εἶεν.

297 〈πθʹ〉 Περὶ γεωργίας Περὶ δὲ γεωργίας ἁρμόζει τῆς Σελήνης οὔσης καθ' ἑαυτὴν ἐν μὲν Κριῷ γεωργεῖν καὶ θρέμματα καθιστάναι καὶ φυτεύειν καὶ σπείρειν καὶ τόπους ἀγρίους ἐξημεροῦν, ἐν δὲ Ταύρῳ σπείρειν, φυτεύειν καὶ ἀργὴν γῆν γεωργεῖν, μισθοῦσθαι δὲ χώραν ἀσύμφορον, ἐν δὲ Διδύμοις γεωργεῖν καὶ φυτεύειν καὶ ἀργὴν γῆν ἐργάζεσθαι καὶ καρπῶν συγκομιδὰς ποιεῖσθαι, ἐν δὲ Καρκίνῳ γεωργεῖν, κηπεύειν καὶ χέρσον ἡμεροῦν, ἐν δὲ Λέοντι πυροὺς καὶ κριθὰς ἀποτίθεσθαι καὶ γεωργεῖν, ἐν δὲ Παρθένῳ φυτεύειν πάντα πλὴν ἀμπέλου καὶ σπείρειν δὲ πάνυ ἐπίφορον, ἐν δὲ Ζυγῷ φυτεύειν καὶ γεωργεῖν, ἐν δὲ Σκορπίῳ ἀμπέλους μόνους φυτεύειν, ἐκ μέρους δὲ καὶ γεωργεῖν, ἐν δὲ Τοξότῃ ἱπποφορβεῖν τε καὶ θρέμματα καθιστᾶν καὶ βουκόλια, ἐν δὲ Αἰγοκέρωτι ὁμοίως τὰ αὐτὰ ποιεῖν, καὶ μάλιστα θρέμματα καθιστᾶν, ἐν δὲ Ὑδροχόῳ ἀκρόδρυα φυτεύειν καὶ γῆν γεωργεῖν, ἐν δὲ Ἰχθύσι γεωργεῖν καὶ τὴν ἀρχὴν νεοῦν. συνούσης οὖν τῆς Σελήνης τοῖς ἀγαθοποιοῖς ἢ μαρτυρουμένης καὶ ἐν τοῖς ἁρμόζουσι ζῳδίοις κάλλιστον ταῦτα ποιεῖν, καὶ μάλιστα ἐν τοῖς ἀπογείοις αὐτῆς οὔσης. 〈ϙʹ〉 Περὶ φρεάτων ὀρυγῆς καὶ λάκκων Ὀρύττων δὲ λάκκους ἢ καὶ εἰσαγωγὰς ὑδάτων ποιούμενος ἐπιτήρει τὸν κλῆρον τῆς τύχης καὶ τὸν κύριον αὐτοῦ εἰ ἐκπίπτουσιν εἰς ζῴδιον ὑδατῶδες, ἅμα δὲ καὶ εἰ ἐπίκεντροί εἰσιν.

298 τοῦ τε βʹ τόπου καὶ τοῦ ηʹ τοὺς οἰκοδεσπότας ἐπαναφέρεσθαι τῷ τε ὑπὲρ γῆν μεσουρανήματι καὶ τῷ ὑπὸ γῆν, καὶ ἀποκλινόντων δὲ οὐ φαῦλον, καὶ μάλιστα ὅταν πόρρωθεν ᾖ τὰ ὕδατα μεταγόμενα ἢ ἀποστρεφόμενα. καὶ τὸν τοῦ κλήρου δὲ κύριον παραφυλάσσειν, καὶ μάλιστα κατὰ τὸ ὑπόγειον, ἐξαιρέτως δὲ μήτε αὐτὸν τὸν κλῆρον μήτε τὸν κύριον αὐτοῦ εἶναι ἐπὶ τῇ δύσει μήτε ἐν τῇ ἐπαναφορᾷ τοῦ ὡροσκόπου· οὕτω γὰρ ἂν ἀσφαλῶς καὶ ἀβλαβῶς διαπραχθείη τὸ ἔργον. 〈ϙαʹ〉 Περὶ ἀγορασίας διαφόρων εἰδῶν Ἐπισκόπει τὴν καταρχὴν οὕτως. τὸν μὲν ὡροσκόπον ἀφοριστέον τῷ πιπράσκοντι, τὸ δὲ δῦνον τῷ ἀγοράζοντι, τὸ μεσουράνημα τῷ τιμήματι, τὸ δὲ ὑπόγειον τῷ ἀγοραζομένῳ, ἐκ δὲ τῶν ἐπιμαρτυρούντων τοῖς τόποις καταστοχαστέον περὶ τοῦ ἀποτελέσματος. ἔστι δὲ καὶ ἄλλως πῆξαι τὸ θεμάτιον περὶ ἀγορασίας· τῇ μὲν Σελήνῃ τὸ πιπρασκόμενον σῶμα ἢ χωρίον ἢ ἕτερόν τι πρᾶγμα, τῷ δὲ ἀστέρι ἀφ' οὗ τὴν

ἀπόρροιαν ποιεῖται τὸν πιπράσκοντα, ᾧ δὲ συνάπτεται τὸν ἀγοράζοντα· καὶ προσέχειν ἕκαστον αὐτῶν, ἐπισκοπητέον δὲ καὶ τὰς μαρτυρίας. Καὶ ἐκ μὲν τῆς Σελήνης ληφθήσεται εἰ σεσίνωται τὸ πιπρασκόμενον ἢ οὔ. καθολικῶς γὰρ τῆς Σελήνης καθ' ἑαυτὴν οὔσης ἐν μὲν Κριῷ ῥεμβός ἐστι καὶ ἀλήμων ὁ πιπρασκόμενος οἰκέτης, ἐν δὲ Ταύρῳ ἰσχυρὸς καὶ ὑπομονητικός, καλοὶ δὲ οἱ οἰκέται εὑρίσκονται ἀγοραζόμενοι ἐν τῷ γʹ δεκανῷ τῶν Διδύμων, ἐν δὲ Καρκίνῳ νωχελεῖς καὶ δολεροί, ἐν δὲ Λέοντι γενναῖοι καὶ ἅρπαγες καὶ ἀδ[δ]ηφάγοι καὶ κακοστόμαχοι, ἐν δὲ Παρθένῳ συνετοί, ἐν δὲ Ζυγῷ φιλεργοὶ καὶ δίκαιοι, ἐν δὲ Σκορπίῳ δολεροὶ τὰ ἤθη καὶ βαρύθυμοι, ὁμοίως δὲ καὶ ἐν Τοξότῃ, ἐν δὲ Αἰγοκέρωτι παλίμβολοι καὶ ψεῦσται, ἐν δὲ Ὑδροχόῳ φιλεργοί, ἐν δὲ Ἰχθύσι κακοὶ καὶ λοίδοροι.

299 Ὁπόταν δὲ ὁ κλῆρος τῆς τύχης ἐμπέσῃ εἰς τὸν περὶ φιλίας τόπον, ὁ δὲ τούτου κύριος ἐν τῷ περὶ οἰκετῶν εὑρεθῇ σὺν τῷ οἰκοδεσποτοῦντι τοῦ ὡροσκόπου, περὶ συνωνῆς οἰκέτου σημαίνουσιν. ἢν δὲ καὶ τῷ κυρίῳ τοῦ γάμου τὴν συναφὴν ποιῆται ἡ Σελήνη ἐφεστώσης ἐπὶ τοῦ γαμικοῦ τῆς Ἀφροδίτης συνελεύσεται καὶ κοινωνήσει φιλίας τῷ ἀγορασθέντι ἢ τῇ ἠγορασμένῃ ὁ ἀγοράσας, τυχόντος δὲ τοῦ Ἑρμοῦ ἐν τῷ κλήρῳ εὐπαίδευτος ἔσται ὁ οἰκέτης. ἀεὶ δὲ ἐφορᾶν χρὴ τὸν Ἑρμῆν εἰ ἀκάκωτος εἴη μηδὲ ὕπαυγος ἐν ταῖς τῶν οἰκετῶν ἀγορασίαις. Ἐπὶ δὲ συνωνῆς χωρίου ἔστω τὸ μὲν ὑπόγειον ἡ γῆ (τουτέστι τὸ ἀγοραζόμενον χωρίον), ὅπερ εἰ τύχοι ἐν ἐνύδρῳ ζῳδίῳ κάθυγρον εἶναι ἢ παρὰ ποταμὸν καὶ θάλασσαν ἢ λίμνην τὸ χωρίον σημαίνει, ἐὰν δ' ἐν ἀμφιβίῳ ἐπίμικτον ἢ διπλοῦν ἔκ τε ὀρεινῶν καὶ πεδινῶν συνεστώς, τὸ δὲ δῦνον τὰ βοσκήματα καὶ τὴν ἐνθήκην τοῦ κτήματος, τὸ δὲ μεσουράνημα τὰ δένδρα καὶ τὰ φυτὰ ἢ τὰς ἐπαύλεις, ὁ δὲ ὡροσκόπος τὴν οἰκίαν καὶ τὰ ἐν τῷ οἴκῳ καὶ τοὺς ἐργαζομένους· τούτων οὖν ἕκαστον ἀκάκωτον ἢ κεκακωμένον εὑρεθὲν τὸ οἰκεῖον μέρος μηνύει τοιοῦτον ἔσεσθαι. τὸ δὲ διάστημα τοῦ ἀγροῦ μηνύει ἡ ἀναφορὰ τοῦ ὡροσκόπου· τοσαῦτα γὰρ στάδια ἢ σημεῖα μηνύσει ὁ ἀγρὸς ὅσας μοίρας ἀναφορικὰς ἔχει ὁ ὡροσκόπος. Πληθούσης δὲ τῆς Σελήνης καὶ τῷ μήκει καὶ τῷ πλάτει προστιθείσης καὶ ἐν τῷ Ἀναβιβάζοντι ὁ ἀγοράζων πλείονα τιμὴν παρέξει, λειψιφώτου δὲ οὔσης καὶ τοῖς ἀριθμοῖς ἀφαιρούσης καὶ ἐν τῷ Καταβιβάζοντι ὁ ἀγοράζων ἐλάττονα τιμὴν δώσει. Περὶ δὲ ἵππων ἀγορασίας τάδε λογίζου, τὸν μὲν Κριὸν εἶναι κεφαλήν, τὸν δὲ Ζυγὸν τὰ ὀπίσω, τὰ δὲ λοιπὰ ζῴδια τὰ παρ' ἑκάτερα πλευρά· καὶ ὅπου ἂν εὑρεθῇ κακοποιὸς ἐκεῖ τὴν αἰτίαν καὶ τὸ σίνος τοῦ ἵππου λογιστέον.

300 Κτηνῶν δὲ τὰ μὲν προδεδαμασμένα ἐν Κριῷ καὶ Ταύρῳ τῆς Σελήνης ἢ τοῦ ὡροσκόπου τυχόντων καλὸν καὶ ἐπωφελὲς ἀγοράσαι, τὰ δὲ δαμασμοῦ καὶ ὑποταγῆς χρῄζοντα ἔν τε Λέοντι καὶ τῇ τελευταίᾳ πεντεκαιδεκαμοιρίᾳ τοῦ Τοξότου τοῦ ὡροσκόπου καὶ τῆς Σελήνης ὄντων. 〈ρβʹ〉 Περὶ ἀγορασίας ἢ ναυπηγίας πλοίου Περὶ δὲ συνωνῆς ἢ ναυπηγίας πλοίου σκεπτόμενόν σε τὴν μὲν πρύμναν τῷ ὡροσκόπῳ λογιστέον, τὸν δὲ ἱστὸν τῷ μεσουρανήματι καὶ τὰ μέσα τοῦ πλοίου, τὴν δὲ πρῷραν τῇ δύσει, τὴν δὲ τρόπιν καὶ τὰ περὶ αὐτὴν τῷ ὑπογείῳ, καθ' ὃ δ' ἂν τῶν τοιούτων εὑρεθεῖεν οἱ κακοποιοὶ τοῦ διαθέματος τιθέντος κατ' ἐκεῖνο τὸ μέρος λογιστέον σινωθήσεσθαι τὸ πλοῖον. ἐπιτηρεῖν δὲ χρὴ τοὺς ἀγαθοποιοὺς ἐν τῷ ὑπογείῳ ἢ μαρτυροῦντας τῷ τόπῳ, ἔστω δὲ καὶ τὸ ὑπόγειον ἐν ζῳδίῳ δυναμένῳ νήχεσθαι (οἷον Ταύρῳ, Διδύμοις, Καρκίνῳ, Παρθένῳ, Τοξότῃ, Ἰχθύσιν) καὶ ἐν ταῖς ἐσχάταις μοίραις τοῦ Αἰγοκέρωτος· ὁ δὲ Ταῦρος κρείττων πάντων τούτων, μετ' αὐτὸν δὲ οἱ Ἰχθύες, εἶτα οἱ Δίδυμοι. τὸν δὲ Ἥλιον λάμβανε τριγωνικῶς σχηματιζόμενον πρὸς τὸν ὡροσκόπον, τὴν δὲ Σελήνην αὔξουσαν τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς προστιθεῖσαν καὶ τῷ πλάτει καὶ μαρτυρουμένην ὑπὸ ἀγαθοποιῶν, φυλάττου δὲ τῶν κακοποιῶν τὰς πρὸς αὐτήν τε καὶ τὸν Ἥλιον παρουσίας ἢ ἀκτινοβολίας. 〈ρθʹ〉 Πότε δεῖ ἄρχοντι καὶ δυνάστῃ συντυχεῖν· Ἡφαιστίωνος Ἁρμόζει δὲ ἄρχοντι συντυχεῖν τῆς Σελήνης οὔσης ἐν Κριῷ καὶ Ταύρῳ καὶ Διδύμοις καὶ Καρκίνῳ καὶ Παρθένῳ καὶ Ζυγῷ (καὶ μάλιστα ὅταν περὶ δικαίου τινὸς πράγματος ἔχῃ ὁμιλῆσαι τῷ ἄρχοντι ἢ χρήματα ἀπαιτῇ) καὶ ἐν Σκορπίῳ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τοξότῃ καὶ Αἰγοκέρωτι οὔσης, τῶν ἀγαθοποιῶν μέντοι ἐπιβλεπόντων αὐτὴν καὶ ποιούντων ἀκάκωτον, παραιτεῖσθαι δὲ τὰ εὐεπιτευκτικὰ οὔσης ἐν Λέοντι, Ὑδροχόῳ καὶ Ἰχθύσιν.

301 (1t) διὰ δὲ τὸ ἀμφίβολον τοῦ Τοξότου ἁρμόζει ἐν Τοξότῃ τὰς συντυχίας ποιεῖσθαι περὶ τῶν εἰς κατηγορίαν ῥεπόντων, χάριτος δὲ ὅσα καὶ αἰτήσεως ἔχεται ἀνεπιτεύκτως ἔχει. Εἰ δ’ εἰδείης καὶ τὰς γενέσεις τούτων οἷς συντυχεῖν θέλεις οὕτω ποίησον· ἔστω τὸ ἀπὸ τοῦ ὡροσκόπου τοῦ σοῦ κατ’ ἐκεῖνον τὸν ἐνιαυτὸν ἐκβληθὲν ζῴδιον ἔνθα ἐστὶν ἡ Σελήνη ἐκείνου ᾧ μέλλεις συντυχεῖν· γενήσεται γὰρ ἐκ τούτου σοι καλλίστη φιλία. ἢ τὸ ζῴδιον ἐκεῖνο τὸ ἐκ τοῦ ὡροσκόπου τοῦ σοῦ ἐκβληθὲν τὸ αὐτὸ ἔστω τῷ ἐκ τοῦ ὡροσκόπου ἐκείνου ἐκβληθέντι, ἢ ἐὰν διάφορα ᾖ ταῦτα τὰ ζῴδια, ἀλλ’ οὖν ἀκουέτωσαν ἀλλήλων ἢ βλεπέτωσαν ἄλληλα. Ὅταν δὲ μέλλῃς κατάρξασθαι φιλίας πρός τινα παρατήρει τὸν Ἥλιον καὶ τὴν Σελήνην τριγώνως ἢ ἑξαγώνως σχηματιζομένους καὶ ὑπὸ Κρόνου καὶ Ἄρεως μὴ βλαπτομένους, ὑπὸ δὲ Διὸς καὶ Ἀφροδίτης μαρτυρουμένους, χείρων δὲ ὁ Ἄρης Ἡλίῳ τετράγωνος ἢ διάμετρος ὢν καὶ μάλιστα ἐν ἡμέρᾳ, ὡσαύτως δὲ Κρόνος Σελήνῃ τετράγωνος ἢ διάμετρος καὶ μάλιστα ἐν νυκτί. Καὶ πρὸς τὰ πρόσωπα δὲ τοὺς ἀστέρας ἐφάρμοζε, τὰ μὲν στρατιωτικὰ τῷ Ἄρει, τὰ δὲ ἡγεμονικὰ καὶ βασιλικὰ τῷ Διί, τὰ δὲ λογικὰ καὶ πεπαιδευμένα τῷ Ἑρμῇ.

302 ⟨ρ′⟩ Περὶ ἐμπράκτων ὡρῶν καὶ ὀνείρων Περὶ δὲ ἐμπράκτων ὡρῶν ἐν παντὶ τῷ ἐγχειριζομένῳ, μάλιστα δὲ μαντικῇ, ἐφορᾶν χρὴ τὸν οἰκοδεσπότην τοῦ θ′ τόπου τοῦ καλουμένου θεοῦ, στοχαζομένους μὴ τύχῃ κακοδαιμονῶν ἢ ἐπιδύνων μήτε ἐναντιοῦται τῇ Σελήνῃ ἢ τῷ οἰκοδεσπότῃ αὐτῆς· τούτων γὰρ τῶν σχημάτων γινομένων ἐναντίαι καὶ ψευδεῖς καὶ φόβου πλήρεις αἱ μαντεῖαι ἔσονται. καὶ τοῖς περὶ κληρονομίας δ’ ὡσαύτως ἢ παρακαταθήκης πυνθανομένοις παραφυλακτέος ὁ οἰκοδεσπότης τοῦ θ′ τόπου μὴ τύχῃ ἐναντιούμενος τῷ κυρίῳ τοῦ κλήρου τῆς τύχης· ἐναντία γὰρ ταύτῃ τῇ πεύσει δηλοῖ οὕτω τυχών. Περὶ δὲ πράξεων καὶ τῶν ἐν ἐλπίδι θεωρουμένων γένοιτ’ ἂν τὸ τέλος ἐπ’ ἀγαθῷ ἐπὰν τοῦ κλήρου τῆς τύχης καταληφθέντος ὁ κύριος αὐτοῦ ἐν ἰδίῳ οἴκῳ εὑρεθῇ καὶ τὰ φῶτα τύχῃ εὐχρημάτιστα. χρηματιστικὰς δὲ ἡμέρας ἐν ὀνείροις οἱ παλαιοὶ Αἰγύπτιοι παρετήρησαν· τὴν α′ ἡμέραν ἀπὸ συνόδου, τῇ δὲ β′ καὶ γ′ οὐκ ἐπιτηδείους (λυπηρὰ γὰρ τὰ θεαθέντα), τὴν δὲ δ′ καὶ ε′ καὶ ς′ ἀποβαίνειν ποιούσας τὰ ὀφθέντα, τὴν δὲ ζ′ ἀποβαίνειν μεθ’ ἡμέρας δ , τὴν δὲ η′ χρονίως, ἐν δὲ τῇ θ′ ἀνεκβάτους εἶναι τοὺς ὀνείρους, ἐν δὲ τῇ ι′ καὶ ια′ εἴσω δ ἡμερῶν, ὁμοίως καὶ ἐν τῇ ιβ′ καὶ ιγ′ μετὰ καὶ τοῦ αἰσίως, ἡ δὲ ιδ′ ἱλαρὰ σημαίνει, ἡ ιε′ ἔμπρακτος μέν, ἐπιβλαβὴς δέ, ἡ δὲ ις′ καὶ ιζ′ καὶ ιη′ καὶ ιθ′ ἐπιτελοῦσι τὰ ὀφθέντα εἴσω ἡμερῶν ι , ἡ δὲ κ′ καὶ κα′ κοιναί, ἡ δὲ κβ′ παραχρῆμα ἐπιτελεῖ τὰ τοῦ ὀνείρου, ἡ δὲ κγ′ ἐν ἡμέραις η , ἡ δὲ κδ′ ἐν ἡμέραις ιβ , ἡ δὲ κε′ ἐν ἡμέραις κδ , ἡ δὲ κς′ ἀτέλεστα, ἡ δὲ κζ′ τὸ τέλος ἐπάξει, ἡ δὲ κη′ καὶ κθ′ ἐν γ ἡμέραις, ἡ δὲ λ′ ἀνέκβατα.

303 ⟨ρβ′⟩ Περὶ αἰτήσεως χάριτος Τοὺς δὲ αἰτοῦντας χάριτας ἐπιτηρεῖν δεῖ τὴν Σελήνην οὖσαν ἐν τῷ ὡροσκόπῳ ἢ ἐν τῷ τούτου τριγώνῳ, ἄμεινον δ’ ὅταν ᾖ ἐν τῷ κατὰ διάμετρον αὐτοῦ προστιθεῖσα τοῖς τε φωσὶ καὶ τοῖς ἀριθμοῖς καὶ σχηματιζομένη Διί, Ἀφροδίτῃ, Ἑρμῇ καὶ αὐτοῖς καλῶς κειμένοις, ἀπέστω δὲ ἡ τῶν κακοποιῶν μαρτυρία. καλὸν δ’ ἐπὶ τοῦ αὐτοῦ σχήματος ὄντων τῶν ἀστέρων τὰς ἐντεύξεις ποιεῖσθαι τοὺς ἄνδρας πρὸς τὰς γυναῖκας. Καὶ ἡ Σελήνη δὲ διαμετροῦσα τὸ τοῦ ὡροσκόπου ζῴδιον τοῦ κατὰ τὴν γένεσιν. Καὶ ὁμοίως ἐάν τινος γένεσιν θεάσῃ καὶ βούλῃ αἰτήσασθαι παρ’ ἐκείνου χάριν σκεψάμενος τὴν Σελήνην αὐτοῦ ἀνταποκαταστατικὴν οὖσαν (τουτέστιν ἑαυτὴν διαμετρήσασαν) αἴτησαι τὴν χάριν, καὶ οὐ μὴ ἀστοχήσῃς τῆς αἰτήσεως. ⟨ργ′⟩ Περὶ αἱρέσεως καὶ συνθηκῶν Εἴ τις χρῄζων προσενέγκοι σοι αἵρεσιν περὶ οἱουδήτινος πράγματος ἐκεῖνον μὲν ἀπὸ τοῦ ὡροσκόπου σκέπτου, σαυτὸν δὲ ἀπὸ τοῦ δύνοντος, τὴν δὲ πρᾶξιν ἐκ τοῦ μεσουρανήματος, τὸ δὲ τέλος ἐκ τοῦ ὑπογείου. ἐπισκόπει δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τὰ ἀνατέλλοντα ζῴδια εἰ ὀρθὰ εἴη ἢ πλάγια, καὶ ἐκ τούτων νοήσεις τοῦ προσιόντος τὸν νοῦν.

304 ἀγαθοποιοῦ μὲν γὰρ ὄντος ἐπὶ τοῦ ὡροσκόπου ἢ μαρτυροῦντος μὴ φοβηθῇς δόλον ἐκ τοῦ προσιόντος, κακοποιοῦ δὲ ὄντος τοὐναντίον. ὡσαύτως καὶ εἰ τύχοι κακοποιὸς ἐν τῷ μεσουρανήματι τὸ πρᾶγμα οὐ καλὸν περὶ οὗ τὴν αἵρεσιν προσφέρει· προξενήσει γὰρ ἀηδίαν. ὁμοίως ἀπαναίνου καὶ κακοποιοῦ ὄντος ἐν τῷ δύνοντι ἢ τῷ ὑπογείῳ. ἐπισκέπτου δὲ καὶ τὴν Σελήνην πῶς κεῖται ἵνα ἐκ πάντων τὸ ἀληθὲς προμάθῃς. 〈ρδʹ〉 Περὶ ἐπιστολῶν Πέμπων ἐπιστολὰς ἐπιτήρει τὴν Σελήνην εἰ σύνεστι τῷ Ἑρμῇ ἢ ἐφορᾷ αὐτὸν ἄνευ τῆς τῶν κακοποιῶν μαρτυρίας, ἔστω δὲ καὶ ὁ Ἑρμῆς ἐλεύθερος ἀπὸ τῶν αὐγῶν τοῦ Ἡλίου καὶ μὴ ἀναποδίζων ἢ στηρίζων· οὕτω γὰρ ἐὰν ἐπιστείλῃς οὐκ ἀποτεύξῃ τοῦ σκοποῦ. ἐπιστολῆς δὲ λεγομένης ἐνεχθῆναι γνωσόμεθα ψευδῆ εἶναι τοῦ Τοξότου ὡροσκοποῦντος ἢ Αἰγοκέρωτος ἢ Διδύμων ἢ Ταύρου ἢ Ζυγοῦ καὶ ὑπό τινων φαύλων πλασθῆναι ἢ οἰκετῶν ἢ χάριν τινὸς οὐδαμινοῦ πράγματος κεκομίσθαι. δεῖ δὲ καὶ τὴν Σελήνην παραφυλάσσειν ἐν τούτοις τοῖς ζῳδίοις καὶ τοὺς φθοροποιούς· ἀπάτης γὰρ αἴτιοι γίνονται συσχηματιζόμενοι τούτοις. ἐὰν δὲ ἐν Κριῷ καὶ Καρκίνῳ καὶ Λέοντι καὶ Παρθένῳ καὶ Σκορπίῳ καὶ Ὑδροχόῳ κομισθῇ ἀληθὴς καὶ βεβαία ἔσται, καὶ μάλιστα ἐφορώντων τῶν ἀγαθοποιῶν. καὶ περὶ φήμης δὲ καὶ ἀγγελίας ὁμοίως σκέπτου. 〈ρεʹ〉 Περὶ δανείων Ἀκολούθως τοῖς προκειμένοις ὁ μὲν ὡροσκόπος ἔσται ὁ δανείζων, ὁ δὲ δανειζόμενος τὸ δῦνον, τὸ δὲ μεσουράνημα τὸ διδόμενον ἀργύριον, τὸ δ’ ὑπὸ γῆν μηνύσει τὴν ἔκβασιν τοῦ χρέους.

305 (1t) καὶ ἡ Σελήνη δὲ ἀπορρέουσα ληφθήσεται εἰς πρόσωπον τοῦ δανείζοντος, συνάπτουσα δὲ τοῦ δανειζομένου, ἐκ δὲ τῶν ὠφελούντων ἢ βλαπτόντων ἀστέρων αἱ προσαγορεύσεις ἀκολούθως ἔσονται. τινὲς δ’ ἐπισκοποῦσι τὸν Ἥλιον καὶ τὴν Σελήνην, τὴν μὲν Σελήνην εἰς τὸν δανείζοντα, τὸν δὲ Ἥλιον εἰς τὸν δανειζόμενον ὅταν ἡ Σελήνη αὐξίφωτος ᾖ, ὅταν δὲ ληξίφωτος ἔμπαλιν ὁ μὲν Ἥλιος εἰς τὸν δανείζοντα ἐκλαμβάνεται, ἡ δὲ Σελήνη εἰς τὸν δανειζόμενον. Κακὴ δὲ ἡ Σελήνη ἐν τοῖς συνδέσμοις ἢ ἐν τῷ νοτίῳ περικαμπίῳ. φυλαττέσθω δὲ ὁ δανείζων τὴν τοῦ Ἑρμοῦ μετὰ τοῦ Κρόνου στάσιν, καὶ ἔτι τὴν Σελήνην ἐν ἀρχῇ τοῦ Λέοντος καὶ τῶν Διδύμων καὶ τοῦ Τοξότου, καὶ ὅτε αἱ τούτων τῶν ζῳδίων ἀρχαὶ ὡροσκοποῦσιν. ἐὰν δὲ δανείσασθαι θέλῃς ἔστω ἡ Σελήνη ἐν Ὑδροχόῳ καὶ Σκορπίῳ καὶ Λέοντι καὶ Ἰχθύσι καὶ Τοξότῃ πλὴν λειψιφωτοῦσα καὶ τοῖς ἀριθμοῖς ἀφαιροῦσα, ἡ δὲ Ἀφροδίτη καὶ ὁ Ζεὺς καὶ ὁ Ἑρμῆς ἐπιμαρτυρείτωσαν τῇ Σελήνῃ ἢ τῷ ὡροσκόπῳ. 〈ρϛʹ〉 Περὶ ἐγγύης Εἰ δὲ βουληθείης μὴ ἐγγυήσασθαί τινα δυσωποῦντά σε ἐπιτήρει τὴν Σελήνην μετὰ Κρόνου ἢ καὶ Ἄρεως ἢ καὶ τούτων τῶν ἀστέρων ὡροσκοπούντων καὶ τότε σύντυχε τῷ δυσωποῦντί σε· τότε γὰρ ἀσυντέλεστα ἔσται τούτου τὰ τῆς ἐγγύης. κατὰ τὰ αὐτὰ δὲ σχήματα καὶ τοῦ θέλοντος δανείσασθαι παρά σου τὴν ὄχλησιν ἐκφεύξῃ. 〈ρζʹ〉 Περὶ ἀποδημίας Ὁ μέλλων ἀποδημεῖν ἐκ τοῦ ὡροσκόπου κριθήσεται, ὁ δὲ τόπος ἔνθα μέλλει ἀπέρχεσθαι ἐκ τοῦ δύνοντος, ἡ δὲ πρᾶξις ἐκ τοῦ μεσουρανήματος, τὸ δὲ συμπέρασμα τῆς ἀποδημίας ἐκ τοῦ ὑπογείου.

306 (1t) ἐπιζήτει οὖν τοὺς ἀγαθοποιοὺς τῶν ἀστέρων ποίαν στάσιν ἔχουσι καὶ πῶς σχηματίζονται· καθόλου τοιγαροῦν ἀγαθόν ἐστιν ἀποδημεῖν μήτε τινὸς τῶν ἀστέρων στηρίζοντος μηδὲ συσχηματιζομένου τῇ Σελήνῃ, συμφορώτατον δὲ ἀποδημεῖν τῆς Σελήνης αὐξιφωτούσης καὶ προστιθείσης τοῖς ἀριθμοῖς κατά τε μῆκος καὶ πλάτος. Παραφυλάσσειν δὲ χρὴ τὰ κέντρα. καὶ ἐν μὲν τῷ ὡροσκόπῳ ἀγαθοποιῶν ἀστέρων ὄντων ἢ καὶ μαρτυρούντων αὐτῶν ἥδιστα τὰ τῆς ὁδοῦ ἢ τοῦ πλοῦ ἔσται, συνόντος δὲ τοῦ Ἑρμοῦ αὐτοῖς καὶ ἐπὶ ἑῴας ἀνατολῆς ταχέως καὶ εὐθύμως πράξει τις ὑπὲρ ὧν τὴν ἀποδημίαν ποιεῖται. καθόλου γὰρ ἐπὶ ἀποδημίας τὸν Ἑρμῆν σκοπεῖν δεῖ μὴ ἀφαιρῇ ἢ ὕπαυγος ᾖ ἢ ὑπὸ κακοποιῶν βλάπτηται καθ’ οἱονδήποτε σχῆμα, καὶ ὅτε δέ τις μέλλει εἰς πλοῖον εἰσιέναι ἢ δι’ ὁδοῦ πορεύεσθαι τὸν Ἑρμῆν δεῖ παρατηρεῖσθαι, καὶ ὡσαύτως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅτε μέλλει ἐπανάγεσθαι ἢ ὁδοιπορῶν ἢ διὰ πλοίου. ἐν δὲ τῷ δυτικῷ τυχόντος τοῦ Ἑρμοῦ καὶ μαρτυρουμένου ὑπὸ Διὸς ἢ Ἀφροδίτης βελτίω καὶ ἐπικερδῆ τὰ τῆς ἀποδημίας ἔσται καὶ ἀξιόλογα, Ἄρεως δὲ καὶ Κρόνου ἐπὶ τοῦ δύνοντος ὄντων ἢ μαρτυρούντων αὐτῷ ἀσθένειαι σωματικαὶ καὶ ἐμποδισμοὶ καὶ ζημίαι γενήσονται ἐν τῇ ἀποδημίᾳ. Ἐκ δὲ τῶν θεωρούντων ἀστέρων τὸ μεσουράνημα ἢ ἐπόντων αὐτῷ τὸ πρᾶγμα οὗ χάριν ἡ ἐκδημία γίνεται γνωρισθήσεται, τὸ δὲ τέλος ἐκ τοῦ ὑπογείου, τὸ κῦρος δὲ πάντων ἐκ τῶν συσχηματισμῶν, μάλιστα τῆς Σελήνης, τελειοῦται, ἣν ἀπαγορευτέον πρὸς τὰς ἐξόδους κακοδαιμονοῦσαν ἢ κακοτυχοῦσαν· οὐ μόνον γὰρ δυσπραξίας αἰτία, ἀλλὰ καὶ π 〈η〉 μάτων ὑπουργός.

307 οἱ οὖν ἀγαθοποιοὶ ὡροσκοποῦντες ἐν πᾶσι τὴν καταρχὴν καλὴν ποιοῦσιν, οἱ δὲ ἀγαθοποιοὶ ἐν τῷ δύνοντι ὄντες ἐν ταῖς ἀποδημίαις ἐπικερδῆ καὶ ἐπίδοξον τὴν ἀποδημίαν μαντεύονται εἶναι. σκοπεῖν δὲ δεῖ καὶ τὸν κύριον τῆς Σελήνης καὶ τὸν κύριον τοῦ ὡροσκόπου ἵνα μὴ κακὰς φάσεις ποιῶνται, τουτέστι στηριγμοὺς ἢ ἀναποδισμοὺς ἢ δύσεις· στηρίζοντες γὰρ χρόνου πολλοῦ καὶ βραδυτῆτος αἴτιοι γίνονται, οἱ δὲ ὕπαυγοι ἀμαυρὰς τὰς πράξεις ποιοῦσιν. ἐκ καθολικῆς δὲ παρατηρήσεως κατείληπται ἡ Σελήνη ἐν τῷ δυτικῷ κέντρῳ τυχοῦσα ἢ ἐν τῷ ἀποκλίματι αὐτοῦ μακρὰς παρέχειν τὰς ἀποδημίας, τοῖς δ’ ἀπὸ ξένης εἰς τὰ οἰκεῖα ἐπανερχομένοις τὸ αὐτὸ τοῦτο σχῆμα τῆς Σελήνης ταχείας τὰς ἀναστροφὰς δηλοῖ. παραφυλάσσεσθαι δὲ δεῖ καὶ τοὺς κακοποιοὺς τετραγωνίζοντας τὴν Σελήνην ἢ διαμετροῦντας αὐτήν, τῶν δὲ ἀγαθοποιῶν ἀνακραθέντων αὐτοῖς ἀνώμαλον καὶ ἀμφήριστον τὸ τῆς ἀποδημίας δηλοῖ. Ἐπισκοπήσαντα δὲ τὰ κέντρα ἐφορᾶν χρὴ τοὺς μέλλοντας τῶν ἀστέρων ἐκβαίνειν ἀφ’ ὧν εἰσι ζῳδίων· οὕτω γὰρ αἵ τε ἔξοδοι καὶ αἱ ἀποδημίαι γνωσθήσονται, καὶ αἱ ἐπανελεύσεις ἐκ τοῦ ἐπισκοπεῖν πότερον ἐξ ἀλλοτρίου εἰς ἴδιον οἶκον ἢ ὕψωμα μεταβαίνουσιν ἢ ἔμπαλιν· ἐκ τούτου γὰρ καταφανὲς ἔσται τὸ τῆς ὑποστροφῆς καὶ ἐπανελεύσεως. καὶ οἱ μὲν στηριγμοὶ τὰς ἐπιμονὰς δηλοῦσι καὶ βραδυτῆτας ὥσπερ αἱ δύσεις θανάτους ἢ τελείας ἀπραγίας, αἱ δ’ ἀνατολαὶ ταχίστας ποιοῦσι τὰς ἐπιδημίας, δηλαδὴ τῶν τῆς Σελήνης σχηματισμῶν καὶ τῶν κέντρων τῆς καταρχῆς μαρτυρίαν ἐχόντων καὶ λόγον πρὸς τοὺς προειρημένους. Ἐπιτηρητέον δὲ μάλιστα τὴν Σελήνην διαμετροῦσαν τὰ κάθυγρα τῶν ζῳδίων ἢ καὶ ἐποῦσαν καὶ ὑπὸ κακοποιῶν θεωρουμένην κατὰ τὰ κραταιὰ τούτων σχήματα, τουτέστι τὰ τετράγωνα καὶ διάμετρα· χαλεπώταται γὰρ αἱ τοιαῦται καταρχαὶ ταῖς τε ναυσὶ καὶ τοῖς πλέουσιν.

308 ἐπὰν δὲ ἡ Σελήνη μὲν κακωθῇ, τὰ δὲ κάθυγρα τῶν ζῳδίων ὑπὸ τῶν ἀγαθοποιῶν μαρτυρῶνται, ἄφθαρτον μὲν τὸ σκάφος οὐ φθαρήσεται, οἱ πολλοὶ δὲ τῶν ἐμπλεόντων σωθήσονται διαλυθέντος τοῦ σκάφους, καὶ τακτοῖς ἕκαστος ἐπανελεύσεται χρόνοις οἰκείως κατὰ τὴν τῆς ἐπιβάσεως εἰς τὴν ναῦν σύγκρισιν. ἡ μὲν γὰρ ἀναγωγὴ τὰ κατὰ τὴν ναῦν καὶ τὸν πλοῦν σημαίνει, τὰ δὲ καθ’ ἕνα ἕκαστον τῶν ἐμπλεόντων ἡ εἰς τὴν ναῦν ἑκάστου ἐπίβασις τῷ τάχει τῆς μεταπτώσεως τῶν κέντρων ἀλλοιοῦσα τὰ πράγματα· ἐπὶ δὲ τῶν ὁδευόντων ὁμοίως τὰ χερσαῖα καὶ τετράποδα τῶν ζῳδίων ἐπισκοπεῖν χρή. ἐπίμονα δ’ ἔσται πολλῷ μᾶλλον τὰ κακὰ ὁπόταν οἱ κακοποιοὶ ἐν αὐτοῖς στηρίζωσι μετὰ τοῦ καὶ παλινδρομιῶν τινων ἢ νόσων ποιεῖν πειραθῆναι. Κυρίως δὲ τοῖς πλέουσι κοινῶς ὅ τε ὡροσκόπος καὶ ἡ Σελήνη χωρὶς τῶν ε πλανήτων· οὕτω τυχοῦσα σύμφορός ἐστιν. ἐν μὲν γὰρ Διδύμοις συνοίσει (εἰ καὶ βραδέα ἔσται τὰ κατὰ τὸν πλοῦν) καὶ ἐν Καρκίνῳ δὲ καὶ ἐν Αἰγοκέρωτι καὶ ἐν Ὑδροχόῳ καὶ Ἰχθύσιν, ἀσύμφορον δὲ ἐν Κριῷ οὐ μόνον πλοῦ ἀλλὰ καὶ ὁδοιπορίας κατάρχεσθαι (ὁ δὲ Δωρόθεος οὐ δέχεται τοῦτο· διὸ προσεκτέον), παρατηρητέον δὲ καὶ ἐν Ταύρῳ καὶ ἐν Λέοντι τοὺς μὴ ἐκ τῆς ἰδίας ἐκδημοῦντας. μὴ ἔστω δὲ καὶ ἡ Σελήνη ληξίφωτος μηδ’ ἐν συνόδῳ μετὰ Κρόνου ἢ ἐν πανσελήνῳ μετὰ Ἄρεως. Τὰς δὲ πορείας ποιεῖσθαι ἐν Κριῷ σύμφορον αὐτοῖς (ταχέως γὰρ ἡ ὑποστροφὴ γίνεται). συνοίσει δὲ καὶ ἐξ ἀποδημίας εἰς τὰ οἰκεῖα ἐπανιέναι 〈...〉 οἴκοι ἐν Διδύμοις. ἀπὸ δὲ ξένης ἐπανιέναι εἰς τὰ οἰκεῖα συνοίσει κατάρχεσθαι ἐν Καρκίνῳ ὥσπερ καὶ ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Διδύμοις. φυλάττεσθαι δὲ ἐν Λέοντι τὸ ἀποδημεῖν εἴσω τῶν ιε μοιρῶν, ἀπὸ δὲ μοίρας ιεʹ ἕως λʹ ἧττον κακόν.

309 ἐν δὲ Σκορπίῳ τὸ ὁδοιπορεῖν καὶ εἰς τὰ ἴδια ἐπανιέναι σύμφορον. ἀνάρμοστον δ’ ἐν Τοξότῃ (πλάνη γάρ τις ἔσται), ἐπανελθεῖν δὲ εἰς τὰ οἰκεῖα καλόν, ὁμοίως ἐν Αἰγοκέρωτι καὶ ἐν Ὑδροχόῳ. ἐν Παρθένῳ καλὸν εἰς τὰ οἰκεῖα ἐπανιέναι. ἐν δὲ Ζυγῷ μετὰ τὰς πρώτας μοίρας καλόν. ἐν Ἰχθύσι σύμφορον τὸ εἰς πόλεμον ἐξιέναι. χρὴ οὖν ἐπιλεξάμενον τὸ ἁρμόζον ζῴδιον τῇ ἀποδημίᾳ ὁρᾶν εἰ ἐφαρμόζει αὐτῷ ἡ τῶν ἀγαθῶν μαρτυρία πρὸς αὐτό τε καὶ τὰ κέντρα καὶ οὕτω κατάρχεσθαι. Ἐπετήρησαν δὲ μερικῶς τὰ κατὰ τὸν πλοῦν ἢ τὴν ὁδὸν συμβαίνοντα καὶ ἐπέγνωσαν οὕτως· συναγαγόντες γὰρ τὰ σημεῖα τῆς πορείας ἢ τοῦ πλοῦ τὰ στάδια καὶ μερίσαντες εἰς ϛ μερίδας, ὡς ἑκάστῳ τῶν ζῳδίων ἀπὸ τοῦ ἀνατέλλοντος ἄχρι τοῦ δύνοντος ἐπιβάλλειν μερίδα α , ἀπονέμουσι τῷ ὡροσκόπῳ τὴν αʹ ἵνα σημαίνῃ τὸ αʹ ἑκτημόριον τοῦ διαστήματος τῆς ὁδοῦ, τὴν δὲ βʹ μερίδα τῷ κακοδαιμονήματι, καὶ ἑξῆς ἐπὶ τὰ προηγούμενα ἕκαστον ἑκτημόριον ἑκάστῳ τόπῳ διδόασιν, τὴν δὲ τελευταίαν ὁμοίως τῷ δύνοντι δηλοῦντι τὸ κατάλυμα καὶ τὰ τελευταῖα τῆς ὁδοῦ. ἔπειτα τὴν τῶν ἀστέρων κοινωνίαν πρὸς ἕκαστον τόπον ἐπιζητοῦσιν· τῶν μὲν γὰρ ἀγαθοποιῶν μαρτυρούντων ἀγαθὰ καὶ εὐόδωσιν μηνυτέον, τῶν δὲ κακοποιῶν ὁμοίως τοὐναντίον, τῶν στηριγμῶν καὶ ἀναποδισμῶν κατοχὴν καὶ ἐμποδισμοὺς καὶ δυσχερείας ἐν τοῖς τόποις ἐν οἷς ἀναλόγως πρὸς τὰ ἑκτημόρια συμβαίνει τῷ πλῷ ἢ τῇ ὁδοιπορίᾳ τὰ συναντήματα, τοῦ μὲν Ἄρεως ναυαγίου αἰτίου ὑπάρχοντος, καὶ μάλιστα εἰ τὸ μεσουράνημα βλάπτεται ὑπ’ αὐτοῦ. Καὶ ταῦτα μὲν ὁ Νικαεὺς Πρωταγόρας, ὁ δὲ Δωρόθεος περὶ ἀναγωγῆς καὶ πλοῦ οὕτω λέγει. Σελήνη ὑπὸ γῆν οὖσα ἀμαρτύρητος ὑπό τινος τῶν ε πλανωμένων καθ’ αὑτὴν μόνη ὁρωμένη ἐν μὲν Κριῷ οὖσα ἀπὸ μοίρας ιαʹ ἕως τέλους εὔπλοιαν δηλοῖ.

310 ἐν δὲ Ταύρῳ μεγάλους χειμῶνας ποιεῖ τοῖς ἀναχθεῖσιν, ἐὰν δὲ καὶ ὑπὸ κακοποιῶν μαρτυρῆται χεῖρον· εἰς κακὸν γὰρ τέλος καταντῶσιν. Σελήνης ἐν Διδύμοις οὔσης ἀπὸ μοίρας ηʹ ἕως μοίρας λʹ ὁ ἀναχθεὶς χρονίσει μὲν ἐν τῷ πλεῖν, ἐπιχαρῶς δὲ διάξει. Σελήνης ἐν Καρκίνῳ ὁ ἀναχθεὶς γαλήναις μὲν πολλαῖς συσχεθήσεται, ἀλλὰ διασωθήσεται. Σελήνης ἐν Λέοντι ὁ ἀναχθεὶς κινδυνεύσει ἐν τῇ θαλάσσῃ, ἐὰν δὲ καὶ ὑπὸ κακοποιῶν μαρτυρῆται πολλαπλασιασθήσεται τὰ κακά. Σελήνης ἐν Παρθένῳ ὁ ἀναχθεὶς χρονίσει ἐν τῷ πλῷ ὑπὸ δυσπλοίας. Σελήνης ἐν Ζυγῷ μετὰ τὰς πρώτας μοίρας ι ὁ ἀναχθεὶς καὶ εὐπλοήσει καὶ καλῶς εἰς πάντα διάξει. Σελήνης ἐν Σκορπίῳ ὁ ἀναχθεὶς ἀσφαλὴς μὲν ἔσται κατὰ τὸν πλοῦν, τὴν δὲ ψυχὴν ταραχθήσεται. Σελήνης ἐν Τοξότῃ ὁ ἀναχθεὶς δυσπλοήσει διὰ χειμῶνα καὶ φόβοις συμπεσεῖται. Σελήνης ἐν Αἰγοκέρωτι μετὰ μοίρας θ ὁ ἀναχθεὶς εὐπλοήσει μέν, ταραχθήσεται δὲ τὴν ψυχήν. Σελήνης ἐν Ὑδροχόῳ ὁ ἀναχθεὶς βραδυπλοήσει μέν, σωθήσεται δέ. Σελήνης ἐν Ἰχθύσιν ὁ ἀναχθεὶς κινδυνεύσει, καὶ μάλιστα θεωροῦντος Ἄρεως. Τὰ δὲ κατὰ τὴν ναῦν σκέπτου οὕτως. Σελήνη ὑπὲρ γῆν οὖσα μετὰ Κρόνου στηριγμὸν ποιοῦντος τοῖς ἀναγομένοις πολλῶν κακῶν αἰτία γίνεται· ὑπὸ γὰρ χειμώνων δυσπλοήσουσι χαλεπῶς, καὶ ὅσοι τὴν κατὰ γένεσιν εἱμαρμένην ἔλαχον ἐν ὕδασι διαφθαρῆναι καὶ τὰ ἔτη συμπεραίνουσι πνιγήσονται ἐν τῇ θαλάσσῃ. Σελήνης ὑπὲρ γῆν τριγωνιζομένης ὑπὸ τοῦ Κρόνου στηρίζοντος οἱ ἀναχθέντες διὰ χειμῶνας μεγάλους τῶν ἀγωγίμων τινὰ ἀποβαλλόμενοι σωθήσονται μόλις. ἐὰν δὲ τὰ μὲν ἄλλα τὰ αὐτὰ ἔχῃ ἡ Σελήνη, ὁ δὲ Κρόνος μὴ στηρίζῃ, ἐλαφρότερα τὰ κακὰ γίνεται πλὴν καὶ οὕτω δύσπλοια ἔσται, ἐὰν δὲ τῶν ἄλλων οὕτως ἐχόντων ὁ Ἑρμῆς τὴν Σελήνην κακώσῃ μείζονα τὰ κακὰ ἔσται, ἔσθ’ ὅτε δὲ καὶ λῃσταῖς περιπίπτουσιν, ἀγαθοποιὸς δὲ ὁρῶν τὰ τοιαῦτα σχήματα, καὶ μάλιστα δεξιός, ἐπικουφίζει τὰ κακά.

311 Κρόνος ὡροσκοπῶν ἄνευ τῆς Σελήνης τοσαῦτα κακὰ τοῖς ἀναγομένοις ἐπάγει ὁπόσα καὶ ὧν μετὰ Σελήνης εἴρηται ἐπάγειν, ἐὰν δὲ τύχῃ ὁ Κρόνος τοῦ ἀναγομένου ὁ κατὰ πάροδον τῷ κατὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πῆξιν Κρόνῳ ἤτοι συνὼν ἢ τριγωνίζων ἢ τετραγωνίζων ἢ διαμετρῶν τότε χείρω γίνεται τὰ κακά. ὅσα δὲ εἴρηται συμβαίνειν ἀπὸ τοῦ Κρόνου τοῖς ἀναγομένοις κακὰ τοσαῦτα καὶ ἀπὸ Ἄρεως γίνεται, τῆς Σελήνης δηλονότι ὑπὲρ γῆν ὑποκειμένης, καὶ οὐ μόνον ταῦτα ἀλλὰ καὶ μίση καὶ μάχαι καὶ θόρυβοι ἐν τοῖς ἀναγομένοις γίνονται ὥστε καὶ ἕως αἱμαγμοῦ φθάσαι τὴν κάκωσιν. ἐὰν δὲ καὶ ὁ Ἑρμῆς συγκακώσῃ χείρονα γίνονται, ἐὰν δὲ ἀγαθοποιοὶ ὁρῶσιν ἐλαττοῦνται τὰ κακά. Ἐὰν τὴν Σελήνην ὁ Κρόνος καὶ ὁ Ἄρης καὶ ὁ Ἑρμῆς βλάπτωσιν ἤτοι συνοδεύοντες ἀλλήλοις καὶ τῇ Σελήνῃ ἢ ἄλλος ἄλλοθεν ὁρῶν βλάπτῃ κάκιστον σημεῖον τοῖς ἀναγομένοις καὶ ὁ θάνατος αὐτῶν πάντων ἐλεύσεται τῶν πλεόντων, τὸ δὲ αὐτὸ γίνεται καὶ ὅταν ὁ Ἑρμῆς συνοδεύῃ τῷ Ἄρει. Κρόνος καὶ Ἄρης ὁ μὲν Ἥλιον, ὁ δὲ Σελήνην βλάπτων κίνδυνον τοῖς ἀναγομένοις ἐπάγει. Σελήνη ὑπὲρ γῆν τετραγωνιζομένη ὑπὸ Διὸς ἀγαθὸν τοῖς ἀναχθεῖσιν· καὶ γὰρ εὐπλοήσουσι καὶ εὖ πράξουσιν ὅσα ἂν ἐλπίσωσιν. ἐὰν δὲ καὶ ἡ Ἀφροδίτη μετὰ τοῦ Διὸς τὴν Σελήνην ἴδῃ οὕτως ἤτοι ἐκ τοῦ αὐτοῦ ζῳδίου ἢ ἐκ διαφόρου ἔτι βέλτιον. ὁ δὲ Ἑρμῆς τὰς τῶν ἀστέρων δόσεις ἤτοι ἀγαθὰς ἤτοι κακὰς ἐπιτείνει καὶ ἐπαύξει οἷς ἂν συνοικειωθείη, ἀλλὰ καὶ Ἀφροδίτη μόνη τὴν Σελήνην ὁρῶσα ὠφελεῖ τοὺς ἀναγομένους εἰς εὔπλοιαν καὶ εἰς γυναικῶν μίξεις, ἀλλὰ χωρὶς Διὸς ἧττον ὠφελεῖ, μετὰ δὲ Διὸς μᾶλλον καὶ βεβαιότερον ἡ Ἀφροδίτη ὠφελεῖ. Ἀφροδίτη ὕπαυγος ὑπὸ γῆν οὖσα μετὰ Σελήνης εὐδίας καὶ νηνεμίας παρέχει, διὸ καὶ χρονίζουσιν οἱ ἀναγόμενοι ἐν τῷ πλῷ.

312 ἐὰν οἱ β ἀγαθοποιοὶ μετὰ τοῦ Ἑρμοῦ μαρτυρήσωσι τῷ Ἡλίῳ καὶ τῇ Σελήνῃ καλλίστη καταρχὴ τοῖς ἀναγομένοις, καὶ μάλιστα εὐπλοήσουσιν. ἐὰν δ’ οἱ μὲν κακοποιοὶ τὸν ὡροσκόπον βλάπτωσιν, οἱ δ’ ἀγαθοποιοὶ τὴν Σελήνην, ἢ καὶ ἔμπαλιν, δυσπλοήσουσι μὲν οἱ ἀναχθέντες, σωθήσονται δέ. Σελήνη ἀμαρτύρητος οὖσα ὑπὸ πάντων τῶν ἀστέρων καὶ κενοδρομοῦσα, τοῦ ὡροσκόπου ἐν ζῳδίῳ πρὸς τὸ πλεῖν ἐπιτηδειότητα ἔχοντι (οἷον Ταύρῳ, Διδύμοις, Καρκίνῳ, Παρθένῳ, Τοξότῃ, Αἰγοκέρωτι, Ἰχθύσιν) μετά τινος τῶν ἀγαθοποιῶν τυχόντος, ἀγαθὸν τοῖς ἀναγομένοις· Σελήνη καὶ ὡροσκόπος ἀμαρτύρητοι ὑπὸ πάντων τῶν ἀστέρων κενοδρομούντων ἐὰν ἐν τοῖς πρὸς τὸ πλεῖν ἐπιτηδείοις ζῳδίοις τύχωσιν οὐκ ἔστι κακὸν τοῖς ἀναχθεῖσιν. ἐξαιρέτως δὲ χρὴ τὴν Σελήνην ὁρᾶν ἵνα μὴ βλάπτηται καθ’ οἱονδήποτε τῶν ἐκκειμένων τρόπων. τότε δὲ λογίζου τὴν τοῦ πλοῦ καταρχὴν ὅταν οἱ ναῦται τὴν ἄγκυραν ἐκ τῆς ψάμμου ἑλκύσωσιν, ἑκάστου δὲ τῶν ἐμπλεόντων ἡ καταρχὴ τότε ἐστὶν ἡνίκα τὸν πόδα εἴσω τῆς νηὸς θῇ. Εἰ δὲ βούλει μαθεῖν εἰ βραδύνει ἐπὶ τῆς ξένης ἢ οὐ ὅταν ἐπιβῇ τῆς πόλεως ἐκείνης πρὸς ἣν σπεύδει σκόπει τὸν β′ τόπον τοῦ ὡροσκόπου τῆς εἰς τὴν πόλιν εἰσόδου καὶ τὸν τούτου κύριον, καὶ εἰ μὲν ἀναποδίζει οὗτος ταχέως ἐξελεύσεται κενὸς καὶ ἄπρακτος, εἰ δὲ στηρίζει καὶ οὕτω πάλιν ἄπρακτος ἔσται, ἅμα δὲ καὶ χρονοτριβήσει ἐν τῇ πόλει. καὶ τούτων ὄντων ἐὰν μὲν ὁ αὐτὸς οἰκοδεσπότης τύχῃ δύνων νόσων καὶ ἀηδίας αἴτιος γίνεται τῷ εἰσιόντι, ἐὰν δὲ τύχῃ ἐν τῷ ὑπογείῳ σκέπτου μὴ καὶ θανάτου αἴτιος γίνηται, ἐὰν δὲ εὑρεθῇ προσθετικὸς καὶ ὢν ἐπὶ τοῦ ὡροσκόπου ἢ ἐπὶ τοῦ μεσουρανήματος εὖ πράξας ταχέως ἐξελεύσεται. Σκέπτου δὲ καὶ τὸν Ἥλιον τῆς ἐξόδου καὶ τὰ τούτου τετράγωνα καὶ διάμετρα, καὶ εἰ μὲν ἀγαθοποιοὶ εἶεν ἐν τούτοις ἡ ἐπάνοδος ταχεῖα καὶ καλὴ ἔσται, εἰ δὲ κακοποιοὶ σκόπει πότε ἀλλάξουσι τοὺς τόπους καὶ ἀντ’ αὐτῶν ἀγαθοποιοὶ εἰσελεύσονται, καὶ τότε τὴν ἐπάνοδον ὑπονοητέον ἢ ὅτε ἀποκαθίσταται ὁ Ἥλιος εἰς τὰ ἴδια τετράγωνα καὶ διάμετρα· καὶ τὴν Σελήνην δὲ ὁμοίως τῷ Ἡλίῳ σκέπτου.

313 δεῖ δὲ καὶ τοῦτο παρατηρεῖσθαι· ὅταν τις εἰς πόλιν εἰσέλθῃ σκόπει τὰ δ κέντρα ὑπὸ τίνων ὁρᾶται καὶ ἡ Σελήνη πρὸς τίνας φέρεται. παρετηρήθη γὰρ ὁ Καρκίνος οὐκ ἀγαθὸς ὡροσκοπῶν ἐν τῇ εἰσόδῳ τῆς πόλεως· οἱ γὰρ συντυγχάνοντες αὐτῷ ἔσονται κνιποί, καὶ οὐδὲν κερδανεῖ, εἰ δὲ καὶ δοῦναί τι μέλλει πλέον δώσει τοῦ ὀφειλομένου. ἴσθι δὲ καὶ τοῦτο καθόλου ὅτι ὁ Ἄρης ἀπὸ Τοξότου τὴν Σελήνην ὁρῶν φαύλῳ σχήματι πληγὰς ἐπάγει κατὰ τὴν ὁδὸν ἢ ἑτέρας

περιστάσεις. 〈ρι′〉 Ποταπὸν ἕξει τέλος ἕκαστον τῶν πραττομένων γνῶναι οὕτως Ἐπιτήρει τῆς Σελήνης τὰ φῶτα καὶ τὸν δεσπότην τοῦ οἴκου ἐν ᾧ ἐστιν, ἔτι γε μὴν καὶ τὸν ὡροσκόπον τῆς καταρχῆς καὶ τὸ μεσουράνημα. ἐὰν οὖν ἡ Σελήνη τύχῃ ἐπί τινος τῶν τοιούτων κέντρων διοδεύουσα, ὁ δὲ οἰκοδέκτωρ αὐτῆς ἐν τοῖς ἀποκλίμασιν, ἔσται τὰ κατὰ τὴν ἀρχὴν τοῦ πράγματος λαμπρά, τὰ δὲ τέλη σκοτεινὰ καὶ ἄχρηστα, ἐὰν δὲ πάλιν ἡ Σελήνη μὲν ἐν τοῖς ἀποκλίμασιν, ὁ δὲ κύριος τοῦ τόπου αὐτῆς ἐν τοῖς κέντροις, τὰ μὲν κατὰ τὴν ἀρχὴν οὐδαμινὰ καὶ ἄχρηστα, τὰ δὲ τελευταῖα λαμπρά. εἰ δὲ καὶ ἄμφω εἶεν ἐν τοῖς κέντροις καὶ τὰ πρῶτα καὶ τὰ τελευταῖα καλά, εἰ δὲ ἐν τοῖς ἀποκλίμασιν ὁμοίως ἡ ἀρχὴ καὶ τὸ τέλος ἄχρηστον.

314 Καὶ ἐπὶ τοῦ Ἡλίου δὲ καὶ τοῦ οἰκοδεσπότου αὐτοῦ ὁμοίως τῇ Σελήνῃ σκέπτου, καὶ μάλιστα ἐπὶ τῶν ἡμερινῶν καταρχῶν. παρατηρητέον δὲ καὶ τὸν κλῆρον τῆς τύχης ἐν πάσῃ καταρχῇ καὶ τοὺς ἀγαθοποιοὺς θετέον σὺν αὐτῷ ἢ ἐποπτεύοντας αὐτόν. μὴ λαθέτω δέ σε καὶ τοῦτο, ὅτι ἡ Σελήνη ἐν ταῖς καταρχαῖς τὸ πραττόμενον εἴτε ταχέως εἴτε χρονίως ἀποκαθίστησιν ὡς ἐπίπαν εἰς τὸ αὐτὸ ζῴδιον τῆς καταρχῆς παραγενομένη ἢ εἰς τὸ τούτου διάμετρον ἢ τετράγωνον. 〈ρια′〉 Περὶ παραδόσεως τεχνῶν Εἰσόμεθα δὲ εἰ εὐμαθεῖς ἔσονται οἱ παραδιδόμενοι εἰς μάθησιν τέχνης τινὸς ἢ οὐκ εὐφυῶς ταύτης ἀντιλήψονται καὶ περὶ τίνα δὲ τῶν τεχνῶν ἡ ἐπιμέλεια καὶ ἡ κατόρθωσις γενήσεται ἢ ἡ ῥαθυμία τοῦ μανθάνοντος οὕτως. ὁ μὲν ὡροσκόπος τὰ κατὰ τὸν διδάσκαλον σημαίνει, τὸ δὲ μεσουράνημα τὸν συνιστάντα οἷον δεσπότην ἢ πατέρα ἢ ἐπίτροπον, τὸ δὲ δῦνον τὸν μαθησόμενον, τὸ δὲ ὑπὸ γῆν τὴν τοῦ μαθήματος ἢ ἐπιστήμης ἀπόβασιν, τῆς θεωρίας κατὰ τὸν συγκρατικὸν λόγον ληφθησομένης ὁμοίως τοῖς προλελεγμένοις. εἰδότες οὖν τὸν τρόπον τοῦτον ἐπὶ τῶν παραδιδομένων εἰς μάθησιν τέχνης τινὸς ἐπιτηρήσωμεν τὴν Σελήνην πλήθουσαν καὶ καλῶς κειμένην μετὰ τοῦ Ἑρμοῦ καὶ αὐτοῦ καλῶς κειμένου καὶ ἀνατολικοῦ ὄντος καὶ ἐν τοῖς ἀνθρωποειδέσι ζῳδίοις ὄντων καὶ ἀμφοτέρων ἢ καὶ πρὸς αὐτὰ ἐσχηματισμένων, καὶ τότε παραδώσομεν εἰς τὴν μάθησιν. 〈ριβ′〉 Περὶ ἐλευθερώσεως Περὶ δὲ ἐλευθερίας σκεπτόμενος ἀπόνεμε τὸν μὲν ὡροσκόπον τῷ ἐλευθεροῦντι, τὸ δὲ μεσουράνημα παρ’ ᾧ γίνεται ἡ ἐλευθερία, τὸ δὲ δῦνον τῷ ἐλευθερουμένῳ, τὸ δ’ ὑπὸ γῆν ὁποία τις ἡ ὑπομονὴ καὶ εὐχαριστία ἔσται.

315 (1t) Βεβαιότερον δ’ ἄν τις οὕτω σκέψαιτο· τὸν μὲν ὡροσκόπον κρίνων τὸν ἐλευθερούμενον, ἐκ δὲ τοῦ κυρίου τοῦ ζῳδίου καὶ τῶν πρὸς αὐτὸν σχηματισμῶν ὁποῖος οὗτος τυγχάνει καταληφθήσεται· ἐὰν μὲν γὰρ ἀνατολικὸς τύχῃ ὁ κύριος τοῦ ζῳδίου αὐτεξουσίως ἀφεθήσεται καὶ τὴν ἐλευθερίαν καρπώσεται, ἐὰν δὲ δυτικὸς περισκελίαν τινὰ καὶ συκοφαντίαν ἕξει. τὸ δὲ μεσουράνημα τὸν τόπον ἐν ᾧ γενήσεται μηνύσει, τὸ δὲ δῦνον τὸν ἐλευθεροῦντα (ὁποῖος δέ ἐστιν ἀπὸ τοῦ κυρίου τοῦ ζῳδίου), τὸ δὲ ὑπὸ γῆν τὰς ἐκβάσεις τῆς ἐλευθερίας κατὰ τὰς τῶν ἀστέρων δηλονότι ἐφοράσεις. τοῦ δὲ κυρίου τοῦ ὡροσκόπου ἐναντιουμένου τῷ δυτικῷ ἐναντίοι καὶ ἐχθροὶ ἔσονται ὁ ἐλευθερώσας καὶ ὁ ἐλευθερωθείς. Φυλάσσειν δὲ χρὴ ἐν πρώτοις τὴν Σελήνην ἀκάκωτον καὶ ἀγαθοῖς συνάπτουσαν, ἐπεὶ τὸ ἐναντίον παθούσης ἡ δουλεία πολλῷ ἀμείνων ἔσται τῆς ἐλευθερίας ὥς φησι Δωρόθεος. καὶ τὰ ἡμικύκλια δὲ τό τε ὑπὸ γῆν καὶ τὸ ὑπὲρ γῆν ὁρατέον· οἱ γὰρ ὑπὸ γῆν τὰ ἐν τῇ ἐλευθερίᾳ σημαίνουσιν. καὶ ἐὰν μέν τις τῶν ἀγαθοποιῶν ἐν τῷ ὑπὸ γῆν ἡμικυκλίῳ τύχοι πάντα καλά, τουτέστιν ἐὰν ἀγαθοποιὸς ἀστὴρ μετὰ τὴν καταρχὴν τῆς ἐλευθερώσεως πρῶτος ἀνατείλῃ. ἐὰν δ’ ἡ Σελήνη μετὰ κακοποιοῦ συνοδεύουσα ἐν τῷ δυτικῷ τύχῃ εὐθέως μετὰ τὸ ἐλευθερωθῆναι διαφέρει τὸν ἐλευθερωθέντα. 〈ριγ′〉 Περὶ χρήσεως καινῶν σκευῶν Σκεύεσι δὲ ἢ ἱματίοις πρώτως χρηστέον τῆς Σελήνης οὔσης ἔν τε Κριῷ καὶ Ταύρῳ καὶ Καρκίνῳ καὶ Παρθένῳ καὶ Σκορπίῳ καὶ Ἰχθύσι τῷ τε φωτὶ αὐξομένης καὶ μετὰ τῶν ἀγαθοποιῶν οὔσης ἢ τούτοις κατὰ σῶμα ἢ σχῆμα συναπτούσης ἢ καὶ ὡροσκοπούντων τῶν ἀγαθοποιῶν ἄνευ τῆς τῶν φθοροποιῶν κοινωνίας.

316 (1t)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈ριδʹ〉 Περὶ δείπνου Ἤδη δέ τινες ἐξέθεντο καὶ πῶς χρὴ εἰδέναι τὰ περὶ δείπνου καὶ πῶς ἀποβήσονται οὕτως. δεῖ πήξαντας τὰ κέντρα ἀπονεῖμαι τῷ μὲν ὡροσκόπῳ τοῦ δείπνου τὴν ἀρχήν, τῷ δὲ μεσουρανήματι τὸν δειπνοποιὸν καὶ τοὺς ὑπηρέτας. στοχαστέον δὲ καὶ περὶ τῶν λοιπῶν ζῳδίων οὕτως ὥστε τὸ μὲν γʹ ζῴδιον τάξαι τοῖς σκεύεσιν, τὸ δὲ δʹ τῷ τόπῳ ἐν ᾧ τὸ δειπνητήριον, τὸ δὲ εʹ τοῖς κεκλημένοις, τὸ δὲ ςʹ τῷ οἴνῳ, τὸ δὲ ζʹ ταῖς κύλιξιν, τὸ δὲ ηʹ τοῖς ἀπαντῶσιν, τὸ δὲ θʹ τῷ μαγείρῳ, τὸ δὲ ιʹ παραληπτέον ἐπὶ τοῦ ὀψωνοῦντος, τὸ δὲ ιαʹ τῇ τῆς οἰκίας δεσποίνῃ. πεπηγμένων δὲ τούτων θεωρητέον τὰ ζῴδια ὅπως ἕκαστον ἔχει καὶ πῶς σχηματίζονται πρὸς τοὺς ἀστέρας καὶ τίνες αὐτῶν ἰδιοτοποῦσιν. ἐκ δὲ τῆς θεωρίας καὶ συγκράσεως καθ' ἕκαστον εἶδος λαμβάνειν χρὴ ὁποῖον ἔσται τὸ τοῦ δείπνου θυμῆρες, πότερον πολυτελείας ἐχόμενον ἢ ἐνδεῶς ἔχον ἢ σύμμετρον· οὐ γὰρ ἀποτυγχάνει τις ἐπιμελέστερον παρακολουθήσας ταῖς τῶν τόπων διακρίσεσιν. 〈ριεʹ〉 Περὶ ἀγώνων καὶ θεωριῶν Ἐπὶ δὲ καταρχῆς ἀγώνων τε καὶ θεωριῶν μεριστέον τὰ κέντρα, τῇ μὲν σκηνῇ τὸν ὡροσκόπον, τὸ δὲ μεσουράνημα οὗ χάριν ἐπιτελεῖται, τὸ δὲ δῦνον τῷ ἐπιτελοῦντι τὸν ἀγῶνα ἢ τὰς θεωρίας, τὸ δὲ ὑπόγειον τοῖς θεαταῖς.

317 〈ριςʹ〉 Περὶ κριτηρίων καὶ ἐγκλήματος καὶ νίκης καὶ ἥττης Ἐπισκεπτέον δὲ τὰ περὶ τὰ κριτήρια καὶ τὰς τῶν ἐγκλημάτων ἐπιφορὰς οὕτως, τὸν μὲν ὡροσκόπον τῷ κατηγοροῦντι νέμοντας, τὸ δὲ μεσουράνημα τῷ κριτῇ, τὸ δὲ δῦνον τῷ κατηγορουμένῳ, τὸ δὲ ὑπόγειον τῇ κρίσει καὶ τῇ ἀποβάσει τοῦ πράγματος. καὶ ἐὰν μὲν ὡροσκοπῇ τροπικὸν ζῴδιον τέλους οὐ τεύξεται τὸ πρᾶγμα, ἐὰν δὲ δίσωμον ἐν μετανοίᾳ ἔσται ὁ κατηγορῶν, ἐὰν δὲ στερεὸν ἐπίμονος καὶ ἀπαραίτητος ὁ ἐνάγων. ἐπὰν δὲ καὶ ὑπὸ Ἄρεως βλάπτηται θρασὺς ἔσται καὶ ὑβριστὴς καὶ ἀπότολμος, ἐὰν δὲ ὑπὸ Κρόνου μαρτυρῆται δόλιος καὶ πονηρὸς καὶ πρεσβύτης δηλοῦται ὁ κατήγορος, συνόντος δὲ τοῦ Ἑρμοῦ σημαίνει δι' ἀργυρίου δόσιν τὴν κατηγορίαν ἐνίστασθαι ἢ καὶ πλαστογραφίαν, ὁμοίως δὲ καὶ μετὰ Ἄρεως ὁ τοῦ Ἑρμοῦ. Ζεὺς δὲ ἔνδοξον δηλοῖ καὶ Ἀφροδίτη εὐγενῆ, μετὰ δὲ Ἑρμοῦ τολμηρὸν καὶ εὐγενῆ, Ἑρμῆς δὲ μόνος γοργὸν καὶ πολυπράγμονα. Ταὐτὰ δ' ὑπονοητέον καὶ περὶ τῶν κριτῶν ἀναλόγως τοῖς ἐποῦσιν ἐν τῷ μεσουρανήματι ζῳδίοις τε καὶ ἄστρασιν· ἀγαθοποιῶν μὲν γὰρ ὄντων ἐν τῷ μεσουρανήματι δίκαια ποιήσειν τὸν δικαστὴν σημαίνει, κακοποιῶν δὲ ἄδικα. τροπικοῦ δὲ ὄντος τοῦ ζῳδίου αὖθις λεχθήσεσθαι τὴν δίκην ἢ καὶ ἔκκλητον προχωρῆσαι, Ἡλίου δὲ καὶ Σελήνης μεσουρανούντων πάντα φανερὰ ποιήσειν μετὰ τοῦ ἔνδοξον καὶ εὐγενῆ εἶναι τὸν δικαστήν. ἐν δὲ τῷ δύνοντι τυγχανόντων τῶν ἀγαθοποιῶν νίκην προαγορευτέον τῷ κατηγορουμένῳ. ὁ δὲ τόπος ὁ ὑπόγειος τὴν ἔκβασιν προμηνύει· τῶν μὲν γὰρ κακοποιῶν ὑπὸ γῆν ὄντων ἀδίκως ὁ κατηγορούμενος κατακριθήσεται, ἀγαθοποιῶν δὲ δικαίως.

318 Ἔστι δὲ καὶ ἕτερος τρόπος λαμβανόμενος ἐπὶ τῶν κριτηρίων χωρὶς τῶν δ κέντρων οὕτως. Σελήνη γὰρ αὐξανομένη λαμβάνεται εἰς τὸν διώκοντα, ὁ δὲ Ἥλιος εἰς τὸν κατηγορούμενον καὶ ὑπόχρεων· μειουμένη δὲ ἔμπαλιν, τουτέστιν αὐτὴ μὲν λαμβάνεται εἰς τὸν ὑπόδικον, ὁ δὲ Ἥλιος εἰς τὸν διώκοντα. ἐπισκεψάμενοι οὖν τίς μᾶλλον καλῶς κεῖται ἐν τόπῳ, ἐν ὁρίοις καὶ μαρτυρίαις ἀγαθαῖς καὶ ἐν τῷ ὑπὲρ γῆν ἡμικυκλίῳ, οὕτω προεροῦμεν ἀπὸ τῆς τῶν πλειόνων ψήφου καὶ ῥοπῆς τὸν νικήσοντα τῆς πανσελήνου λαμβανομένης εἰς μεγάλην στάσιν καὶ ἔριν καὶ ἀπώλειαν. Καὶ πάλιν ἔστι καὶ ἄλλη τις ἐπιτήρησις περὶ τῶν αὐτῶν ἔχουσα οὕτως. ὁρίσαι γὰρ χρὴ τὸν μὲν τὸ πρᾶγμα προσαγγέλλοντα Σελήνης ἀπόρροιαν εἶναι, τὸ δὲ πρᾶγμα αὐτὴν τὴν Σελήνην, τὴν δὲ συναφὴν τὸν κατηγορούμενον, ἐκ δὲ τῶν ὁρίων καὶ τῶν ἀστέρων δηλοῦν αὐτὰ τὰ περὶ τοῦ πράγματος. ἡ δὲ αὐτὴ ἔφοδος καὶ ὁ τρόπος τῇ περὶ ὁδοιπορίας καὶ μετοικισμοῦ χρήσιμος ἔσται. ἀσφαλέστερον δὲ καὶ φανερώτερον ἐπὶ τῶν κριτηρίων μάθοιμεν ἂν ποταπός τε εἴη ὁ κατηγορούμενος καὶ ὁ κατήγορος, ἔτι δὲ καὶ ὁ κριτὴς καὶ ἡ ἔκβασις τοῦ πράγματος ἐκ τῶν δ κέντρων ὡς προλέλεκται τοῦ Ἑρμοῦ ἀεὶ παραλαμβανομένου, ὑπαύγου μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄντος χρησίμου τοῖς ἐγκαλουμένοις καὶ τοῖς λαθραῖόν τι πράττουσιν, ἀνατολικοῦ δ’ ὄντος τοῖς ἐγκαλοῦσι καὶ φανερῶς ἀντικαθισταμένοις. τὴν δὲ Σελήνην ἐπιτηρεῖν χρὴ ἐν τῇ κρισίμῳ ἡμέρᾳ, καὶ ἐὰν τύχῃ οὖσα ἐν Ζυγῷ καὶ μάλιστα δύνουσα ἀσύμφορος τῷ ἄδικον δίκην εἰσάγοντι (ἡττηθήσεται γάρ), ὁ δὲ δικαίως ἐγκαλῶν νικήσει. Ἐκκείσθω δὲ καὶ τὰ ἐκ τῶν ἐπῶν Δωροθέου μεταφρασθέντα οὕτως.

319 ἔστω ὁ κατηγορῶν ὁ ὡροσκόπος, καὶ ἐὰν μὲν ᾖ τὸ τοῦ ὡροσκόπου ζῴδιον στερεὸν ἔσται ὁ κατηγορῶν ἀμετάτρεπτος καὶ ἐπίμονος, ἐὰν δὲ δίσωμον ἐν μετανοίᾳ γενόμενος εἰς ἑτέραν ἔννοιαν ἥξει, ἐὰν δὲ τροπικὸν ἀσυντέλεστος αὐτοῦ γίνεται ἡ ὁρμή. Ἐὰν δὲ τὸν ὡροσκόπον ὁ Ἄρης βλάπτῃ καταισχυνθήσεται ὁ ἐνάγων, ἐὰν δὲ Ἑρμῆς μετά τινος ἀγαθοῦ ὡροσκοπῇ χρήματα λαβὼν ὁ ἐνάγων σιγήσεται, ἐὰν δὲ τὸν ὡροσκόπον ὁ Κρόνος βλάπτῃ ζημιωθήσεται ὁ κατήγορος. τὸ δὲ μεσουράνημα ἔστω ὁ κριτής, καὶ ἐὰν τὸ μεσουράνημα βλάπτηται ὑπὸ κακοποιῶν οἱ κριταὶ μὴ συμφωνήσαντες ἀλλήλοις διαστήσονται καὶ ἔσται ἀναβολὴ τῆς δίκης, εἰ δὲ καὶ συμφωνήσουσιν οἱ κριταὶ ὅμως ἀβέβαιος αὐτῶν καὶ ἡ κρίσις καὶ ἡ συμφωνία ἐκστραφήσεται. ὁ δὲ Κρόνος μεσουρανῶν αἴτιος γίνεται ἀδικοκρισίας, οἱ δὲ ἀγαθοποιοὶ μεσουρανοῦντες ποιοῦσι δικαιοκρισίας. τὸ δὲ δῦνον ἔστω ὁ ἐναγόμενος, καὶ ἐκ τῶν εἰρημένων ἐπὶ τοῦ ὡροσκόπου σχηματισμῶν τῶν ἀστέρων σκέπτου ἀναλόγως τὸ αὐτὸ καὶ ἐπὶ τοῦ δύνοντος καὶ κατηγορουμένου. ἐὰν γὰρ ὁ Ἑρμῆς μετά τινος τῶν κακοποιῶν βλάψῃ τὸ δῦνον ἔσται ὁ ἐναγόμενος ἐπὶ διαβολῇ ἢ καί τις μάρτυς ἐλθὼν καταμαρτυρήσει αὐτοῦ. τὸ δὲ τέλος τῆς δίκης ἔσται ἐκ τοῦ ὑπογείου. Σκοπεῖν οὖν δεῖ τοὺς οἰκοδεσπότας τοῦ τε ὡροσκόπου καὶ τοῦ δύνοντος καὶ ποῖός ἐστιν ὕπαυγος τοῦ ἑτέρου ἀνατολικοῦ ὄντος· κακὰ γὰρ σημαίνει τῷ οἰκείῳ αὐτοῦ προσώπῳ. ἐὰν δὲ ὦσιν ὕπαυγοι καὶ ἄμφω ἔσται ἀνακωχὴ τῆς δίκης πρὸς χρόνον καὶ πάλιν ὕστερον δικασθήσονται, ἐὰν δὲ ἄμφω ἀνατολικοὶ ὦσι διαλλαγήσονται οἱ μαχόμενοι. οἱ ἀγαθοποιοὶ τῶν ἀστέρων οἷστισιν ἂν συνοικειωθῶσι δικαίαν νίκην παρέχουσιν, οἱ δὲ κακοποιοὶ τῶν ἀστέρων κἂν ἔξαυγοι ὦσιν, ὅμως δὲ ἐν ἀλλοτρίοις καὶ ἀνοικείοις τόποις ὄντες, αἴτιοι γίνονται ἥττης. πάλιν οἱ κακοποιοὶ ἰδιοτοποῦντες καὶ ἐπίκεντροι καὶ ἀνατολικοὶ ὄντες ἄδικον νίκην παρέχουσι τῷ οἰκείῳ αὐτῶν προσώπῳ.

320 Σκοπεῖν δὲ χρὴ τόν τε β′ τόπον καὶ τὸν η′ καὶ τὰς τῶν ἀστέρων πρὸς αὐτοὺς μαρτυρίας ἵνα γνῶμεν τοὺς βοηθοῦντας ἑκατέρῳ προσώπῳ· ὁ μὲν γὰρ β′ τοὺς συμμάχους ἐμφαίνει τοῦ διώκοντος, ὁ δὲ η′ τοῦ φεύγοντος. οἱ δὲ ἀγαθοποιοὶ οἷς ἂν ἐπαναφέρωνται ἐκεῖνοι κρειττόνως ἀπαλλάξουσιν, οἱ δὲ κακοποιοὶ χειρόνως. σκοπεῖν δὲ χρὴ καὶ τὸν τοῦ μεσουρανήματος δεσπότην· οὗτος γὰρ ᾧτινι συνοικειωθῇ προσώπῳ ἤτοι τῷ διώκοντι ἢ τῷ φεύγοντι ἢ μαρτυρηθῇ ὑπ’ αὐτοῦ ἢ τοὺς τόπους καταλλάξῃ μετ’ αὐτοῦ ἢ ὑπὸ ἑνὸς ἀστέρος οἰκοδεσποτηθῇ ἢ εἰς τοὺς τόπους αὐτοῦ μᾶλλον ἢ τοῦ ἑτέρου ᾖ εὐελπιστίαν εἶναι ποιεῖ. Οὐ χρὴ δὲ ἐκ μόνων τῶν δ κέντρων περὶ τῶν τοιούτων καταστοχάζεσθαι, ἀλλὰ δεῖ καὶ τὴν Σελήνην ὁρᾶν πῶς διάκειται καὶ ἔτι τάς τε ἀπορροίας καὶ τὰς συναφὰς τῆς Σελήνης. ἐὰν γὰρ σινωθείσης αὐτῆς οἱ κακοποιοὶ αὐτὴν ἐφορῶσιν κακὸν σημαίνει τῷ διώκοντι· οὐ γὰρ μόνον ἡττηθήσεται, ἀλλὰ καὶ ὑβρισθήσεται καὶ βλαβήσεται. ἡ Σελήνη ὅταν ᾖ συνοδικὴ ὑπὸ τὰς αὐτὰς τοῦ Ἡλίου τότε ὁ ἰσχυρότερος νικήσει τὸν ταπεινότερον. Ἐὰν δὲ περὶ χρημάτων ἡ δίκη ᾖ οὕτω δεῖ σκοπεῖν. Σελήνη αὐξιφωτοῦσα ἔστω ὁ δανειστής, ὁ δὲ Ἥλιος ὁ ὀφειλέτης, ἐὰν δὲ ἡ Σελήνη λήγῃ ἀνάπαλιν ὁ μὲν Ἥλιος ἔστω ὁ δανειστής, ἡ δὲ Σελήνη ὁ χρεώστης. ὅστις οὖν ἐκ τῶν δύο κεῖται ἐν κρείττονι τόπῳ καὶ οἰκειοτοπεῖ μᾶλλον τοῦ ἑτέρου καὶ ἀγαθύνεται μᾶλλον ἐκεῖνος τὸ οἰκεῖον πρόσωπον ἀπεργάζεται ἰσχυρότερον τοῦ ἑτέρου. Δεῖ δὲ καὶ τὸν τῆς τύχης κλῆρον σκοπεῖν καὶ τὸν οἰκοδεσπότην τοῦ κλήρου· εἰ μὲν γὰρ τῷ ὡροσκόπῳ προσνεύσει ὁ διώκων (τουτέστιν ὁ δανείσας) ἰσχυρότερος ἔσται, εἰ δὲ τῷ δύνοντι ὁ φεύγων. ἐὰν δὲ ὁ κλῆρος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τετραγωνίζῃ τόν τε ὡροσκόπον καὶ τὸ δῦνον, εἰ μὲν ὑπὸ γὴν εἴη διαλλαγήσονται αὐτοὶ καθ’ αὑτούς, εἰ δὲ μεσουρανοίη οἱ κριταὶ αὐτοὺς διαλλάξουσιν.

321 Ἐὰν δὲ οἱ κύριοι τοῦ τε ὡροσκόπου καὶ τοῦ δύνοντος τύχωσιν ὄντες ὁμοῦ ἐν ἑνὶ ζῳδίῳ οἱ δικαζόμενοι οἰκεῖοι ἔσονται ἀφ’ αἵματος ἀλλήλοις. καὶ εἰ μὲν εἴη ἑρμαϊκὸν τὸ ζῴδιον τὸ ὑποδεξάμενον τοὺς δεσπότας τοῦ τε ὡροσκόπου καὶ τοῦ δύνοντος ἔσται πατὴρ τέκνῳ δικαζόμενος ἢ πάππος ἐγγόνῳ ἢ τοιαῦτα πρόσωπα, ἐὰν δὲ ἀφροδισιαστικὸν ἔσται ἡ δίκη ἢ ἀνδρὸς πρὸς γαμετὴν ἢ ἀδελφοῦ πρὸς ἀδελφὴν ἢ πατρὸς πρὸς θυγατέρα ἢ τὰ τοιαῦτα, ἐὰν δὲ τοῦ Ἄρεως ᾖ τὸ ζῴδιον ἔσται ἡ μάχη ἤτοι ἀδελφῶν πρὸς ἀλλήλους ἢ ἀνεψιῶν ἢ τῶν τοιούτων, ἐὰν δὲ ὁ τοῦ Διὸς ἔσται ὁ δικαζόμενος ἤτοι πρεσβυτέρῳ ἀδελφῷ ἢ θείῳ ἢ τοιούτῳ τινί, ἐὰν δὲ κρονικὸν ἔσται ἡ δίκη πρὸς πατέρας ἢ πάππους ἢ τοιούτους, ἐὰν δὲ ἡλιακὸν πρὸς πατέρας ἢ ἐνδοξοτέρους. Ἐὰν δὲ οἱ τῶν κέντρων δεσπόται μὴ ὦσιν ὁμοῦ ἐν ἑνὶ ζῳδίῳ δῆλον ὅτι ἀλλότριοι ἔσονται ἀλλήλων οἱ μαχόμενοι. σκεπτέον δὲ καὶ οὕτως· ὁ μὲν ὡροσκόπος ἔστω ὁ διώκων ὡς εἴρηται, τὸ δὲ δῦνον ὁ φεύγων, τὸ μεσουράνημα ὁ κριτής, τὸ ὑπόγειον ἡ ἔκβασις τῆς κρίσεως. ἐὰν οὖν ὁ Κρόνος ὡροσκοπῇ ἔσται ὁ κατήγορος κακῆς φήμης, ἐὰν δὲ ὁ Ἄρης τολμηρὸς καὶ αὐθάδης καὶ ἀμεταμέλητος, μονομάχου γνώμην ἔχων, ἐὰν δὲ ὁ Ζεὺς ἔνδοξος καὶ δίκαιος, καθιστάμενός τε τὴν γνώμην καὶ ἀτάραχος, ἐὰν δὲ ἡ Ἀφροδίτη ἔσται τρώκτης καὶ κατεδηδοκὼς μὲν τὰ οἰκεῖα, ζητῶν δὲ καταφαγεῖν καὶ τὰ ἀλλότρια καὶ διὰ τοῦτο συνιστῶν δίκην, ἐὰν δ’ ὁ Ἑρμῆς λεπτομερὴς καὶ δεδιδαγμένος. πάλιν δὲ ἐὰν μὲν ὁ Κρόνος μεσουρανῇ ὁ κριτὴς ἔσται κακός, ἐὰν δὲ ὁ Ἄρης προπετὴς καὶ θερμός, ἐὰν δὲ ὁ Ζεὺς δίκαιος καὶ εὐσεβής, ἐὰν δ’ ἡ Ἀφροδίτη καλὸς καὶ ἀγαθός, ἐὰν δ’ ὁ Ἑρμῆς λεπτομέριμνος καὶ ἀκροδίκαιος. ἔτι ἐὰν ὁ Κρόνος δύνῃ ὁ κατηγορούμενος ἔσται ἡμαρτηκώς, ἐὰν δὲ ὁ Ἄρης ὁμοίως κακὸς ἔσται, ἐὰν δὲ ὁ Ζεὺς δίκαιος ὁ κατηγορούμενος.

322 καὶ ἐπὶ τούτοις ἐὰν ὁ Κρόνος ἐν τῷ ὑπογείῳ ὁ κατηγορούμενος ἀδίκως κριθήσεται, ἐὰν δὲ ὁ Ἄρης πρὸς τούτῳ πείσεται καὶ δεινά, ἐὰν δὲ ὁ Ζεὺς δικαίως κριθήσεται, ἐὰν δὲ ἡ Ἀφροδίτη παρακληθήσεται ὁ κριτὴς καὶ δεκάσει τὴν κρίσιν, ἐὰν δ’ ὁ Ἑρμῆς διὰ δόσεως ἀργυρίου δεκάσει ὁμοίως τὴν κρίσιν. παρατηρεῖν δὲ δεῖ καὶ τὰ ζῴδια καὶ τὰ ὅρια τῶν ἀστέρων, καὶ ἔτι τὰ δωδεκατημόρια, καὶ ἐκ τῆς πάντων τούτων συγκράσεως προγνόντας ἀποφαίνεσθαι. 〈ριζʹ〉 Περὶ ἐξοριζομένων τῆς πατρίδος καὶ βρεφῶν ἐκθέσεως Περὶ δὲ τῶν ἐξοριζομένων καὶ ἀπαλλοτριουμένων τῆς πατρίδος ληψόμεθα τὴν γνῶσιν ἀπὸ τῶν ἀστέρων οἷς ἀνήκει τὰ κέντρα κατὰ τὴν οἰκοδεσποτίαν αὐτῶν· οὗτοι γὰρ ἐν τοῖς ἑαυτῶν ταπεινώμασιν εὑρεθέντες καὶ ἐπιθεωρούμενοι ὑπὸ τῶν κακοποιῶν τοὺς ἐξορισμοὺς ἐργάζονται. κατὰ μὲν τὴν πῆξιν τῆς γενέσεως ὁπόταν ἔχωσι τὰ χρονικὰ ἢ καὶ αἱ ἀναφοραὶ τῶν ζῳδίων κατὰ τὸν αὐτὸν χρόνον συμπληρούμεναι τύχωσιν. τὸ δ’ αὐτὸ καὶ ἐπὰν ὁ οἰκοδεσπότης πάθῃ τοῦ γεννωμένου ἐκθέσεως αἴτιος γίνεται, καὶ ἐὰν μὲν ἀνατολικὸς ᾖ ὁ ἀστὴρ τὸ ἐκτεθὲν ζήσεται, ἐὰν δὲ δυτικὸς τεθνήξεται. ἰδίως δ’ οἱ ἐν τοῖς ἰδίοις ταπεινώμασιν ἔχοντες τοὺς ἀστέρας κατὰ τὸ δυτικὸν ἢ τὸ ὑπόγειον κέντρον ἐξορίζονται ἢ ἑκόντες φεύγουσι τῆς πατρίδος. ἐπὰν δὲ ἐν τῷ ὡροσκόπῳ ἢ τῷ μεσουρανήματι εὑρεθῶσιν οἱ κακοποιοὶ ὄντες ἐν τοῖς ἰδίοις ταπεινώμασιν δεσμοὺς καὶ συνοχὰς παρέχουσιν, ἀγαθοποιῶν δὲ συμφώνως ἐπιβλεπόντων αὐτοὺς ἀποκαθίστανται εἰς τοὺς οἰκείους τόπους.

323 καὶ τὸν ὡροσκόπον δὲ ἢ τὴν Σελήνην ὁρῶντες οἱ ἀγαθοποιοὶ ἐν τῇ ὥρᾳ τῆς γενέσεως τὴν ἐπάνοδον δηλοῦσιν. 〈ριηʹ〉 Περὶ τῶν ἐν εἱρκτῇ συγκλειομένων Περὶ δὲ τῶν εἰργομένων ἐν φρουραῖς ἐπιτηρητέον τὴν Σελήνην καθ’ αὑτὴν ἐν ποίῳ ζῳδίῳ τυγχάνει ἐν τῇ ὥρᾳ τοῦ εἵργεσθαι. καὶ ἐὰν μὲν τύχῃ ἐν Κριῷ λύσις ἔσται ταχεῖα. ἐὰν δὲ ἐν Ταύρῳ ἐν μὲν τῇ εἱρκτῇ πολὺν χρόνον διατρίψει, ἐκφεύξεται δέ. ἐν δὲ Διδύμοις εἰ μὴ εὐθέως ἐν τρισὶν ἡμέραις ἐκφύγῃ τῶν δεσμῶν πολυχρονήσει ταλαιπωρῶν ἐν αὐτοῖς. ἐν δὲ Καρκίνῳ πολὺν χρόνον ὁμοίως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατασχεθήσεται τοῖς δεσμοῖς. ἐν δὲ Λέοντι πολὺν χρόνον ὑπὸ δυνάστου ἀνδρὸς κατασχεθεὶς ταλαιπωρήσει. Σελήνη ἐν Παρθένῳ ἀμφίβολον ποιεῖ τὸ προειπεῖν, ὅμως δὲ ἐλπίδας ἔχει ἀγαθὰς λυθῆναι τῶν δεσμῶν. Σελήνης ἐν Ζυγῷ ἐκφεύξεται ὁ δεσμευθείς. ἐν δὲ Σκορπίῳ πολυχρονήσει μὲν ἀλλ' ὅμως λυθήσεται. ἐν δὲ Τοξότῃ πολὺν χρόνον ἐν τοῖς δεσμοῖς κατασχεθήσεται. ἐν δὲ Αἰγοκέρωτι ταχέως λυθήσεται. ἐν δὲ Ὑδροχόῳ καὶ Ἰχθύσιν ἐπὶ πολὺν χρόνον κατασχεθήσεται. Καὶ ταῦτα μὲν καθ' αὑτὴν τῆς Σελήνης ἐν ἑκάστῳ ζῳδίῳ οὔσης δεῖ στοχάζεσθαι, οἱ δὲ ἀγαθοποιοὶ ἤτοι συνόντες τῇ Σελήνῃ ἢ μαρτυροῦντες ἐπικουφίζουσι τὰ κακά.

324 ὁ δὲ Ἑρμῆς μετὰ τοῦ Διὸς συσχηματισθεὶς αὐτῇ ταχέως τὰ ἀγαθὰ παρέχει καὶ τὴν τῶν κακῶν λύσιν. ὁ δὲ Ἄρης κακώσας τὴν Σελήνην αἴτιος γίνεται μαστίγων αἱμαγμοῦ τε καὶ κακώσεως. ὁ δὲ Κρόνος τοῦτο ποιήσας πολυχρονιώτερα καὶ δυσέκλυτα ποιεῖ τὰ κακά. ἐὰν δὲ ἡ Σελήνη ὑπό τε Κρόνου καὶ Ἄρεως καὶ Ἑρμοῦ κακωθῇ ἐν τοῖς δεσμοῖς τὸν εἱρχθέντα θανατοῦσιν. δεῖ δὲ καὶ τὸν ὡροσκόπον ὁρᾶν καὶ τὰς πρὸς αὐτὸν μαρτυρίας τῶν ἀγαθοποιῶν. Σελήνη αὐξιφωτοῦσα ἀσύμφορος τοῖς εἱργομένοις, λήγουσα δὲ σύμφορος. Σελήνη λύουσα τὸν σύνδεσμον ἀγαθὸν δηλοῖ τοῖς εἱργομένοις. Ἀφροδίτη ὕπαυγος οὖσα καὶ τὴν συναφὴν τῆς Σελήνης ἐκδεχομένη ῥύεται ἐκ τῶν κακῶν τὸν δεσμώτην. Ἑρμῆς ἑσπέριος δυτικὸς ὢν καὶ τὴν συναφὴν τῆς Σελήνης ἐκδεχόμενος ῥύεται ἐκ τῶν κακῶν τὸν δεσμώτην. Σελήνη τυχοῦσα ἐν τῷ μεταξὺ τόπῳ τῆς τε δύσεως καὶ τῆς μεσουρανήσεως μετὰ Ἀφροδίτης ἢ Ἑρμοῦ συνοῦσα αὐτοῖς ἢ συνάπτουσα ῥύεται τοὺς δεσμώτας ἐκ τῶν κακῶν. ὡσαύτως καὶ ὑπό τε τοῦ Κρόνου καὶ τοῦ Διὸς τριγωνιζομένη ἐπὶ πολὺ μὲν κατέχεσθαι τοὺς δεσμώτας ποιεῖ, ὅμως μετὰ τιμῆς καὶ δόξης αὐτοὺς ἐλευθεροῖ. Σελήνη ἐν τοῖς αὐτοῖς οὖσα ζῳδίοις καὶ ὑπὸ Ἄρεως μαρτυρουμένη ταχέως λύει ἐκ τῶν δεσμῶν τὸν εἱρχθέντα ἢ ζῶντα ἢ τελευτήσαντα. Τὸ ἀπὸ τοῦ μεσουρανήματος ἕως τοῦ ὑπογείου κέντρου ἡμικύκλιον προηγούμενον κατωφερές τε καὶ λιβυκὸν καλεῖται, τὸ δὲ ἀπὸ τοῦ μεσουρανήματος ἕως τοῦ ὑπογείου κέντρου ἡμικύκλιον ἑπόμενον ἀνωφερές τε καὶ ἀπηλιωτικὸν καλεῖται. Σελήνη οὖν τυχοῦσα ἐν τῷ λιβυκῷ ἡμικυκλίῳ ὑπὸ Ἄρεως βλαπτομένη σημαίνει ἀδίκως κρατούμενον τὸν δεσμώτην καὶ πολυχρονήσοντα ἐν τοῖς δεσμοῖς, ἐν δὲ τῷ ἀπηλιωτικῷ ἡμικυκλίῳ οὖσα λύσιν ἐπαγγέλλεται.

325 Σελήνη ἐν τοῖς λιβυκοῖς μέρεσιν ὑπὸ μὲν Ἄρεως τριγωνιζομένη, ὑπὸ δὲ Διὸς τετραγωνιζομένη λύσιν τῶν δεσμῶν σημαίνει. Σελήνη συνοδεύουσα Κρόνῳ καὶ ὑπὸ Διὸς τετραγωνιζομένη ἐξ ὁποτερουοῦν μέρους καὶ οὕτως ἐκ τῶν δεσμῶν λύει. Ἄρης τετραγωνίζων τὴν Σελήνην, ὁ δὲ Κρόνος διαμετρῶν αὐτήν, ἅμα βλάπτοντες, ἐπὶ πολὺ κατέχουσιν ἐν τοῖς κακοῖς τὸν δεσμώτην. ἐὰν δὲ ὁ μὲν Ἄρης τριγωνίζῃ τὴν Σελήνην, ὁ δὲ Κρόνος τετραγωνίζῃ, ἢ τὰ δεσμὰ συντρίψουσιν οἱ δεσμῶται ἢ τὸν τοῖχον τοῦ δεσμωτηρίου διορύξουσιν ἢ ἄλλο τι τοιοῦτον νεωτερίσουσι πρὸς τὸ ἐκφυγεῖν. ἐξαιρέτως δὲ δεῖ ὁρᾶσθαι τὸ ὑπόγειον κέντρον· τὸ γὰρ τέλος ἐκ τούτου δηλοῦται.

〈ριθ′〉 Περὶ βίου καὶ κτήσεως Σκοπεῖν δεῖ τὸν β′ τόπον (τουτέστι τὴν ἐπαναφορὰν τοῦ ὡροσκόπου) καὶ κατὰ τὰς τῶν χρόνων διαιρέσεις ὁρᾶν εἰς ποῖον κατέληξε ζῴδιον. καὶ ἐὰν κατά τε τὴν ἐξ ἀρχῆς πῆξιν καὶ κατὰ τὴν τῶν χρόνων ἐπέμβασιν οἱ κακοποιοὶ συνῶσιν ἢ διαμετρῶσιν ἢ τετραγωνίζωσιν ἑκάτερον τόπον τόν τε κατὰ τὴν πῆξιν καὶ τὸν κατὰ τὴν τῶν χρόνων ἐπέμβασιν τῶν ἀγαθοποιῶν μὴ βοηθούντων μήτε κατὰ τὴν πῆξιν μήτε κατὰ τὴν πάροδον ἐλαττωθήσεται ὁ βίος καὶ ἡ περίκτησις τοῦ ἀνθρώπου ἐκείνου, ἐὰν δὲ ἔμπαλιν γένηται (τουτέστιν ἐὰν ὅ τε κατὰ πῆξιν καὶ ὁ κατὰ ἄφεσιν τῶν χρόνων ἐκπεσὼν β′ τόπος ὑπὸ ἀγαθοποιῶν συμπαρουσίας ἢ τετραγωνισμοῦ ἢ διαμετρήσεως κατά τε τὴν πῆξιν καὶ κατὰ τὴν τῶν χρόνων ἐπέμβασιν τῶν ἀστέρων μαρτυρούμενος ὠφελῆται) ἐπαύξησις ἔσται τῷ βίῳ καὶ τῇ περικτήσει τοῦ ἀνθρώπου, ἐὰν δὲ μεμιγμένα ᾖ μίξις ἔσται (τουτέστιν αὐξομείωσις τοῦ βίου). Δεῖ οὖν παρατηρεῖν ἐν ταῖς καταρχαῖς ταῖς τῶν καθ' ἡμέραν πράξεων τὴν Σελήνην.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

326 εἰ γὰρ τύχοι παροδεύουσα ἐν τόποις τοιούτοις ἐν οἷς οἱ κατὰ πῆξιν κακοποιοὶ ἦσαν ἢ καὶ τετράγωνοι ἢ καὶ διάμετροι αὐτοῖς μηδενὸς μὲν τῶν ἀγαθοποιῶν μήτε κατὰ τὴν πῆξιν μήτε κατὰ τὴν πάροδον βοηθοῦντος, τῶν δὲ κακοποιῶν κατὰ τὴν πάροδον βλαπτόντων ἤτοι κατὰ σῶμα ἢ κατὰ σχῆμα, καὶ μάλιστα τετράγωνον ἢ διάμετρον, κακίστη γίνεται ἡ καταρχὴ ἐκείνη καὶ κλιμακτηριώδης, ἐὰν δὲ ἔμπαλιν ᾖ (τουτέστιν ἐὰν ἡ Σελήνη τύχῃ ἐν τῇ καταρχῇ παροδεύουσα ἐν τοῖς τῶν ἀγαθοποιῶν κατὰ τὴν πῆξιν τόποις ἢ ἐν τοῖς τετραγώνοις ἢ ἐν τοῖς διαμέτροις αὐτῶν μηδενὸς μὲν τῶν κακοποιῶν μήτε κατὰ τὴν πῆξιν μήτε κατὰ τὴν πάροδον βλάπτοντος, τῶν δὲ ἀγαθοποιῶν κατὰ τὴν πάροδον ὠφελούντων ἤτοι κατὰ συμπαρουσίαν ἢ κατὰ σχῆμα, καὶ μάλιστα τὸ τετράγωνον) καλλίστη γίνεται ἡ καταρχὴ ἐκείνη καὶ ἐπιτευκτική, ἐὰν δὲ μεμιγμένα ᾖ ἐν τούτοις τὰ προειρημένα σχήματα ἐκ τῶν ὠφελούντων καὶ βλαπτόντων μίξις ἔσται καὶ τῶν δηλουμένων ὑπὸ τῆς καταρχῆς ἔκ τε ἀγαθοῦ καὶ κακοῦ κατὰ τὴν ἔκβασιν. Χρὴ δὲ γινώσκειν ὅτι ἀδύνατόν ἐστι μέγα γενέσθαι τι ἀγαθὸν ἢ φαῦλον ἐν ταῖς καταρχαῖς τῶν ἀνθρωπίνων πράξεων εἰ μὴ τύχοι ἡ τῆς Σελήνης ἐποχὴ ἐν τοιούτῳ οὖσα τόπῳ ἐν ᾧ ἀγαθοποιὸς ἢ κακοποιὸς ἤτοι κατὰ τὴν γένεσιν ἢ κατὰ τὴν πάροδον τετράγωνον σχῆμα ἔχει πρὸς αὐτόν· τὰ μὲν γὰρ διάμετρα σχήματα ἀντιζηλίας καὶ ἀντιπαθείας ἔχουσιν, τὰ δὲ τρίγωνα σύμφωνα μὲν καὶ συμπαθῆ ἀλλ’ οὐ τοιαῦτα ἰσχυρὰ οἷα τὰ τετράγωνα, πολὺ δὲ τὰ ἑξάγωνα ἡττόνως τε καὶ ἀμυδρῶς ὠφελοῦσιν ἢ βλάπτουσιν.

327 〈ρκʹ〉 Περὶ ἀπωλείας πράγματος καὶ εἰ εὑρεθήσεται τὸ ἀπολωλός Καὶ ἐνταῦθα τὰ τοῦ Δωροθέου ἔπη περὶ τούτων μεταφράσαντα δεῖ ἐκθεῖναι ἐπειδὴ βέλτιον τῶν ἄλλων εἰσὶν ἐκκείμενα. Ἥλιος, φησίν, καὶ Σελήνη ἀλλήλους τριγωνίζοντες ῥᾳδίαν εὕρεσιν τοῦ ἀπολομένου δηλοῦσιν. ἐὰν δὲ τετράγωνοι ὦσιν ἀλλήλοις δύσκολον τὴν εὕρεσιν τοῦ ἀπολομένου μηνύουσιν, καὶ ἐξ ἄλλου εἰς ἄλλον μετακομισθήσεται τὸ ἀπολωλός. εἰ δὲ διαμετροῦσιν ἀλλήλους Ἥλιος καὶ Σελήνη μηνυθήσεται μὲν τὸ ἀπολωλός, οὐκ εὐκόλως δὲ ἀνακομισθήσεται. ἐὰν δὲ κενοδρομῇ ἡ Σελήνη (τουτέστιν εἴσω τῶν ρκ μοιρῶν οὖσα μὴ συνάπτῃ τινὶ τῶν ἀστέρων σωματικῶς) βραδεῖαν τὴν εὕρεσιν ὑποφαίνει. Σελήνη τῷ ἰδίῳ οἰκοδεσπότῃ συνοδεύουσα εὕρεσιν ὑποφαίνει, καὶ μάλιστα τοῦ Διὸς ὁρῶντος αὐτήν. τὸ δωδεκατημόριον τῆς Σελήνης ὅταν ἐκπέσῃ εἰς τὸν ὡροσκόπον ἢ εἰς τὸ μεσουράνημα ἢ εἰς τὸν Ἥλιον ἢ εἰς τὸν τῆς Σελήνης οἰκοδέκτορα ἢ εἰς τὸν ποιοῦντα φάσιν ἀνατολικὴν ἔγγιστα εὑρεθήσεται τὸ ἀπολωλός. Σελήνη ἐν τῷ ϛʹ τόπῳ ἢ τῷ δύνοντι οὖσα ἀνεύρετον ποιεῖ τὸ ἀπολωλὸς εἰ μὴ ὁ Ἥλιος μαρτυρήσει αὐτῇ. Σελήνη ἐν τοῖς ἐκλειπτικοῖς οὖσα συνδέσμοις δυσεύρετον ποιεῖ τὸ κλέμμα. Ἥλιος καὶ Σελήνη ὑπὸ γῆν τυχόντες ἀφανίζουσι τὸ ἀπολωλός. Ἥλιος σὺν τῷ κλήρῳ τῆς τύχης ὢν ἢ ἐπιβλέπων αὐτὸν ταχέως τὸ ἀπολωλὸς φανεροποιεῖ. Σελήνη ἄνευ τοῦ Ἡλίου τὸν κλῆρον τῆς τύχης ὁρῶσα οὐ ταχεῖαν μηνύει τὴν εὕρεσιν.

328 ἐὰν μήτε ὁ Ἥλιος μήτε ἡ Σελήνη τὸν τῆς τύχης κλῆρον βλέπῃ οὐδέποτε εὑρεθήσεται τὸ κλέμμα. Σελήνη ὡροσκοποῦσα ταχεῖαν εὕρεσιν μηνύει. Σελήνη ὑπὸ τὰς τοῦ Ἡλίου αὐγὰς οὖσα καὶ ἀφώτιστος παντελῶς ἀφανίζει τὸ κλέμμα. Ἥλιος καὶ Σελήνη ἅμα ὡροσκοποῦντες οὐ μόνον τὸ κλέμμα μηνύουσιν ἀλλὰ καὶ τὸν κλέπτην. Ἥλιος καὶ Σελήνη τὸν ὡροσκόπον τετραγωνίζοντες δυσεύρετον ποιοῦσι τὸ κλέμμα· ἢ γὰρ μάχη τις γίνεται ἢ παρολκή. Ἥλιος ὡροσκοπῶν μὴ ἐν τῷ ἐναντίῳ ἑαυτοῦ τριγώνῳ ὢν (τουτέστι τῷ διὰ τοῦ Ζυγοῦ, Ὑδροχόου, Διδύμων) εὑρετικὸς γίνεται τοῦ ἀπολωλότος, ἐν δὲ τῷ τοιούτῳ τριγώνῳ ὡροσκοπῶν ἀνεύρετον δηλοῖ. Ἐφ’ ὧν δὲ οἴδαμεν τὰς γενέσεις οὕτω δεῖ στοχάζεσθαι. ἐὰν ἡ Σελήνη τύχῃ ἐν τόπῳ τοιούτῳ οὖσα ἐν ᾧ τις κακοποιὸς κατὰ τὴν ἐξ ἀρχῆς πῆξιν τῆς γενέσεως ἦν οὐχ εὑρεθήσεται τὸ κλέμμα, ἐὰν δὲ ἐν ἀγαθοποιοῦ τόπῳ τῷ κατὰ τὴν πῆξιν εὑρεθῇ ἡ Σελήνη εὕρεσιν ἐμφαίνει. Ἐὰν δὲ ἡ καταρχὴ ἐμφαίνῃ εὕρεσιν δεῖ σκέψασθαι καὶ πότε εὑρεθήσεται οὕτως. λαβὼν ἀπὸ τοῦ ὡροσκόπου ἕως τοῦ Ἡλίου τὴν τῶν ζῳδίων ποσότητα, καὶ πάλιν ἀπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ ὡροσκόπου ἕως τῆς Σελήνης τὴν τῶν ζῳδίων ποσότητα, μίξον τὸν ἀριθμόν, καὶ ὁπόσος ἂν εὑρεθῇ ἐκ τῶν δύο ὁ ἀριθμός, μετὰ τοσαύτας ἡμέρας ἢ μετὰ τοσαῦτα ἔτη λέγε εὑρεθήσεσθαι τὸ ἀπολωλός—καὶ τότε δὲ ἐὰν ἀγαθοποιὸς μαρτυρῇ, ἐὰν δὲ κακοποιὸς οὐκέτι εὑρίσκεται. Καὶ οὕτω δὲ δεῖ σκέπτεσθαι περὶ τῶν τοιούτων. ἔστω ὁ μὲν ὡροσκόπος τὸ κλαπέν, τὸ δὲ μεσουράνημα ὁ ζητῶν, τὸ δὲ δῦνον ὁ κλέψας, τὸ δὲ ὑπόγειον ὁ τόπος ἔνθα τὸ κλαπὲν ἀπεκόμισεν ὁ κλέπτης. ἐὰν οὖν ἀγαθοποιοὶ τὸν ὡροσκόπον ὁρῶσιν ἢ συνῶσιν εὑρεθήσεται τὸ ἀπολωλός. ἐκ δὲ τοῦ δύνοντος ζῳδίου ἢ ἀστέρος ἢ τοῦ οἰκοδεσπότου αὐτοῦ ἢ τῶν μαρτυρούντων αὐτῷ στοχάζου τὸ εἶδος καὶ τὸν τρόπον τοῦ κλέπτου.

329 τὸν δὲ μεσουρανοῦντα ἀστέρα σκέπτου, καὶ ἐὰν μὲν ᾖ ἐν ἰδίοις τόποις ἴδιον αὐτοῦ ἐστιν ὅπερ ζητεῖ κτῆμα καὶ οὐκ ἀλλότριον, ἐὰν δὲ ἐν ἀλλοτρίοις τόποις ᾖ οὐ ζητεῖ οἰκεῖον κτῆμα ἀλλὰ ἀλλότριον. τὸ δὲ ὑπόγειον ἐὰν μὲν ᾖ δίσωμον γίνωσκε ὅτι ἐξετέθη τὸ κλαπὲν ἤτοι εἰς ἀδελφοὺς ἤ τινας συγγενεῖς, εἰ δὲ οὐκ ἔστι δίσωμον εἰς ἕνα μόνον ἐξετέθη τὸ κλαπέν, καὶ ἐὰν μὲν ἀρσενικὸν ᾖ ζῴδιον εἰς ἀρσενικὸν πρόσωπον κεῖται, ἐὰν δὲ θηλυκὸν εἰς θηλυκόν, καὶ ἐπὶ τῶν δισώμων ὡσαύτως. ἀλλὰ καὶ τὸ δῦνον οὕτω δεῖ σκέπτεσθαι ἤτοι ἄρρεν ἢ θῆλυ ἢ δίσωμον. Ἥλιος καὶ Σελήνη τῷ ὑπὸ γῆν μαρτυροῦντες εἰς συγγενῆ μηνύουσι κεῖσθαι τὸ ἀπολωλός. ἐὰν δὲ τὸ ὑπόγειον ζῴδιον κάθυγρον ᾖ παρὰ λίμνην ἢ ποταμὸν ἢ φρέαρ ἐξετέθη, ἐὰν δὲ τετράπουν ᾖ εἰς ἐπαύλεις ἢ σηκοὺς ἐξετέθη τὸ κλέμμα, ἐὰν δὲ ἀνθρωπόμορφον ᾖ τῶν μὲν ἀγαθοποιῶν ὁρώντων ἐν καθαρῷ καὶ ἁγνῷ τόπῳ κεῖται, τῶν δὲ κακοποιῶν Ἄρεως μὲν παρὰ χαλκείῳ ἢ μαγειρείῳ, Κρόνου δὲ παρὰ δουλικῷ προσώπῳ ἢ ἐν σκοτεινῷ τόπῳ ἢ ὑγρῷ ἢ ῥυπαρῷ ἢ ὑψηλῷ. ἐὰν δ’ ὁ Ζεὺς ᾖ ὑπὸ γῆν παρὰ ἐνδόξῳ κεῖται προσώπῳ, ἐὰν δ’ ὁ Ἄρης ὑπόγειος ᾖ ἀπελεύθερός ἐστιν ὁ τὸ κλέμμα φυλάσσων, ἐὰν δὲ ἡ Ἀφροδίτη ᾖ ἐν τῷ ὑπὸ γῆν κέντρῳ, εἰ μὲν ἕως τῶν κ μοιρῶν ἀπέχει τοῦ κέντρου γνῶθι ὅτι εἰς γυναῖκα ἐλευθέραν καὶ ἔνδοξον ἐξετέθη, εἰ δὲ ἀπὸ κ μοιρῶν ἕως λ εἰς δούλην γυναῖκα ἢ ἀπελευθέραν, ἐὰν δ’ ὁ Ἑρμῆς ᾖ ἐν τῷ ὑπὸ γῆν κέντρῳ εἰ μὲν ἕως τῆς πρώτης δεκαμοιρίας ἀφίσταται τοῦ κέντρου λέγε ὅτι εἰς εὐγενῆ καὶ πλούσιον ἐξετέθη, εἰ δὲ ἕως τῆς β′ δεκαμοιρίας εἰς ἐλεύθερον μὲν ἀλλὰ πένητα, εἰ δ’ ἕως τῆς γ′ εἰς δοῦλον ἢ μισθωτόν. Ὁ Ἥλιος ὁρῶν τὸν τῆς τύχης κλῆρον ῥᾳδίαν τὴν εὕρεσιν ἐμφαίνει, ἡ δὲ Σελήνη μόνη ἄνευ τοῦ Ἡλίου τὸν κλῆρον δύσκολον μηνύει τὴν εὕρεσιν, ἐὰν δὲ μηδέτερος τῶν φωστήρων ὁρᾷ τὸν κλῆρον τῆς τύχης οὔτε τὸ ἀπολωλὸς εὑρεθήσεται οὔτε ὁ δοῦλος εἴπερ φεύγει.

330 Σελήνη ἐν ταῖς ἐσχάταις οὖσα μοίραις τοῦ ζῳδίου ἐξ ἄλλου τόπου εἰς ἄλλον τόπον μετατεθῆναι τὸ κλέμμα σημαίνει. Ἥλιος πρὸς τὴν Σελήνην τετράγωνος ἢ τρίγωνος ἢ διάμετρος ὢν τὸν κλέπτην φανερὸν ποιεῖ. ἐὰν δ’ ἀπὸ μὲν τῶν τοῦ Ἡλίου σημείων εὕρεσις ὑποφαίνηται, ἐξ ἄλλων δὲ σημείων ἀνεύρετον στοχάζηται τὸ ἀπολωλός, παρολκήν τινα χρόνου λαβὸν τὸ κλαπὲν ὕστερον εὑρεθήσεται· ἡ γὰρ τοῦ Ἡλίου δύναμις ἰσχυροτάτη οὖσα καὶ τὰ ἐξ αὐτοῦ σημεῖα βεβαιότερα παρέχει. Ἥλιος πρὸς τὸν ὡροσκόπον τρίγωνος ἢ τετράγωνος ἢ διάμετρος ὢν τὰ αὐτὰ σημαίνει ὅσα καὶ σὺν τῇ Σελήνῃ ὢν ἐσήμαινεν (τουτέστι τριγωνίζων ἢ τετραγωνίζων ἢ διαμετρῶν). τὰ αὐτὰ δὲ δεῖ σκοπεῖν καὶ περὶ τῶν δραπετευόντων δούλων.

〈ρκβ′〉 Τί τὸ ἀπολόμενον Σελήνη ἐν ὁρίοις Κρόνου οὖσα τοῦ Κρόνου ἢ ἐν Ζυγῷ ὄντος ἢ μεσουρανοῦντος, οὐ τίμιον ἔσται τὸ ἀπολωλὸς ἀλλὰ παλαιὸν ἢ ῥυπαρόν, τοῦ δὲ Κρόνου ὄντος ἤτοι εἰς ἓν τῶν ἀποκλιμάτων ἢ ἐν Κριῷ ὁμοίως ἄτιμον καὶ εὐτελὲς καὶ ῥυπαρὸν καὶ παλαιὸν καὶ ἄναγνόν ἐστιν, ἐὰν δὲ πρὸς τούτοις καὶ αὐτὸς ὁ Κρόνος μαρτυρῇ τῇ Σελήνῃ ἔσται τὸ κλαπὲν τραχὺ καὶ ἁρμόζον ἔργοις σκληροῖς οἷον δίκελλα, σάκκος, σχοινίον, δρέπανον ἤ τι τοιοῦτον. Σελήνη ἐν ὁρίοις Διὸς τὸ κλέμμα δηλοῖ ἢ χρυσοῦν ἢ ἀργυροῦν ἢ ἐσθῆτα πολυτελῆ ἢ κειμήλιόν τι ἔνδοξον. Σελήνη ἐν ὁρίοις Ἄρεως δηλοῖ τὸ κλαπὲν συντεῖνον εἰς ἐργασίαν διὰ πυρός, ἤγουν σιδήρου ἤ τινος τοιούτου, ἐὰν δὲ τούτων ὄντων καὶ ὁ Ἄρης ἢ ὁ Ἑρμῆς βλέψῃ

ἔσται τὸ κλαπὲν εὔμορφον, ἐράσμιον, ποικίλως καὶ εὐτέχνως εἰργασμένον, ἐὰν δὲ καὶ ἄνευ τοῦ Ἄρεως ὁ Ἑρμῆς καὶ ἡ Ἀφροδίτη ἴδωσι τὴν Σελήνην τερπνόν τι καὶ καλὸν τὸ κλαπὲν δηλοῦσιν.

331 Σελήνης ἐν ὁρίοις Ἀφροδίτης οὔσης τὸ ἀπολωλὸς χρυσὸς ἢ ἄργυρος ἢ λίθοι τίμιοι ἢ ἱμάτια ποικίλα καὶ πολύτιμα ἢ ἐνώτια ἢ περιτραχήλια ἢ ψέλλια καὶ ἁπλῶς γυναικεῖα κόσμια εὐωδιάζοντα ἢ μύρα καὶ ἀλείμματα, ἐὰν δὲ πρὸς τούτοις καὶ ἡ Ἀφροδίτη καὶ ἡ Σελήνη ἐν θηλυκοῖς ὦσι ζῳδίοις κτήματα γυναικός εἰσι τὰ ἀπολωλότα, ἐὰν δὲ ὁ Ἄρης μαρτυρῇ τῇ Ἀφροδίτῃ ὑέλινα ἔργα τορευτὰ καὶ ποικίλα καὶ εὔμορφα δηλοῦται. Σελήνη ἐν ὁρίοις Ἑρμοῦ γραμματεῖα, πίνακας, βίβλοι, τόμοι, νομίσματα ἢ χρήσιμόν τι τοῖς ὁδοιποροῦσι κλαπὲν σημαίνει. Ἵνα δὲ βεβαιότερα δυνώμεθα περὶ τούτων καταστοχάζεσθαι δεῖ καὶ τὰς τῶν ζῳδίων φύσεις ὁρᾶν οὕτως. Σελήνης ἐν Κριῷ ἱμάτια, νήματα, ἔρια, τάπητες, κεφαλοδέσμια ἀπώλοντο, Σελήνης ἐν Ταύρῳ χρυσός, ἄργυρος, ἐσθής, μαφόρια, περιτραχήλια ἢ πρόβατα καὶ κτήνη τετράποδα, Σελήνης ἐν Διδύμοις νομίσματα, συμβόλαια, χάρται, εἰκόνες καὶ σκεύη πρὸς εὐωχίαν χρειώδη, Σελήνης ἐν Καρκίνῳ καὶ Αἰγοκέρωτι τὰ τοῖς ἀνθρώποις ἐφήμερα, ἤγουν τρόφαιον ἢ ὑγρόν τι εὐτελὲς καὶ ὀλίγον, Σελήνης ἐν Λέοντι καὶ Ὑδροχόῳ χρυσᾶ ἔργα ἢ ἀργυρᾶ ἢ χαλκᾶ, Σελήνης ἐν Παρθένῳ κόσμια ἢ νομίσματα, Σελήνης ἐν Ζυγῷ ἀρώματα, ἀλείμματα, μύρα καὶ ὅσα σταθμῷ πιπράσκεται καὶ ὅσα σύνθετα, χειρόπλαστα οἷον τροχίσκοι, θυμιάματα ἢ τορευτά τινα, Σελήνης ἐν Σκορπίῳ χρυσός, ἄργυρος, χαλκός, λίθοι τίμιοι, Σελήνης ἐν Τοξότῃ καὶ Ἰχθύσι ποικίλα, πολυειδῆ, εὐμεγέθη, εὐκατασκεύαστα. Σελήνη αὐξιφωτοῦσα καὶ τοῖς ἀριθμοῖς προστιθεῖσα νεοκατασκεύαστα δηλοῖ καὶ καινά, εἰ δὲ καὶ λήγει καὶ τοῖς ἀριθμοῖς ἀφαιρεῖ παλαιά.

332 ἐὰν ζῴδιον δίσωμον ὡροσκοπῇ ἢ διπλοῦν τι καὶ συνεζευγμένον ἀπώλετο ἢ δύο τινά. καὶ ἡ Σελήνη δὲ ἐν δισώμῳ οὖσα τὸ αὐτὸ θεσπίζει. ἀπὸ τῆς ἐποχῆς τῆς Σελήνης ἕως τῆς τοῦ Ἑρμοῦ ἐποχῆς λαβὼν τὸ τῶν μοιρῶν διάστημα σκέπτου πόσων ζῳδίων ἐστὶν ὁ τῶν μοιρῶν ἀριθμός, καὶ εἰ μὲν ἄρτιόν ἐστι τὸ πλῆθος τῶν ζῳδίων οὐχ ἓν ἀπώλετο ἀλλὰ πλείω, εἰ δὲ περιττὸν ἓν μόνον ἀπώλετο. 〈ρκγʹ〉 Τίς ὁ κλέπτης Ἐὰν τὸν ὡροσκόπον ὅ τε Ἥλιος καὶ ἡ Σελήνη βλέπωσιν ἐκ τοῦ οἴκου τὸν κλέπτην εἶναι σημαίνουσιν, ἐὰν δὲ μόνος ὁ εἷς φωστὴρ βλέπῃ τὸν ὡροσκόπον ἔξωθεν μὲν τὸν κλέπτην καὶ οὐκ ἐκ τοῦ οἴκου εἶναι σημαίνει, ἀλλ᾽ ὅμως τῶν συνήθως ἐν τῷ οἴκῳ εἰσερχομένων ἐστίν, ἐὰν δὲ μηδέτερος τῶν φωστήρων βλέπῃ τὸν ὡροσκόπον ξένος καὶ ἀλλοδαπός ἐστιν ὁ κλέπτης. Τὴν δὲ τοῦ κλέπτου μορφὴν καὶ ἰδέαν ἐκ τῶν ἀστέρων γνωσόμεθα, προηγουμένως μὲν ἐκ τοῦ ὄντος ἐν τῷ δύνοντι ἀστέρος, εἰ δὲ μὴ εἴη τις ἐν τῷ δύνοντι ἐκ τοῦ ὄντος ἐν τῷ θʹ τόπῳ, εἰ δὲ μηδ᾽ ἐνταῦθα εἴη τις ὁ ἐν τῷ ιβʹ τόπῳ ὢν ἀστὴρ δηλώσει, εἰ δὲ καὶ ἐν τούτῳ μὴ εἴη τις ὁ συνάπτων τῇ Σελήνῃ σωματικῶς, εἰ δὲ μηδὲ τῇ Σελήνῃ συνάπτοι τις σκέπτου τίς πρὸ ζ ἡμερῶν τῆς κλοπῆς φάσιν τινὰ ἢ στηριγμὸν ἐποίησεν ἢ ἀπὸ ζῳδίου εἰς ζῴδιον μετῆλθε καὶ ἐξ ἐκείνου τοῦ ἀστέρος γνώσῃ τὴν τοῦ κλέπτου μορφήν τε καὶ ἰδέαν. 〈ρκδʹ〉 Περὶ τῆς ἰδέας τῶν κλεπτῶν Ἐὰν ὁ τοῦ Διὸς ἀστὴρ δηλοῖ τὸν κλέπτην ἔσται λευκόχρους, μεγαλόφθαλμος, μικρὰς τὰς κόρας ἔχων, οὐκ ὀξυδορκῶν, ἀγαθογνώμων, εὔσαρκος, εὐτραφής.

333 (1t) ἐὰν δὲ ὁ Κρόνος δυσειδὴς ἔσται ὁ κλέπτης, μέλας, μυωπάζων τοὺς ὀφθαλμούς, μικρόφθαλμος, ῥυτίδας ἐν τῷ σώματι ἔχων, ψεύστης, κρυψίνους, σκολιόφρων, δασύς, στυγνοπρόσωπος, ὀζόχρωτος. ἐὰν δὲ ὁ Ἄρης ἔσται ξανθός, τετανόθριξ, γοργόμματος, στρογγυλοπρόσωπος, ὦτα μικρὰ ἔχων, χαροπός, νοῦν ἔχων, ἀλλοπρόσαλλος, ὁρμητικός, ὀξυκίνητος. ἐὰν δὲ ἡ Ἀφροδίτη ἔσται εὔμορφος, εὔκοσμος, εὐόφθαλμος, μελανόμματος, λευκόχρους καὶ ἠρέμα μελάγχρους, εὔσαρκος, ἀγαθογνώμων. ἐὰν δὲ ὁ Ἑρμῆς ἔσται ἰσχυρός, ὑπόξηρος, σύμμετρος τὴν ἡλικίαν, οὐλόθριξ, εὐγένειος, ποικιλογνώμων, ὑπόχλωρος. ἐὰν δὲ ὁ Ἥλιος ἢ ἡ Σελήνη εὑρεθῇ τὸν κλέπτην δηλῶν τοιοῦτον δηλώσει αὐτὸν εἶναι κατὰ τὴν μορφὴν ὁποῖον ἂν ἡ τῶν ἀστέρων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σύγκρασις δηλοῖ. ἐὰν δὲ μηδενὶ τῶν ἀστέρων συνοικειωθῶσιν ἀλλὰ μόνοι καθ’ αὑτοὺς ὦσιν, ὁ μὲν Ἥλιος δηλοῖ τὸν κλέπτην εὐτραφῆ, πυκνὸν καὶ ἠρέμα ὕπωχρον, ἡ δὲ Σελήνη εὔκρατον, εὐόφθαλμον, εὔσαρκον, στρογγυλοπρόσωπον. Ἀκριβέστερον δὲ μαθήσῃ περὶ τῶν αὐτῶν τούτων οὐ μόνον τοὺς ἀστέρας σκοπῶν ἀλλὰ καὶ τὰ ζῴδια ἐν οἷς εὑρίσκονται οἱ ἀστέρες οἱ δηλοῦντες οὕτως. ὁ μὲν γὰρ Κριὸς δασεῖς καὶ εὐμήκεις δηλοῖ τοὺς κλέπτας, τῷ προσώπῳ νεύοντας κάτω, οὐλότριχας, δειλούς, παιγνιώδεις, αἰσχρολόγους, ὁ δὲ Ταῦρος σιμούς, δασεῖς τῷ σώματι, προκεφάλους, εὐρυμετώπους, τρίχας ἔχοντας ἀνεσταλμένας, κρυψίφρονας, ὑποκρίσει ἐξαπατῶντας, ἐπίπλαστον ἐπιείκειαν ἔχοντας, μυκτῆρας πλατεῖς ἔχοντας, παχυαύχενας, μελανοφθάλμους, λεπτοχείλους, μεγαλόφρυας, οἱ δὲ Δίδυμοι συμμέτρους, ἐπίρρινας, τρυφερούς, ἀγαθογνώμονας, τοὺς ὤμους ἔχοντας εὐτυπώτους, τινὰς δὲ καὶ γράμματα γινώσκοντας καὶ πιστευομένους, ὁ δὲ Καρκίνος δασύτριχας, πλατυπροσώπους, μελανόχροας (τινῶν δὲ καὶ οἱ ὀδόντες διεστραμμένοι εἰσίν), συμμέτρους τῷ μήκει, τὰ δὲ κάτω μέρη μείζονα ἔχοντας, ὁ δὲ Λέων γλαυκούς, πυρούς, εὐμόρφους, τὰ ἐπάνω μέρη μείζονα ἔχοντας, λεπτοκνήμους, ἀγριογνώμονας, ἀγριοπροσώπους, γαστριμάργους, τινὰς δὲ καὶ παλαίειν εἰδότας, ἡ δὲ Παρθένος συμμέτρους τῇ ἡλικίᾳ, εὐπλάστους τῷ σώματι, ὀρθίους τὴν ἀναδρομὴν τοῦ σώματος, κοσμίους τὸ ἦθος καὶ ἢ πιστοὺς διὰ γραμμάτων ἤ τινα τέχνην διὰ γραμμάτων μαθόντας, ὁ δὲ Ζυγὸς εὐοφθάλμους, λευκόχροας, εὐχρήστους εἰς διακονίαν, εὐπλάστους τοῖς μέλεσιν, εὐρύθμους, εὐτραπέλους, κατωφερεῖς πρὸς γυναῖκας, ὁ δὲ Σκορπίος ἀνεσταλμένους ταῖς θριξίν, ὑπογλαύκους, μεσοφθάλμους, στρογγυλοπροσώπους, τὴν φάρυγγα προπετῆ ἔχοντας, μακροκνήμους, εὔποδας, πλατυθώρακας, ἅρπαγας, θρασεῖς, βασκάνους, τολμητάς, ῥιψοκινδύνους, ὁ δὲ Τοξότης μεγαλοσκελεῖς, εὐκνήμους, εὐπλάστους, τινὰς δὲ καὶ φαλακρούς, ὀξυγενείους, ἐρυθρόχροας, προγάστορας, ὠκύποδας, κολυμβητάς, φιλοπροβάτους, εὐπορίστους, δαπανηρούς, ὀργίλους, ὁ δὲ Αἰγόκερως δασεῖς, λεπτοσκελεῖς, ὀστώδεις, κάτω νενευκότας, αἰγοφθάλμους, ὀξυγενείους, ἀμφιβόλους, ἀβεβαίους, γελωτοποιούς, ὑπομώρους, ὁ δὲ Ὑδροχόος μεσήλικας, σεμνοπροσώπους, εὐγενείους, φιλοπαίγμονας, δαπανηρούς, τρυφητάς, τὴν ἑτέραν κνήμην τῆς ἑτέρας παχυτέραν ἔχοντας, ἐν οἷς ἐπιτηδεύουσι δυστυχοῦντας, οἱ δὲ Ἰχθύες πλατυώμους, εὔτριχας, μικροκεφάλους, στενομετώπους, μελανοφθάλμους, εὐπαθεῖς, διγνώμους, πολυτρόπους, ἄλλα μὲν μεταχειριζομένους ἐν διανοίᾳ, ἄλλα δὲ διώκοντας.

335 Καὶ οὗτοι μὲν οἱ στοχασμοὶ ἔστωσαν ἔκ τε τῶν ἀστέρων καὶ ἐκ τῶν ζῳδίων, ἀλλ’ οὐ δεῖ πάντα τὰ σημεῖα ἀνελλιπῶς ἐφ’ ἑκάστου εὑρίσκεσθαι νομίζειν ἀλλ’ ὅσα ἐνδέχεται ἐντέχνως ἐπεξιέναι ἔκ τε τῶν συσχηματιζομένων ἀστέρων συνεπικρίνειν τὸν στοχασμόν. ἐὰν δὲ τῷ σημαίνοντι τὸν κλέπτην ἀστέρι ἀγαθοποιὸς μαρτυρῇ ἐλεύθερος ἔσται ὁ κλέπτης, ἐὰν δὲ κακοποιὸς δοῦλος ἢ πένης ἢ μισθωτός. ἐὰν Ἀφροδίτη σημαίνει τὸν κλέπτην αἰτία τῆς κλοπῆς ἔσται γυνή, ἐὰν δὲ Ἑρμῆς παῖς, ἐὰν δὲ Ἄρης ἀκμαῖος, ἐὰν δὲ Ζεὺς μεσῆλιξ, ἐὰν δὲ Κρόνος γέρων. πάλιν ἐὰν ὁ τὸν κλέπτην σημαίνων ἀστὴρ ἐπὶ Κρόνου, Διός, Ἄρεως ἑῷος ᾖ ἀνατολικὸς παῖδα τὸν κλέπτην δηλοῖ, ἐὰν δὲ τὸν α′ στηριγμὸν ποιῇ ἀκμαῖον, ἐὰν δὲ ἀκρόνυχος ᾖ μεσήλικα, ἐὰν δὲ τὸν β′ στηριγμὸν ποιῇ μεσαιπόλιον, ἐὰν δὲ τὴν ἑσπερίαν κρύψιν γέροντα. ἔστω οὖν τὸν Κρόνον σημαίνειν τὸν κλέπτην ἐπὶ ἑῴας ὄντα ἀνατολῆς· οὔτε οὖν παῖς ἔσται διὰ τὸ ἑῷον οὔτε γέρων διὰ τὸν Κρόνον, ἀλλὰ μεσῆλιξ μεμιγμένου τοῦ στοχασμοῦ ἔκ τε τοῦ παιδὸς καὶ τοῦ γέροντος, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ἐπὶ δὲ Ἀφροδίτης καὶ Ἑρμοῦ εἰ μέν εἰσιν ἑσπέριοι ἀνατολικοὶ νέους ἢ νέας δηλοῦσι τοὺς κλέπτας, εἰ δὲ μετὰ τὸν α′ στηριγμὸν ἑσπέριοι δυτικοὶ μεσήλικας, εἰ δὲ ἑῷοι ἀνατολικοὶ πρεσβυτέρους, ἐὰν δὲ δυτικοὶ ἑῷοι γέροντας ἢ γηραιάς. πάλιν ἐὰν ὁ τὸν κλέπτην ὑποφαίνων ἀστὴρ εἰς τὸ ἴδιον ὕψωμα ᾖ μέγαν τῷ σώματι καὶ εὐμεγέθη μηνύει τὸν κλέπτην, ἐὰν δ’ ἐν τῷ οἰκείῳ ταπεινώματι μικρόν, σὺ δὲ κατὰ τὸ τῆς ἀποστάσεως ἀνάλογον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συλλογίζου περὶ τοῦ μεγέθους τὸ πηλίκον. οἷον ἔστω ὁ τὸν κλέπτην δηλῶν ὁ Ἄρης καὶ ἐπεχέτω τὸν γʹ δεκανὸν τοῦ Κριοῦ· λέγομεν ὅτι τῷ μεγέθει μέσος ἐστὶν ὁ κλέπτης (ἀπὸ γὰρ τοῦ Αἰγοκέρωτος ὅς ὕψωμά ἐστι τοῦ Ἄρεως ὁ γʹ δεκανὸς τοῦ Κριοῦ τὸ μέσον διάστημά ἐστι τοῦ ἡμικυκλίου τοῦ ἀπὸ Αἰγοκέρωτος ἄχρι Καρκίνου).

336 ἐὰν δὲ ἦν ἐν Ἰχθύσιν ἢ ἐν Σκορπίῳ μεῖζον τοῦ μέσου τὸ μέγεθος ἐλέγομεν ἄν, ἐὰν δὲ ἐν Ταύρῳ ἢ Παρθένῳ ἔλασσον τοῦ μέσου. ἐὰν ὁ τὸν κλέπτην ὑποφαίνων ἀστὴρ τύχῃ μετὰ τὸ γενέσθαι τὴν κλοπὴν εἴσω ἡμερῶν ζ ὑπὸ τὰς τοῦ Ἡλίου αὐγὰς πεσὼν γίνωσκε ὅτι ἐν κακῷ τινι ὁ κλέπτης ἐμπέπτωκεν, ἐὰν δὲ πρὸς τούτῳ καὶ ὑπὸ Ἄρεως μαρτυρῆται τραύμασιν ἢ βασάνοις ἢ κινδύνοις χαλεποῖς περιπετὴς ἐγένετο. ἐὰν δὲ τὸν τῆς τύχης κλῆρον μὴ βλέπῃ κακοποιὸς οὐ γέγονε κλοπὴ ἀλλὰ μόνον παρέπεσέ που τὸ ζητούμενον καὶ κρύπτεται, καὶ ἐὰν μόνος ὁ Ἥλιος τὴν τύχην ὁρᾷ οὐδὲν ἐκλάπη ἀλλὰ κρύπτεται. 〈ρκεʹ〉 Τίνι τρόπῳ ἀπώλετο Ἐὰν ὁ Κρόνος μαρτυρῇ τῷ τε ὡροσκόπῳ καὶ τῇ Σελήνῃ δηλοῖ διά τινος δόλου καὶ ἐνέδρας γεγονέναι τὴν κλοπήν, ἐὰν δὲ ὁ Ζεὺς δηλοῖ τὸν κλέπτην διά τινος ἐπιπλάστου ἤθους ἀγαθοῦ καὶ ὑποκρίσει ἐπιεικείας πιστευθέντα κλέψαι ἃ ἔκλεψεν, ἐὰν δὲ ὁ Ἄρης δυνάμει καὶ βίᾳ ἢ τοιχωρυχίᾳ ἢ ὑποβολῇ κλειδίου ἑτέρου ἢ θύρας μετοχλήσει δηλοῖ γενέσθαι τὸ κλέμμα, ἐὰν δὲ ἡ Ἀφροδίτη διὰ φιλικὰς προφάσεις ἢ ἑταιρείας ἢ εὐφροσύνας ἢ γυναῖκας, ἐὰν δὲ ὁ Ἑρμῆς διὰ πανουργίας. 〈ρκϛʹ〉 Περὶ δραπετῶν Γνωσόμεθα τὸν μὲν δραπέτην ἐκ τῶν τῇ Σελήνῃ καὶ τῷ ὡροσκόπῳ συμβεβηκότων, τὸν δὲ δεσπότην ἐκ τῶν τῷ Ἡλίῳ καὶ τῷ μεσουρανήματι. ἐὰν οὖν ἡ Σελήνη ἢ ὁ ὡροσκόπος ἤτοι ἐν τροπικοῖς ζῳδίοις ἢ ἰσημερινοῖς ᾖ ἐμποδισμοὶ συμβήσονται τῷ φυγόντι καὶ οὐ μὴ δυνηθῇ πόρρω που ἀφικέσθαι οὔτε διὰ γῆς οὔτε διὰ θαλάσσης, ἐὰν δὲ ἐν δισώμοις οὐκ ἔφυγε μόνος ἀλλ' ἔχει στερεότητα καὶ καρτερίαν.

337 ἐὰν δὲ ὡροσκοπῇ πλάγιον ζῴδιον κακὸν τῷ φυγόντι (πλανηθῆναι γὰρ ἔχει κατὰ τὴν ὁδόν), ἐὰν δὲ ὀρθὸν ἐκεῖ ἀπελεύσεται ὅπου ἂν βουληθείη. Σελήνη ἐν δισώμῳ οὖσα ζῳδίῳ ἕως τῶν ιε μοιρῶν δηλοῖ ὅτι ὁ δραπέτης τότε πρῶτον ἔφυγεν ἀλλὰ καὶ ἐκ δευτέρου πάλιν φεύξεται, ἀπὸ δὲ τῆς ιϛʹ ἕως τῆς λʹ δηλοῖ ὅτι καὶ πρότερον ἀπέδρα καὶ οὐ μόνον τότε. Σελήνη ὡροσκοποῦσα μὲν τὸν δραπέτην ἐπ' ἀνατολὰς ὁρμῆσαι λέγει, μεσουρανοῦσα δὲ ἐπὶ νότον, δύνουσα δὲ ἐπὶ δυσμάς, ἐν τῷ ὑπογείῳ δὲ κέντρῳ οὖσα ἐπὶ βορρᾶν. ἐν δὲ τοῖς μεταξὺ διαστήμασιν ἀναλόγως, οἷον ἐν μὲν τῷ θʹ ἐπὶ νότον δυσμικώτερον, ἐν δὲ τῷ ηʹ πρὸς δυσμὰς νοτιώτερον, καὶ ἐπὶ τῶν ἄλλων τόπων ὁμοίως. Ἐὰν ὁ Ἄρης στηρίζων ἤτοι κατὰ σῶμα ἢ κατ' ἀκτῖνα συνάπτῃ τῇ Σελήνῃ, ὁ φυγὼν ἢ τεθνήξεται ἢ δεθήσεται κρατηθεὶς ἢ ἐν εἱρκτῇ ἐμπεσεῖται, καὶ μάλιστα ἐὰν καὶ ὁ Κρόνος αὐτὴν θεωρήσας βλάψῃ· τότε γὰρ ἢ κρύφα ἢ φανερῶς ἐπιβουλευθεὶς ἀπολεῖται. ἐὰν δὲ Κρόνος στηρίζων τὴν Σελήνην ἴδῃ ἢ πρὸς αὐτὴν συναφὴν ἔχῃ αὐτοχειρίᾳ ὁ φυγὼν ἀπάγξεται ἐὰν μή τις ἀγαθοποιὸς ἰδὼν τὴν Σελήνην λύσῃ τὴν κάκωσιν. ἐὰν δὲ ὁ Κρόνος μὴ στηρίζων δέχηται τὴν Σελήνην ὁ φυγὼν ὅσα μὲν βαστάσει ἀπολέσει, αὐτὸς δὲ ἤτοι κακῶς ἔχων τῷ ἰδίῳ δεσπότῃ ἀχθήσεται ἢ ἐν τῇ ξένῃ δεσμώτης ἔσται. Ὅταν οἱ ἀγαθοποιοὶ ὁρῶσι τὴν Σελήνην ἢ συνάπτωσιν αὐτῇ ἢ ὡροσκοποῦσι καλόν ἐστι τῷ φυγόντι· ἢ γὰρ ἐπιθαρσύνουσιν αὐτὴν ἢ τελέως ἐλευθεροῦσιν. ἀλλὰ κρείσσων ἐστὶν ἡ Ἀφροδίτη ἐν τοῖς τοιούτοις τῷ φεύγοντι καὶ τῷ κλέπτῃ διότι κἂν ζωγρηθῶσιν οὐδὲν κακὸν πείσονται ὑπὸ τῶν δεσποτῶν ἕνεκα τῆς Ἀφροδίτης ἀλλὰ καὶ τιμιώτεροι γενήσονται.

338 Σελήνης αὐξιφωτούσης ὁ φυγὼν δυσκόλως εὑρεθήσεται οὐδὲ φοβούμενος τὸν ἑαυτοῦ δεσπότην κρύπτεται, Σελήνης ληξιφωτούσης ὁ φυγὼν οὔτε μακρὰν δύναται ἀπελθεῖν οὔτε ἐπὶ πολὺν χρόνον λαθεῖν (εἵμαρται γὰρ αὐτὸν ἁλῶναι). Ἡλίου δύνοντος ἢ ἐν τῷ ηʹ ἐπιδύνοντος ἐάν τινος δοῦλος ἀποδράσῃ πρὶν εὑρεθῇ ὁ δεσπότης αὐτοῦ τελευτήσει. τῶν κακοποιῶν ἤτοι μεσουρανούντων ἢ μετὰ τοῦ Ἡλίου ὄντων ἐάν τινος δοῦλος φύγῃ συμφέρει τῷ δεσπότῃ μὴ ζητεῖν αὐτόν· οὔτε γὰρ εὑρήσει ἢ καὶ εἰ εὕροι οὐ τοσοῦτον ὠφεληθήσεται ὅσον βλαβήσεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σελήνης δυνούσης καὶ Ἄρεως ἐπιδυομένου μηδενὸς ἀγαθοποιοῦ μαρτυροῦντος τῇ Σελήνῃ κάκιστος θάνατος τῷ φυγόντι δηλοῦται. Σελήνης δυνούσης καὶ Ἑρμοῦ ἐπιδυομένου, Ἄρεως δὲ ἐκ τῶν δεξιῶν τὸν Ἑρμῆν τριγωνίζοντος ἀπὸ τοῦ ὑπογείου, χαλεπὸς θάνατος τῷ φυγόντι δηλοῦται. Σελήνης ὑπὸ τὰς αὐγὰς οὔσης τοῦ Ἡλίου καὶ ὑπὸ Ἄρεως ὁρωμένης ὁ φυγὼν ὑπὸ πυρὸς ἢ ἀπὸ σιδήρου ἀπόλλυται. Εἰ δὲ θέλεις καὶ τὴν ποιότητα τοῦ ὀλέθρου καὶ ὑπὸ τίνων γίνεται οὕτω σκέπτου. τὸ ζῴδιον ὅπερ ἐπέχει ἡ Σελήνη καὶ ὁ ὡροσκόπος τῆς καταρχῆς σκόπει· εἰ γάρ εἰσιν ἀνθρωπόμορφα ὑπὸ λῃστῶν καὶ ἁπλῶς ἀνθρώπων τὰ κακὰ γίνεται, εἰ δὲ τετράποδα ὑπὸ θηρίων, εἰ δὲ ἀναμίξ (τουτέστι τὸ μὲν ἀνθρωπόμορφον, τὸ δὲ τετράπουν) ὑπὸ πολεμίων ἱππέων, ἐὰν δὲ γεώδη ὑπὸ κρημνισμῶν ἢ συμπτωμάτων. Ἐὰν δὲ τὴν Σελήνην ὡς εἴρηται ὕπαυγον οὖσαν ὁ Κρόνος ἐκ ζῳδίου καθύγρου ἴδῃ Λέοντος ὡροσκοποῦντος βεβαιότερον τὸ κακὸν δηλοῦται· οὔτε γὰρ ὁ φυγὼν εὑρεθήσεται, ἀλλὰ διαφθαρήσεται, οὔτε ....... ἐὰν δὲ τῇ τοιαύτῃ τῆς Σελήνης κακώσει καὶ ὁ Ἑρμῆς μαρτυρήσῃ οἱ δραπέται αὐτόχειρες ἀποθνήσκουσιν.

339 τὰς δὲ προειρημένας κακώσεις οἱ ἀγαθοποιοὶ ἀναλύουσιν ἐπιθεωρήσαντες, καὶ μάλιστα ὕπαυγοι ὄντες. Σελήνης πρὸς Ἄρην μὴ στηρίζοντα φερομένης ἀλλὰ προσθετικὸν ὄντα ὁ φυγὼν βασάνων καὶ μαστίγων πεῖραν λήψεται. Ἄρεως δύνοντος καὶ Σελήνης ἐπιδυομένης, τοῦ Διὸς ἐπιθεωροῦντος αὐτήν, ὁ φυγὼν διὰ μὲν τὸν Ἄρην φόβους καὶ κινδύνους ὑποστήσεται, διὰ δὲ τὸν Δία ῥυσθήσεται τῶν κακῶν. ἐὰν οἱ κακοποιοὶ τὸ ὑπόγειον κέντρον ἢ τὸ μεσουράνημα ἢ τὸ δῦνον περιέχωσιν ὁ φυγὼν δεσμώτης γενόμενος ἐν εἱρκτῇ ἀποθνῄσκει. Σελήνης μεσουρανούσης καὶ ὑπὸ τῶν κακοποιῶν περιεχομένης, τοῦ μὲν Ἄρεως ἐκ τῶν δεξιῶν, τοῦ δὲ Κρόνου ἐκ τῶν εὐωνύμων, ὁ φυγὼν ἀγχόνῃ διαφθαρήσεται, ἐὰν δὲ ὁ μὲν Ἄρης ἐκ τῶν εὐωνύμων, ὁ δὲ Κρόνος ἐκ τῶν δεξιῶν αὐτὴν περιέχωσιν, ὁ φυγὼν ἀνασταυρωθήσεται. Σελήνης μεσουρανούσης ἢ δυνούσης ἢ ἐν τῷ ὑπογείῳ κέντρῳ οὔσης ὑπὸ Ἡλίου καὶ Ἄρεως περιεχομένης ὁπόθεν ἑκάτερος τύχοι ἢ δεξιὸς ἢ εὐώνυμος ὁ φυγὼν ζῶν πυρὶ παραδοθήσεται. ὁ τῆς Σελήνης οἰκοδεσπότης ὕπαυγος ὢν καὶ μὴ θεωρῶν τὴν Σελήνην τοῦ φυγόντος τὸν δεσπότην δηλοῖ ὅτι ταχέως ἀποθνῄσκει. τοῦ ὡροσκόπου καὶ τῆς Σελήνης ἢ τοῦ οἰκοδεσπότου τῆς Σελήνης ἐν τροπικοῖς ζῳδίοις ὄντων ὁ φυγὼν ἐν μετανοίᾳ γενόμενος ἑκουσίως πρὸς τὸν δεσπότην ὑποστρέψει. ἐὰν δὲ ἡ Σελήνη βλέπηται ὑπό τε ἀγαθοποιοῦ καὶ κακοποιοῦ οὐ διαφεύξεται ὁ φυγὼν τὸν δεσπότην, καὶ μάλιστα ὅταν ὁ κακοποιὸς τετράγωνος ᾖ ἢ διάμετρος πρὸς τὴν Σελήνην, καὶ ἐν ἐκείναις σχεδὸν ταῖς ἡμέραις ἐν αἷς ἡ Σελήνη διέρχεται κατὰ περίπατον εἰς τὰς τοῦ κακοποιοῦ μοίρας τῆς ἐποχῆς ἤτοι κρατηθήσεται ὁ φυγὼν ἢ κακῷ τινι περιπεσεῖται. τῆς Σελήνης καὶ τοῦ ὡροσκόπου ἀμφοτέρων κεκακωμένων καὶ ὑπ’ οὐδενὸς τῶν ἀγαθοποιῶν βοηθουμένων ὁ φυγὼν κινδυνεύσει καὶ βλαβήσεται· τῆς Σελήνης καὶ τοῦ ὡροσκόπου ἀμφοτέρων βοηθουμένων ὑπὸ τῶν ἀγαθοποιῶν καὶ ἀκακώτων ὄντων ὑπὸ Κρόνου καὶ Ἄρεως εἰ μὲν ἐν στερεοῖς ζῳδίοις εἶεν οἱ ἀγαθοποιοὶ ὁ φυγὼν οὐδέποτε εὑρεθήσεται, εἰ δὲ ἐν δισώμοις ἢ τροπικοῖς ζῳδίοις ἤτοι αὐτὸς ὁ φυγὼν μετανοήσας ὑποστρέψει ἢ καὶ ἄκων κρατηθήσεται μηδέν τι κακὸν ὑποστάς· δυσωπηθήσεται γὰρ ὁ δεσπότης καὶ οἶκτον αὐτοῦ λήψεται.

340 Ὁ Ἥλιος τὴν Σελήνην καὶ τὸν ὡροσκόπον θεωρῶν πάντα τὰ λαθραῖα φανερὰ ποιεῖ. ἐπὶ δὲ τῶν ὑποφαινουσῶν εὕρεσιν καταρχῶν ὁ μὲν Ἄρης ταχεῖαν εὕρεσιν δηλοῖ, ὁ δὲ Κρόνος βραδεῖαν. Διὸς δύνοντος ὁ φυγὼν ἐὰν καὶ κρατηθῇ πλὴν οὐδὲν δεινὸν πείσεται· ὁ γὰρ δεσπότης αὐτοῦ πράως διατεθήσεται πρὸς αὐτόν. ἡ Ἀφροδίτη εὕρεσιν ὑποφαίνουσα ἐν τόπῳ καθύγρῳ τὸν φυγάδα δείκνυσιν εἶναι. Ἐάν τις ἀστὴρ ἐν ἰδίῳ οἴκῳ ὢν καὶ ὡροσκοπῶν καὶ τὴν Σελήνην βλέπων ᾖ δηλοῖ μὴ γεγονέναι φυγὴν τελείαν, ἀλλ’ ἢ πλησίον που πλανᾶται ὁ δόξας φυγεῖν ἢ ἀλλαχοῦ ὅπου οὐ γινώσκεται, μακρὰν δὲ οὐκ ἀπῆλθεν. πᾶς ἀστὴρ ἀναποδίζων καὶ τὴν

Σελήνην ὁρῶν καὶ τὸν ἴδιον οἶκον οὐ πεφευγέναι λέγει τὸν ζητούμενον ἀλλ’ ἐγγὺς πλανᾶσθαι. Ἡ Σελήνη καὶ ὁ ὡροσκόπος ἄνευ τινὸς ἀστέρος μαρτυρίας ὅταν ὦσιν ἐν ἑκάστῳ τῶν ζῳδίων καθ’ αὑτοὺς περὶ τοῦ προκειμένου κεφαλαίου ταῦτα μηνύουσιν ὡς ὑποτέτακται. ὁ Κριὸς ἔχων τὴν Σελήνην ἢ τὸν ὡροσκόπον ταχέως πάλιν ἀνακομίζει, τινὲς δὲ καὶ ἑκουσίως ὑποστρέφουσιν, ἐὰν δὲ τῆς Σελήνης ἐν Κριῷ οὔσης ὡροσκοπῇ Λέων ἢ Τοξότης ἢ Ἰχθύες ἢ Δίδυμοι οὐχ εὑρεθήσεται ὁ φυγών. Ταῦρος ἔχων τὴν Σελήνην ἢ τὸν ὡροσκόπον τὸν φυγόντα κομίζει εἰς οἶκον ἀνδρὸς δυνάστου διὸ καὶ δυσκόλως εὑρίσκεται. Δίδυμοι ἔχοντες τὴν Σελήνην ἢ τὸν ὡροσκόπον εἰ μὲν ἕως τῆς α′ πεντεκαιδεκαμοιρίας εἰσὶν ἢ εἴσω β ἡμερῶν ὁ φυγὼν εὑρεθήσεται ἢ μετὰ τὸν γ′ μῆνα ἢ ὄψεται αὐτὸν ὁ δεσπότης ἢ ἀκούσει παρ’ αὐτοῦ μήνυμα, εἰ δὲ μετὰ τὴν α′ πεντεκαιδεκαμοιρίαν ταχέως τὸν φυγόντα εὑρίσκει.

341 Καρκίνος ἔχων τὴν Σελήνην ἢ τὸν ὡροσκόπον τὸν φυγόντα εἰ μὴ εἴσω β ἡμερῶν εὑρεθείη σημαίνει ἐν ἱερῷ τόπῳ κρυπτόμενον βραδέως πάνυ εὑρεθήσεσθαι. Λέων τὴν Σελήνην ἢ τὸν ὡροσκόπον ἔχων ἕως μοιρῶν ιε ἐπανάγει τὸν δραπέτην, ὑπὲρ δὲ τὰς ιε μοίρας ἀφανίζει αὐτὸν καὶ εἰς οἶκον πλουσίου τινὸς δυνάστου ἀποκομίζει διὸ καὶ δυσχερῶς εὑρεθήσεται. Παρθένος τὴν Σελήνην ἔχουσα ἢ τὸν ὡροσκόπον δυσχερῆ τὴν εὕρεσιν ἐμφαίνει τοῦ φυγόντος· διὰ γὰρ τὸ πτερωτὸν τοῦ ζῳδίου ἀφανῆ τὸν δραπέτην ἔσεσθαι ὑποσημαίνεται. Ζυγὸς τὴν Σελήνην ἔχων ἢ τὸν ὡροσκόπον ἐπανάγει μὲν τὸν δραπέτην ἀλλὰ προφασιζόμενόν τι καὶ δικαιολογούμενον ὑπὲρ τοῦ εὐλόγως πεφευγέναι. Σκορπίος τὴν Σελήνην ἔχων ἢ τὸν ὡροσκόπον εἰς ἱερὸν ἀποκομίζει τὸν δραπέτην, πολλάκις δὲ καὶ ἑκουσίως αὐτὸν ὑποστρέψαι ποιεῖ. Τοξότης ἔχων τὴν Σελήνην ἢ τὸν ὡροσκόπον ποιεῖ τὸν δραπέτην πλανᾶσθαι εἰς τόπους διαφόρους καὶ χρονίαν τὴν εὕρεσιν παρέχεται. Αἰγόκερως ἔχων τὴν Σελήνην ἢ τὸν ὡροσκόπον .......... Ὑδροχόος ἔχων τὴν Σελήνην ἢ τὸν ὡροσκόπον ἐν μὲν ταῖς πρώταις ιε μοίραις ἐπανάγει τὸν δραπέτην, ἐν δὲ ταῖς ὑστέραις ἀφανίζει αὐτόν. Ἰχθύες ἔχοντες τὴν Σελήνην ἢ τὸν ὡροσκόπον ἐν μὲν ταῖς πρώταις μοίραις ιε ἀφανίζουσι τὸν φυγόντα, κατὰ δὲ τὰς λοιπὰς μοίρας φανερὸν ποιοῦσιν αὐτόν. καὶ ταῦτα μὲν καθ’ αὑτὰ τὰ ιβ ζῴδια μηνύουσιν ἄνευ μαρτυρίας τινὸς ἀστέρος, ἐπειδὴ δὲ ἡ ὡροσκόπησις τῆς καταρχῆς τοῦ φυγόντος ἄδηλός ἐστι δεῖ τιθέναι ἐκεῖνον ὡροσκόπον ὁπότε ἤκουσεν ὁ τοῦ φυγόντος δεσπότης τὴν ἀγγελίαν τῆς φυγῆς.

342 Καὶ ταῦτα μὲν ἐκ τῶν τοῦ Δωροθέου ἐπῶν μεταπέφρασται, ἐκκείσθω δὲ καὶ τὰ παρὰ τῶν ἄλλων εἰρημένα, καὶ μάλιστα ἐκ τῶν Συναγωγῶν τοῦ Νικαέως Πρωταγόρου· φησὶ γὰρ οὕτως. ἐὰν εὑρεθῇ ὁ οἰκοδεσπότης τοῦ ὡροσκόπου τῆς φυγῆς ἀναποδίζων ὁ φυγὼν ἑκουσίως ἐπανελεύσεται πρὸς τὸν δεσπότην, ἐὰν δὲ ἐν ἰδίῳ οἴκῳ εὑρεθῇ ἢ ὁρίοις καὶ μὴ ἀναποδίζῃ ὁ ἀποδρὰς ἔνδον τῶν οἰκείων ἢ ἐν τῇ πόλει ἢ ἐν τῇ περιχώρῳ εὑρεθήσεται, καὶ θᾶττον ἐὰν ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ τύχῃ ὥσπερ πάλιν βραδύτερον ἐὰν ἐν τῷ ὑπὸ γῆν. Τῆς δὲ Σελήνης οὔσης ἐν τῷ μεσουρανήματι (τουτέστιν ἐν τῷ δεξιῷ τετραγώνῳ τοῦ ὡροσκόπου) διὰ τῶν δεξιῶν μερῶν τῆς οἰκίας ἀφ’ ἧς κατήρξατο τῆς φυγῆς ὁ δραπέτης τὴν πάροδον πεποίηται, ἐν δὲ τῷ εὐωνύμῳ τετραγώνῳ (τουτέστι τῷ ὑπὸ γῆν κέντρῳ) ὁμοίως διὰ τῶν ἀριστερῶν· ὁ γὰρ ὡροσκόπος ἀντὶ τῶν πυλῶν τῆς οἰκίας νοεῖται. ἡ Σελήνη βορρᾶν κατερχομένη μηνύει τὸν φυγόντα κατὰ μεσημβρίαν πεπορεῦσθαι καὶ εὑρεθήσεσθαι ἕως ἡμερῶν κε , νότον δὲ κατερχομένη ἐν τοῖς κατὰ δύσιν τόποις ἐν ἡμέραις μβ ἐν καθύγροις τόποις καὶ ἀνημέροις ἢ δυσχειμέροις, νότον δὲ ἀνερχομένη ἐν τοῖς ἀνατολικοῖς καὶ δυσκόλως εὑρεθήσεσθαι μηνύει, βορρᾶν δὲ ἀνερχομένη ἐν τοῖς ἀρκτικοῖς τόποις καὶ δυσκόλως εὑρεθήσεσθαι. Καὶ ἐκ τῆς τῶν ζῳδίων δὲ φύσεως καταστοχαστέον τοὺς τόπους εἰς οὓς ἀπῆλθεν ὁ φυγών· οἷον Ἰχθύες μὲν λιμνώδεις καὶ ἑλώδεις σημαίνουσιν, Αἰγόκερως δὲ ὑδρηλὰ χωρία καὶ παραθαλάσσια, ὁ δὲ Τοξότης τραχεῖς καὶ ἀμπελῶνας, ὁ δὲ Κριὸς νομιαίους καὶ πεδινούς, ὁ δὲ Ταῦρος ἐπιπέδους καὶ εἰργασμένους, ὁ Καρκίνος ἐνύδρους καὶ χερσαίους καὶ ὑψηλούς, ὁ Λέων προσάντεις καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τραχεῖς καὶ ἐρήμους, ἡ Παρθένος σιτοσπόρους, ὁ Ζυγὸς πεδινούς, ὁ Σκορπίος τραχεῖς καὶ λῃστρικούς, ἐν οἷς καὶ ἀμπελῶνές εἰσιν, ὁ Ὑδροχόος παραποταμίους καὶ ἑλώδεις.

343 Τινὲς δὲ καὶ τὰ κέντρα ἐμέρισαν οὕτως· τὸ μὲν δῦνον τῷ φεύγοντι, τὸ μεσουράνημα τῷ δεσπότῃ, τὸν δὲ ὡροσκόπον τοῖς ....., τὸ δὲ ἀντιμεσουράνημα τῷ ἀναπείσαντι. τινὲς δὲ καὶ οὕτως ἀπονέμουσιν· τὴν μὲν Σελήνην καὶ τὸν ὡροσκόπον τῷ φεύγοντι, τὸν δὲ Ἥλιον καὶ τὸ μεσουράνημα τῷ κυρίῳ. Ἐπιμελέστερον δὲ χρὴ προσέχειν τῇ Σελήνῃ· ἐμφαίνει γὰρ πάντα. καὶ πρῶτον τὸ ὑπὲρ γῆν ἡμισφαίριον διοδεύουσα ῥᾳδίαν τὴν εὕρεσιν ποιεῖται, τὸ δὲ ὑπὸ γῆν δυσκόλως. καταληφθεῖσα δ’ ἐν τῷ ὡροσκόπῳ ἡ Σελήνη ἢ ἐν τῇ ἐπαναφορᾷ αὐτοῦ ἢ ἐν τῷ ιβʹ τόπῳ πρὸς ἀνατολὰς τὴν φυγὴν σημαίνει γεγονέναι, ἐν δὲ τῷ μεσουρανήματι ὁμοίως ἔχουσα πρὸς ἄρκτον, ἐν δὲ τῇ δύσει πρὸς δύσιν, ἐν δὲ τῷ ὑπὲρ γῆν κέντρῳ πρὸς μεσημβρίαν. δηλώσουσι δὲ καὶ τὰ κέντρα τὴν ἔξοδον δι’ ἧς ἀναχωροῦσι πύλης οἱ φεύγοντες, τὸ δὲ μῆκος τῆς ὁδοῦ τὸ διάστημα τῶν ὡρῶν τῶν ἀπὸ τοῦ ὡροσκόπου ἢ τοῦ δύνοντος ἄχρις αὐτῆς τῆς Σελήνης, ἀλλὰ δὴ καὶ ἡ διαφορὰ τῶν ἰδιωμάτων τῶν ζῳδίων ἐν οἷς εὑρίσκεται ἡ Σελήνη. ἐν μὲν γὰρ τροπικοῖς ζῳδίοις βραχεῖα ἡ ὁδὸς δηλοῦται τῆς φυγῆς καὶ βραδεῖα ἡ πορεία τοῦ φεύγοντος καὶ οὐ μακρὰν ἀπὸ τοῦ τόπου οὗ ἀπέδρα καταντήσειν τὸν φεύγοντα, ἐὰν δὲ ἐν χερσαίοις καὶ λοξοῖς ἢ δισώμοις οὐκ ὀρθὰς τὰς πορείας ποιήσεσθαι οὐδὲ αὐτὸν μόνον ἀποδεδρακέναι ἀλλὰ σὺν ἑτέρῳ. Ἀπὸ δὲ τῶν ἀνατολῶν καὶ δύσεων τοῦ ζῳδίου ἡ σκολιότης καὶ ἡ ὀρθότης τῆς πορείας αὐτοῦ γινώσκεται, καὶ αἱ μὲν ἀρχαὶ ἀπὸ τῶν ἀνατολῶν, τὰ δὲ τέλη ἀπὸ τῶν δύσεων. τὰ δὲ ὕπτια τῶν ζῳδίων καὶ κίνδυνον τῷ φεύγοντι ποιοῦσιν, καὶ μάλιστα ὅταν οἱ κακοποιοὶ τῶν ἀστέρων προσγένωνται· βεβαιότερα γὰρ τὰ κακὰ ἔσεσθαι αὐτοῖς μηνύει, καὶ μάλιστα ὅταν ὑπὸ γῆν ὁ Ἄρης σὺν τῇ Σελήνῃ γένηται ἢ καὶ στηρίζῃ, Κρόνου δὲ στηρίζοντος ἀπάγχονται ἢ κατακρημνίζουσιν ἑαυτούς.

344 συναπτούσης δὲ αὐτῆς τοῖς ἀγαθοποιοῖς ἢ κατεχόντων αὐτῶν τὸν ὡροσκόπον, τῶν κακοποιῶν συσχηματιζομένων, ἐκ μετανοίας ἀνακάμπτουσιν, ἀπεστραμμένων δὲ τῶν κακοποιῶν σχεδὸν ἐν ἐλευθερίᾳ ἔσονται. ἐὰν δὲ Ἀφροδίτη συμπαρῇ τῇ Σελήνῃ ἢ τῷ ὡροσκόπῳ ἐπίκεντρος ἢ ἰδιοτοποῦσα οὐ μόνον ἀνύβριστοι ἔσονται ἀλλὰ καὶ παρακληθήσονται. μέσης δὲ εὑρεθείσης τῆς Σελήνης τῶν κακοποιῶν ἐν δεσμοῖς ἔσονται πολὺν χρόνον, ἔσθ’ ὅτε δὲ καὶ ἐν εἱρκταῖς ἀποθνήξονται, καὶ μάλιστα ἀλλοτριωθέντων τῶν ἀγαθοποιῶν. συναπτούσης δὲ Ἄρει σφαγήσονται. Φυλακτέον δὲ καὶ ταῦτα. ἐπὰν γὰρ ἐν τῇ ἐπαναφορᾷ τοῦ ὡροσκόπου ἀστὴρ ἐπῇ καὶ πρότερον πεφευγέναι αὐτὸν μηνύει καὶ πάλιν φεύγοντα, καὶ τῆς Σελήνης ἐν τῷ ὡροσκόπῳ οὔσης ἄλλης οἰκίας καὶ οὐ τῆς ζητουμένης ἔσται ὁ φυγὼν πλὴν ἀναχθήσεται, ἐὰν δὲ ἀστήρ τις δύνῃ παραυτίκα εὑρεθήσεται καὶ πλησίον τοῦ οἴκου. ἀσύμφορον δὲ τοῖς φεύγουσι τὸ τὴν Σελήνην τοῖς ἀριθμοῖς προστιθέναι, ἀφαιρούσης δὲ αὐτῆς τοῖς ἀριθμοῖς σύμφορον. Ἥλιος δύνων ἢ μεσουρανῶν ὑπὸ τῶν κακοποιῶν ἐπιθεωρούμενος σχήματι δραστικῷ (τουτέστι τετραγώνῳ ἢ διαμέτρῳ) πρὸ τῆς ἀνευρέσεως τεθνήξεσθαι τὸν δεσπότην σημαίνει ἢ καὶ πολλαῖς ζημίαις καὶ βλάβαις περιπεσεῖσθαι. Ἥλιος ὁρῶν τὴν Σελήνην ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ ταχεῖαν τὴν μήνυσιν ποιεῖται διὰ τῶν συνιστορούντων, Κρόνος δὲ ὁμοίως ἐπὶ τῷ ἄνω κέντρῳ σὺν Σελήνῃ σημαίνει ταχέως τὴν παράδοσιν διὰ γυναικὸς ῥυπαρᾶς ἢ δούλης γενέσθαι, διὰ δ’ ἐλευθέρας γυναικὸς μηνυθήσεται ὁμοίως ἐν τῷ ἄνω κέντρῳ ὄντος. τῆς Σελήνης μαρτυρούσης τῷ ὡροσκόπῳ ἐν τετράποσι ζῳδίοις τὸ αὐτὸ ἔσται. καθ’ ἑαυτὴν δὲ μεσουρανοῦσα ἡ Σελήνη καθεύδοντας εὑρεθήσεσθαι, Ἑρμοῦ δὲ ἐπιδύνοντος αὐτῇ ἀναπεπεῖσθαι ὑπό τινος τῶν γειτονούντων ἢ συνεζηκότων αὐτῷ σημαίνει.

345 Ἀφροδίτης καὶ Διὸς τῷ Ἡλίῳ μαρτυρούντων συγγενὴς ἔσται ὁ πείσας καὶ φανήσεται ἐλεύθερος ὤν. ὡροσκοποῦντος Ταύρου ἢ Διδύμων ἢ Καρκίνου ἢ Λέοντος ἢ Παρθένου ἢ Σκορπίου ἢ Ἰχθύων, ἐπιθεωροῦντος Διὸς καὶ Ἀφροδίτης, ἐν ἱεροῖς τόποις φανήσεσθαι δηλοῖ, τοῦ δὲ Ἄρεως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεσουρανοῦντος σὺν τῇ Σελήνῃ ὁ φυγὼν τομὰς ἕξει περὶ τὴν ὄψιν ἀπὸ σιδήρου. ἐὰν δὲ τύχῃ Κρόνος καὶ Ζεὺς καὶ Σελήνη ὡροσκοποῦντες ἀργύρια βαστάζειν σημαίνει καὶ εὑρεθήσεσθαι τὸν φυγόντα· οἱ ἀγαθοποιοὶ ὡροσκοποῦντες σὺν Σελήνῃ ἀμεριμνίαν τῷ φυγόντι παρέχουσι μετὰ τοῦ βαστάζειν καὶ ἱκανὰ χρήματα. Ἄρεως καὶ Κρόνου ἐπιθεωρούντων τὸν Ἥλιον εἴσω ρξ ἡμερῶν ἢ καὶ ρο εἰς τὴν τοῦ δεσπότου ἐξουσίαν ἐπανήξουσιν. Ἑρμῆς σὺν τῇ Σελήνῃ καὶ τῇ Ἀφροδίτῃ ὡροσκοπήσας ἢ μεσουρανήσας μηνύει παῖδα ἢ νεανίσκον ἢ παρθένον τὸν φανεροῦντα τὴν φυγήν, τοῦτον δὲ εὑρεθήσεσθαι δι’ ἡμερῶν ν ἐπιδόντων τῶν κακοποιῶν, ἐὰν δὲ Ἑρμῆς καὶ Ἄρης μεσῆλιξ ἔσται ὁ ζητούμενος, ἐὰν δὲ Κρόνος καὶ Ἑρμῆς καὶ Ἀφροδίτη ἀνὴρ καὶ γυνὴ καὶ υἱός, ἐὰν δὲ Κρόνος, Ἥλιος, Ἑρμῆς καὶ Σελήνη εὐνοῦχος ἔσται ὁ δραπέτης. ἐπὶ δὲ τοῦ ὡροσκόπου Ἄρης καὶ Ἀφροδίτη καὶ Ἑρμῆς ἑρμαφρόδιτον μηνύει, Ζεὺς δὲ καὶ Ἀφροδίτη καὶ Ἥλιος ἐλευθέρους δεικνύουσιν εἶναι τοὺς δραπέτας, Ἄρεως δὲ ἐπιθεωροῦντος κατεσχημένους ὑπὸ ἐξουσίας τινὸς καὶ φρουρᾶς. Ἄρεως δὲ καὶ Κρόνου ὡροσκοπούντων ἑαυτοὺς παραδώσουσιν ἐξουσίαις τισίν. Ἄρης καὶ Ἀφροδίτη ὡροσκοποῦντες πολλὰ ἀναλῶσαι εἰς ἀφροδίσια μηνύουσι καὶ διὰ τοῦτο τὴν φυγὴν ᾑρῆσθαι. Τῆς δὲ Σελήνης ἀκριβοῦν τὰ σχήματα χρὴ καὶ τὰς συναφὰς καὶ τοὺς συνδέσμους εἰδέναι καθὼς προείπομεν, σκοπεῖν δὲ ἐν ποίῳ κλίματι εὑρίσκεται ἀπὸ τῶν κέντρων ἤτοι πρὸς ἀνατολὰς ἢ δυσμὰς καὶ τὰ ἄλλα· ἐκ τούτου γὰρ εὔδηλον ἔσται οὐ μόνον περὶ τῶν ἀποδιδρασκόντων, ἀλλὰ καὶ τῶν τὰς μακρὰς ἀποδημίας ποιουμένων διά τε γῆς καὶ θαλάσσης.

346 ἐν τοῖς περὶ τὸ δυτικὸν γὰρ κέντρον ζῳδίοις τυχοῦσα καὶ τοῖς ἀπὸ τοῦ μεσουρανοῦντος ἀποκλίμασιν ἡ Σελήνη οὐκ ἐνόριον τὴν μετάστασιν ποιεῖν σημαίνει, ἐνόριον δὲ ἐν τῷ ὡροσκόπῳ καὶ τῷ μεσουρανήματι· ὡς ἐπὶ τὸ πλεῖστον γὰρ ἐν τῇ πόλει εὑρίσκονται ἢ ἀλύοντες ἢ παρά τινι καταγόμενοι. τῆς δὲ Σελήνης ἀσυνδέτου οὔσης τῷ Ἡλίῳ τε καὶ τῷ ὡροσκόπῳ κατὰ τὸν καιρὸν τῆς φυγῆς ἀνεύρετοι τυγχάνουσιν, συσχηματιζομένης δὲ καὶ τῷ ὡροσκόπῳ συμφώνου οὔσης ἄνευ βλάβης τὴν εὕρεσιν γενήσεσθαι δηλοῖ. οὔσης δὲ ἐν τῷ συνοδικῷ ζῳδίῳ λειψιφώτου καὶ μηδέπω τὰς τοῦ Ἡλίου παραδραμούσης αὐγάς, ἀσυνδέτου τε τῷ ὡροσκόπῳ, ἀνεπίστροφος ὁ δρασμὸς ἀποτελεῖται, ὁμοίως καὶ ἔκλειψιν ποιουμένης, ἐν δὲ τοῖς συνδέσμοις ὡς ἐπὶ τὸ πλεῖστον ἐν δεσμοῖς τοὺς φυγάδας ἔσεσθαι μηνύει. καὶ τὰ ἀκούοντα δὲ ζῴδια καὶ βλέποντα προσπαραληπτέον· ἐν αὐτοῖς γὰρ γινομένη καὶ παροδεύουσα ἢ βλέπειν τι περὶ αὐτῶν ποιεῖ. Κἂν μηδὲν ἐνδεὲς ᾖ τῶν προδεδηλωμένων σχημάτων εἴσω τοῦ πρώτου τετραγώνου λαμβάνονται, ἐὰν δέ τι ἐλάχιστον ἐνδεὲς ᾖ εἴσω τοῦ β′ (τουτέστιν εἴσω τῆς διαμέτρου τῆς καταρχῆς), ἐὰν δὲ μᾶλλον ἐλλείπῃ περὶ τὸ γ′ τετράγωνον ἢ καὶ τὴν τούτων ἀποκατάστασιν τὴν τελείαν τοῦ κύκλου. ὁ δὲ Ἥλιος τούτων τὴν ἐμφάνειαν παρέχεται τετράγωνος ὢν ἐν τοῖς τετραγώνοις τῆς πανσελήνου, τρίγωνος δὲ ἐν τοῖς τριγώνοις τῆς συνόδου. ἐπὶ δὲ τῶν βραδεῖαν εὕρεσιν ὑπεμφαινουσῶν καταρχῶν εἰς μῆνας ὁρίζειν χρὴ κατὰ τὴν τοῦ Ἡλίου κίνησιν τὴν γινομένην ἐν τοῖς τριγώνοις. Καταλαμβάνεται δὲ καὶ ἐπὶ τῶν γενέσεων τῶν δουλικῶν ἀπὸ τοῦ τοῦ Ἑρμοῦ ἀστέρος τὰ τῶν δρασμῶν· κακῶς γὰρ κειμένου ἢ ὑπὸ κακοποιῶν θεωρουμένου ἢ ἐνηλλαχότος τὰ ζῴδια καὶ τὰ ὅρια, μάλιστα δὲ μετὰ Ἄρεως, ἔν τε τῷ δυτικῷ καὶ τῷ ὑπὸ γῆν κέντρῳ εὑρισκόμενος ὁ ἀστὴρ οὗτος καὶ χωρὶς κακοποιῶν δρασμοὺς ἀπεργάζεται.

347 ὅθεν προσεκτέον τῇ πρὸς τὸν Ἥλιον αὐτοῦ κινήσει· ὑπὸ γὰρ τὰς αὐγὰς τυγχάνοντος ὁ φυγὼν παραυτίκα κρυβήσεται, φυγόντος δὲ τὰς αὐγὰς καὶ ἀνατείλαντος φανήσεται, καὶ προσθετικοῦ γενομένου ἐπανήξει. Ἄρεως δὲ ὄντος ἐν τῷ ζῳδίῳ ἐν ᾧ τὴν ἀνατολὴν ποιεῖται συνοδεύσας τούτῳ ὑπὸ πονηροῦ προσώπου ἀποσφαγήσεται, εἰ δὲ ἀγαθοποιοὶ ἐπιθεωρήσουσι τοῦ μὲν θανάτου ῥύονται, ἐν δεσμοῖς δὲ καὶ κακοῖς αὐτὸν περιβάλλουσιν. τῶν δὲ κρατούντων ἀστέρων παραφυλάσσειν χρὴ τὰ δωδεκατημόρια· ἐπὰν γὰρ συνεκπέσῃ εἰς τὸν ὡροσκόπον ῥᾳδίως τέλους τυγχάνει τὰ πράγματα ἐπὶ πάσης καταρχῆς. λέγουσι δέ τινες ὅτι τῆς Σελήνης σὺν τῷ Ἡλίῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπαρχούσης ὁ φυγὼν πρὸς καιρὸν κρυβήσεται, διὸ ὁ τοιοῦτος ζητηθεὶς παραυτίκα εὑρίσκεται, εἰ δὲ μὴ παραυτίκα ζητηθείη δυσεύρετος γίνεται. καὶ περὶ μὲν δρασμοῦ καὶ κλοπῆς ἀρκούντως εἴρηται. I. Ἡφαιστίωνος περὶ τοῦ αὐτοῦ Ἰστέον ὅτι οἱ ἀρξάμενοι νοσεῖν τῆς Σελήνης φερομένης πρὸς ἀγαθοποιούς, ἐν τῷ α′ τετραγώνῳ (τουτέστιν ἐν ἡμέραις ζ ) κριθείσης τῆς νόσου, ὑγιανοῦσιν, καὶ μάλιστα ὅταν καλῶς ἐρχομένη ἐπὶ τὸ τετράγωνον συνάπτῃ πάλιν ἀγαθοποιοῖς. πρὸς κακοποιοὺς γὰρ φερομένη ἐπίτασιν τοῦ κακοῦ ποιήσει μέχρι τῆς διαμέτρου, εἰ δ’ ἅμα κακοποιῷ ἀγαθοποιὸς εὑρεθείη ἄνεσις ἔσται καὶ ἐπίτασις ἔσται ἀναμίξ. αἱ δ’ ἀπὸ πανσελήνου γινόμεναι νόσοι ἐλαφρότεραί εἰσιν ὡς πρὸς τὰς ἀπὸ συνόδου· ἐπικουφίζει γὰρ λειψιφωτοῦσα ἡ Σελήνη τὰ πάθη.

348 ἐὰν δὲ συμβῇ μὴ κρίσιμον ἡμέραν γενέσθαι ἐν ὅλῳ τῷ μηνὶ ἀνάγκη παρατεῖναι ὡς ἐπίπαν τὴν νόσον ἕως τοῦ τετραγώνου τῆς τοῦ Ἡλίου ἐπιπορεύσεως. ἐπὶ δὲ τῶν ἐν ὀλίγαις ἡμέραις κρινομένων καὶ ἀνισταμένων εὑρίσκεται ἡ Σελήνη ἀπὸ πανσελήνου διελθοῦσα τὸ α′ τετράγωνον καὶ τὴν β′ διχότομον ὡς συμβαίνειν ἐπὶ τὴν σύνοδον ἢ τὸ συνοδικὸν ζῴδιον ἕξ που ἡμέρας ἢ ε ἢ δ ἢ τοὐλάχιστον γ ὑπολείπεσθαι τῆς πορείας ταύτης ἐν αἷς τὰ τῆς ὑγείας ἀποκαθίσταται. τὸ δ’ αὐτὸ καὶ ἀπὸ τῆς α′ διχοτόμου συμβαίνει μέχρι πανσελήνου· τοσοῦτος γὰρ ἀριθμὸς συνάγεται ἡμερῶν ἐν ᾧ χρόνῳ τοῦ προτέρου διαστήματος ἀπαλλαγεῖσα ἡ Σελήνη ἐφ’ ἑτέραν τρέπεται σχήματος εὐκρασίαν. Παραφυλακτέον δ’ 〈ὅτι〉 ὁπόταν κατακλίσεως γενομένης Σελήνη ἀπέχῃ ἓν ζῴδιον ἀπὸ τῆς συνόδου ὁ κατακλιθεὶς οὐ παύσεται τῆς νόσου, ἀλλ’ ἀρξαμένης αὐτῆς φωτίζεσθαι καὶ αὐξανομένης ἐπίτασιν καὶ ἡ νόσος λαμβάνει. αἱ τοιαῦται οὖν νόσοι ἢ θανάσιμοί εἰσιν ἢ δυσθεράπευτοι, καὶ ἐπισημασίαι δὲ γίνονται καὶ ἀνέσεις κατὰ τοὺς τῆς Σελήνης σχηματισμούς· μόνοι μὲν γὰρ τριταῖοι κρίνονται ἐκ ζῳδίου εἰς ζῴδιον μεθισταμένης αὐτῆς, οἱ δὲ τεταρταῖοι κατὰ ἑξάγωνον, ἐναταῖοι δὲ εἰς τὸ τρίγωνον, τεσσαρεσκαιδεκαταῖοι δὲ εἰς τὸ διάμετρον, μιᾶς δὲ καὶ κ′ ἐν τῷ δεξιῷ τετραγώνῳ γενομένης αὐτῆς ὡς συμβαίνειν διὰ τοσούτων σχημάτων τὰς κρίσεις γίνεσθαι. καὶ τῶν μὲν φθοροποιῶν ἐπιθεωρούντων ἐπιτάσεις γίνονται τοῦ κακοῦ, τῶν δὲ ἀγαθοποιῶν ἀνέσεις. συμβαίνει δὲ τὴν ἑβδομαίαν προλαμβάνειν μὲν εἰς τὴν ϛ′, ὑστερίζειν δὲ εἰς τὴν η′ τῆς Σελήνης ποτὲ μὲν ἐλάχιστα κινουμένης, ποτὲ δὲ μέγιστα· ὅθεν καὶ συμβαίνει ἀκριβῶς μὴ εἰδέναι τινὰς τῶν ἰατρῶν τῷ μὴ προσέχειν τῇ τῆς Σελήνης κινήσει. Δεῖ δὲ γινώσκειν καὶ ποῖον τῶν τοῦ ἀνθρώπου μελῶν ὑφ’ ἑκάστου τῶν ζῳδίων κυριεύεται· ἡ μὲν γὰρ κεφαλὴ ὑπὸ τοῦ Κριοῦ, ὁ δὲ αὐχὴν ὑπὸ τοῦ Ταύρου, οἱ δὲ ὦμοι καὶ οἱ βραχίονες ὑπὸ τῶν Διδύμων, αἱ δὲ πλευραὶ καὶ τὸ στέρνον ὑπὸ τοῦ Καρκίνου, ὁ θώραξ ὑπὸ τοῦ Λέοντος, ἡ κοιλία καὶ τὰ σπλάγχνα ὑπὸ τῆς Παρθένου, οἱ γλουτοὶ ὑπὸ τοῦ Ζυγοῦ, τὰ αἰδοῖα καὶ ἡ ἕδρα ὑπὸ τοῦ Σκορπίου, οἱ μηροὶ ὑπὸ τοῦ Τοξότου, τὰ δὲ γόνατα ὑπὸ τοῦ Αἰγοκέρωτος, αἱ δὲ κνῆμαι ὑπὸ τοῦ Ὑδροχόου, οἱ δὲ ἄκροι πόδες ὑπὸ τῶν Ἰχθύων.

349 σκέπτου οὖν ποῖον τῶν ιβ ζῳδίων κατὰ τὴν πῆξιν τῆς γενέσεως ἐκακοῦτο ὑπό τινος τῶν κακοποιῶν ἀστέρων. καὶ ἐὰν συμβῇ γενέσθαι καὶ τὴν καταρχὴν τοῦ νοσήματος ἐν τῷ κεκακωμένῳ ἐξ ἀρχῆς ζῳδίῳ τῆς Σελήνης οὔσης, οἱ δὲ χρόνοι οἱ ἀπὸ τοῦ ὡροσκόπου ἐκβαλλόμενοι καταντήσωσιν εἴς τι ζῴδιον τοιοῦτον ὁποίῳ ἦν κατὰ τὴν πῆξιν ὁ Κρόνος ἢ ὁ Ἄρης ἢ αἱ τῶν φωστήρων ἢ τῶν κέντρων ἢ τῶν κλήρων ἀφέσεις ἐκβαλλόμεναι εἰς τὰς φθαρτικὰς τῶν κακοποιῶν ἀκτῖνας ἐμπέσωσιν, χαλεπωτάτη γίνεται ἡ νόσος. εἰ μὲν γὰρ ἀπὸ Ἄρεως ἀπορρέοι ἢ ἀπὸ Κρόνου ῥευματισμοὶ ἔσονται ἢ νεύρων ἀλγηδών. ἐὰν δὲ οἱ κατὰ τὴν γένεσιν κακοποιοὶ ἐν δισώμοις ὄντες ζῳδίοις, καὶ μάλιστα ἐν Διδύμοις καὶ Ἰχθύσι διὰ τὸ ταῦτα τὰ ζῴδια τετμῆσθαι ἀπ’ ἀλλήλων—ἐὰν οὖν οὕτως ἔχοντες οἱ κακοποιοὶ ὡς εἴρηται ἐξ ἀρχῆς μέσην περιέχωσι τὴν Σελήνην ἐν μὲν Διδύμοις ὄντες χειράγραν ἐπιφέρουσιν, ἐν δὲ Ἰχθύσι ποδάγραν. II. Περὶ χειρουργίας Τὰς δὲ χειρουργίας τῶν μελῶν ποιεῖσθαι χρὴ τῆς Σελήνης ληγούσης καὶ πρὸς τοὺς ἀγαθοποιοὺς φερομένης ἢ συνούσης αὐτοῖς. παρατηρητέον δὲ αὐτὴν

οὖσαν ἐν τοῖς τροπικοῖς ἢ ἐν τοῖς ἐκλειπτικοῖς συνδέσμοις ἢ συνοδεύουσαν τῷ Ἡλίῳ. καὶ ἔτι ἐκεῖνο τὸ μέλος οὐ δεῖ χειρουργεῖν ὅπερ οἰκειοῦται κατὰ φύσιν τῷ ζῳδίῳ ἐκείνῳ ἔνθα ἐστὶν ἡ Σελήνη· ἕκαστον δὲ τῶν τοῦ ἀνθρώπου μελῶν τίνι τῶν ιβ ζῳδίων ᾠκείωται ἀνωτέρω δεδηλώκαμεν.

350 τοὺς ὀφθαλμοὺς δὲ χρὴ χειρουργεῖν καὶ θεραπεύειν τῆς Σελήνης πληθούσης τῷ τε φωτὶ καὶ τοῖς ἀριθμοῖς καὶ συναπτούσης τοῖς ἀγαθοποιοῖς χωρὶς τῆς τῶν κακοποιῶν μαρτυρίας. Ὁ δὲ Δωρόθεος ἐν τοῖς περὶ χειρουργίας καὶ αὐτὸς μὲν τὰ αὐτὰ λέγει, πρὸς τούτοις δὲ καὶ τάδε φησίν. οὐ μόνον δεῖ τὴν Σελήνην σκοπεῖν, ἀλλὰ καὶ τὸν ὡροσκόπον ἀκάκωτον εἶναι φυλάσσειν, ἔτι δὲ καὶ ἐὰν κακοποιὸς ἐπίκεντρος ὢν ἀναποδίζῃ ἀποδοκιμάζειν καὶ τοῦτο. Σελήνης δέ, φησίν, οὔσης ἐν τροπικῷ ζῳδίῳ ἢ δισώμῳ εἰ μὲν σύνεστιν αὐτῇ καὶ ἀγαθοποιὸς δεῖ χειρουργεῖν, ἄνευ δ’ ἀγαθοποιοῦ οὐ δεῖ· ὑποτροπιασμὸς γὰρ γίνεται καὶ πάλιν δεήσει καὶ ἑτέρας χειρουργίας. III. Περὶ ἐμέτου καὶ καθάρσεως Τοὺς δὲ ἐμέτους καὶ τὰς καθάρσεις συνοίσει ποιεῖσθαι τῆς Σελήνης ληγούσης καὶ πρὸς τοὺς ἀγαθοποιοὺς σχηματιζομένης ἢ συναπτούσης. παραφυλάττεσθαι δὲ ἵνα μήτε ἐν Κριῷ μήτε ἐν Ταύρῳ ἔχῃ τὴν στάσιν· βλαβερὸν γὰρ διότι μηρυκίζοντά εἰσι τὰ ζῷα ταῦτα. ἁρμόζει δὲ ἐμεῖν οὔσης αὐτῆς ἐν τῷ Ἀναβιβάζοντι, τὴν δὲ κοιλίαν καθαίρειν οὔσης ἐν τῷ Καταβιβάζοντι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org